κατακυριευθεῖ [ἀπὸ τὰ πάθη], καταντᾷ στὴν ἀπόγνωσι καὶ στὴν τέλεια ἀπώλεια καὶ ἔκπτωσι ἀπὸ τὸν Θεὸ καὶ τὴν ἐξομοίωσί του μὲ τοὺς δαίμονες, ὅπως ἔχει λεχθεῖ.

20. Στὸ μέσο δὲ τῶν δύο αὐτῶν ὁδῶν, δηλαδὴ τῆς δικαιοσύνης καὶ τῆς ἁμαρτίας, στέκεται ὁ ἄνθρωπος, καὶ ὅποιον δρόμο θέλει, βαδίζει καὶ ἀκολουθεῖ. Ἡ δὲ ὁδός, ἀφοῦ παρέλαβε αὐτὸν [τὸν ἄνθρωπο], μαζὶ μὲ αὐτούς, ποὺ τὸν ὁδηγοῦν σ᾽ αὐτήν, [οἱ ὁποῖοι εἶναι], εἴτε Ἄγγελοι καὶ ἄνθρωποι τοῦ Θεοῦ, εἴτε δαίμονες καὶ πονηροὶ ἄνθρωποι, μέχρι τὸ τέλος αὐτῆς [τῆς ὁδοῦ] τὸν ὁδηγοῦν καὶ χωρὶς νὰ τὸ θέλῃ, οἱ μὲν ἀγαθοὶ στὸ Θεὸ καὶ τὴν Βασιλεία τῶν οὐρανῶν· οἱ δὲ [ἄνθρωποι] τῆς ἁμαρτίας, στὸν διάβολο καὶ τὴν αἰώνια κόλασι.

21. Κανένας δέ, δὲν εἶναι αἴτιος τῆς ἀπωλείας του, παρὰ μόνον τὸ δικό του θέλημα· ὁ Θεὸς εἶναι [αἴτιος] τῆς σωτηρίας, ὁ ὁποῖος μᾶς ἐχάρισε μετὰ τὸ εἶναι [τὴν ὕπαρξι] καὶ τὸ εὖ εἶναι [τὴν κατὰ Θεὸν ζωή], καὶ τὴν γνῶσι καὶ τὴν δύναμι, τὰ ὁποῖα βέβαια δὲν μπορεῖ νὰ τὰ ἔχῃ ὁ ἄνθρωπος, χωρὶς τὴν Χάρι τοῦ Θεοῦ. Ἀλλὰ οὔτε ὁ διάβολος μπορεῖ [νὰ κάνῃ] κάτι γιὰ τὴν ἀπώλεια [τοῦ ἀνθρώπου], ὅπως τὴν ἀντίθετη προαίρεσι ἢ τὴν ἀδυναμία ἢ τὴν ἀκούσια ἄγνοια ἢ γενικὰ κάτι ἄλλο, ὥστε νὰ ἐκβιάσῃ τὸν ἄνθρωπο, ἀλλὰ τοῦ ὑποβάλλει μόνον

*ὑπόμνησιν τοῦ κακοῦ ὑποβάλλει. Ὁ οὖν ἐργαζόμενος τὸ ἀγαθόν, τῷ Θεῷ τὴν χάριν ὀφείλει ἐπιγράψασθαι, ὡς τὰ πάντα μετὰ τὸ εἶναι δωρησαμένῳ ἡμῖν. Ὁ δὲ τὸ ἐναντίον προαιρούμενος καὶ ποιῶν, ἑαυτὸν μόνον αἰτιάτω, διότι οὐδεὶς βίᾳ αὐτὸν ἕλκειν δύναται, ἐπεὶ αὐτεξούσιον ὁ Θεὸς αὐτὸν ἐποίησεν, ὥστε ἐπαίνων ἄξιος γενήσεται παρ᾽ αὐτοῦ, ὁρῶν αὐτὸν προτιμᾶν θέλοντα τὸ ἀγαθὸν καὶ μὴ ἐξ ἀνάγκης τῆς φύσεως, ὥσπερ τὰ ἄλογα, καὶ ἄψυχα μετέχειν τοῦ ἀγαθοῦ, ἀλλ᾽ ὡς πρέπει τῷ λογικῷ, καθὼς ὁ Θεὸς αὐτὸν ἐτίμησεν. [**22.**] Ἡμεῖς δὲ ἑκουσίως, καὶ ἰδίᾳ γνώμῃ τὸ κακὸν προαιρούμεθα ποιεῖν, μαθόντες τοῦτο ἀπὸ τοῦ τῆς κακίας ἐφευρετοῦ· καὶ οὐ βιάζει ἡμᾶς ὁ καθ᾽ ὑπερβολὴν ἀγαθὸς Θεός, ἵνα μή, βιαζόμενοι καὶ παρακούοντες, μείζονα κατάκρισιν ἔχωμεν. Μηδὲ τὸ αὐτεξούσιον αἴρει ἀφ᾽ ἡμῶν, ὃ καλῶς ἐχαρίσατο ἡμῖν· ἀλλ᾽ ὁ θέλων τὸ ἀγαθὸν ποιεῖν, αἰτείτω διὰ προσευχῆς τὸν Θεὸν καὶ εὐθέως δίδοται αὐτῷ ἡ γνῶσις, καὶ δύναμις, ἵνα φαίνηται ἐκ δικαίου ἡ χάρις πεμπομένη παρὰ Θεοῦ· ἐπεὶ καὶ χωρὶς εὐ-*

τὴν ὑπόμνησι [ἐνθύμησι] τοῦ κακοῦ. Ἐκεῖνος λοιπόν, ποὺ ἐργάζεται τὸ καλό, ὀφείλει νὰ ἀποδώσῃ τὴν χάρι στὸν Θεό, γιατὶ μαζὶ μὲ τὴ ζωή, [μᾶς] ἐχάρισε [καὶ] τὰ πάντα· ἐκεῖνος ὅμως, ποὺ προτιμᾶ καὶ κάνει τὸ ἀντίθετο, ἂς κατηγορῇ μόνο τὸν ἑαυτό του, διότι κανεὶς μὲ τὴ βία δὲν μπορεῖ νὰ τὸν παρασύρῃ [ὅπου θέλει], ἐπειδὴ ὁ Θεὸς τὸν ἔκανε αὐτεξούσιο· ὥστε θὰ ἀξιωθῇ νὰ ἐπαινεθῇ ἀπὸ Αὐτόν, ὅταν τὸν βλέπῃ νὰ προτιμᾷ μὲ τὴ θέλησί του τὸ καλὸ καὶ ὄχι ἀπὸ τὴν ἀνάγκη τῆς φύσεως, ὅπως ἀκριβῶς μετέχουν τοῦ καλοῦ τὰ ἄλογα καὶ ἄψυχα [ὄντα], ἀλλὰ ὅπως ἁρμόζει στὸ λογικό του, σύμφωνα μὲ τὸ ὁποῖο ὁ Θεὸς τὸν ἐτίμησε.

22. Ἐμεῖς ὅμως θεληματικὰ καὶ σύμφωνα μὲ τὴ δική μας γνώμη προτιμοῦμε νὰ κάνωμε τὸ κακό, ποὺ τὸ μάθαμε ἀπὸ τὸν ἐφευρέτη τῆς κακίας· καὶ δὲν μᾶς βιάζει ὁ πανάγαθος Θεός, γιὰ νὰ μὴν ἔχωμε μεγαλύτερη κατάκρισι [βαρύτερη τιμωρία], ὅταν, ἐνῶ μᾶς ἀναγκάζει, ἐμεῖς παρακούομε· οὔτε τὸ αὐτεξούσιο ἀφαιρεῖ ἀπὸ ἐμᾶς, τὸ ὁποῖο καλῶς μᾶς ἐχάρισε· ἀλλὰ ὅποιος θέλει νὰ κάνῃ τὸ καλό, ἂς τὸ ζητᾷ ἀπὸ τὸν Θεὸ μὲ προσευχὴ καὶ ἀμέσως δίνεται σ᾽ αὐτὸν ἡ γνῶσι καὶ ἡ δύναμι, γιὰ νὰ φαίνεται ὅτι δικαίως στέλνεται ἡ Χάρις ἀπὸ τὸν Θεό· ἐπειδὴ καὶ χωρὶς προ-

χῆς ἐδωρήσατο ἄν, ὥσπερ καὶ μετὰ τὴν εὐχήν. Ἀλλ᾽ ὥσπερ οὐκ ἔχει ἔπαινον ὁ τὸν ἀέρα δεχόμενος πρὸς τὸ ζῆν, εἰδὼς ὅτι χωρὶς αὐτοῦ οὐ δύναται ζῆσαι, ἀλλὰ μᾶλλον χρεωστεῖ πολλὰ εὐχαριστεῖν τῷ ποιήσαντι αὐτὸν καὶ χαρισαμένῳ τὴν δεχομένην ὄσφρησιν, καὶ τὴν ὑγείαν, εἰς τὸ δέχεσθαι, καὶ ζῆσαι, οὕτω καὶ ἡμεῖς ὀφείλομεν μᾶλλον εὐχαριστεῖν τῷ Θεῷ, ὅτι καὶ τὴν εὐχήν, καὶ τὴν γνῶσιν, καὶ τὴν δύναμιν, καὶ τὰς ἀρετάς, καὶ ἡμᾶς, καὶ τὰ περὶ ἡμᾶς πάντα ἐποίησε κατὰ χάριν. Οὐ μόνον δέ, ἀλλὰ καὶ πᾶσαν μηχανὴν ποιῶν οὐ παύεται, πρὸς τὸ νικῆσαι τὴν κακίαν ἡμῶν καὶ τῶν ἐχθρῶν ἡμῶν καὶ δαιμόνων. [23.] Ἐπειδὴ γὰρ καὶ αὐτὸς ὁ διάβολος τὴν γνῶσιν τοῦ Θεοῦ ἀπωλέσας, τῇ ἀγνωμοσύνῃ καὶ ὑπερηφανίᾳ ἐξ ἀνάγκης ἐγένετο ἄγνωστος, καὶ τούτου χάριν οὐ δύναται ἀφ᾽ ἑαυτοῦ γινώσκειν τί ποιῆσαι, ἀλλὰ τὸν Θεὸν βλέπει τί ποιεῖ πρὸς τὸ σωθῆναι ἡμᾶς, καὶ ἐκ τούτου μανθάνει πονηρευόμενος, καὶ παρόμοια ποιεῖν μηχανᾶται, πρὸς τὴν ἀπώλειαν ἡμῶν. Διότι μισεῖ τὸν Θεὸν καὶ μὴ δυνάμενος πρὸς

σευχὴ θὰ τὴν δώριζε ὁ Θεός, ὅπως ἀκριβῶς [τὴ δωρίζει] καὶ μετὰ τὴν προσευχή. Ἀλλὰ ὅπως ἀκριβῶς δὲν ἐπαινεῖται ἐκεῖνος, ποὺ δέχεται τὸν ἀέρα [καὶ ἀναπνέει] γιὰ νὰ ζήση, ἂν καὶ γνωρίζῃ ὅτι χωρὶς αὐτὸν [τὸν ἀέρα] δὲν μπορεῖ νὰ ζήσῃ, ἀλλὰ πολὺ περισσότερες εὐχαριστίες ὀφείλει σ᾽ Αὐτόν, ποὺ τὸν ἐδημιούργησε καὶ ποὺ τοῦ χάρισε τὴν ὄσφρησι, ἡ ὁποία δέχεται [τὸν ἀέρα] καὶ τὴν ὑγεία, ὥστε νὰ τὸν δέχεται, γιὰ νὰ ζήσῃ· ἔτσι κι ἐμεῖς ὀφείλομε περισσότερο νὰ εὐχαριστοῦμε τὸν Θεό, διότι καὶ τὴν προσευχὴ καὶ τὴν γνῶσι καὶ τὴν δύναμι καὶ τὶς ἀρετὲς καὶ ἐμᾶς τοὺς ἰδίους καὶ ὅσα μᾶς περιβάλλουν κατὰ Χάριν ἐδημιούργησε. Καὶ ὄχι μόνον αὐτά, ἀλλὰ δὲν παύει νὰ μηχανεύεται τὰ πάντα, γιὰ νὰ νικήσῃ τὴν κακία μας καὶ [τὴν κακία] τῶν ἐχθρῶν μας καὶ τῶν δαιμόνων.

23. Διότι ἐπειδὴ καὶ ὁ ἴδιος ὁ διάβολος, ὅταν ἔχασε τὴ γνῶσι τοῦ Θεοῦ μὲ τὴν ἀγνωμοσύνη καὶ τὴν ὑπερηφάνια, ἀναγκαστικὰ ἔγινε χωρὶς γνῶσι καὶ ἐξ αἰτίας αὐτοῦ δὲν μπορεῖ ἀπὸ μόνος του νὰ γνωρίζῃ τὶ νὰ κάνῃ, ἀλλὰ βλέπει τὶ κάνει ὁ Θεός, γιὰ νὰ μᾶς σώσῃ καὶ ἀπὸ αὐτὸ μαθαίνει καὶ μὲ τὴν πονηρία του μηχανεύεται νὰ κάνῃ τὰ ὅμοια πρὸς ἀπώλειά μας. Ἐπειδὴ μισεῖ τὸν Θεὸ καὶ ἀφοῦ δὲν ἔχει τὴ δύναμι [νὰ ἐπιτεθῇ] ἐναντίον Ἐκεί-

ἐκεῖνον, ἡμᾶς τοὺς κατ᾽ εἰκόνα Θεοῦ[19] πολεμεῖ, δοκῶν ἐν τούτῳ τὸν Θεὸν ἀμύνασθαι καὶ εὑρίσκει ἡμᾶς ὑπηκόους αὐτοῦ τῷ θελήματι, ὥς φησιν ὁ Χρυσόστομος, ἰδὼν γὰρ τὸν Θεόν, τὸν ποιήσαντα τὴν Εὔαν πρὸς βοήθειαν τοῦ Ἀδάμ[20], ἐποίησεν ὁ διάβολος αὐτὴν συνεργὸν πρὸς τὴν παρακοὴν καὶ παράβασιν. Ἔδωσεν ὁ Θεὸς ἐντολήν, ἵνα αὐτὴν τηρήσας ὁ Ἀδάμ, φυλάττῃ τὴν μνήμην τῶν τηλικούτων δωρεῶν, καὶ εὐγνωμονῇ περὶ αὐτῶν τὸν εὐεργέτην. Ὁ δὲ διάβολος ἐποίησεν αὐτὴν τὴν ἐντολὴν ἀφορμὴν παρακοῆς[21] καὶ θανάτου γενέσθαι, καὶ ἀντὶ προφητῶν, ψευδοπροφήτας· ἀντὶ Ἀποστόλων, ψευδοαποστόλους· ἀντὶ νόμου, παρανομίαν· ἀντὶ ἀρετῶν, κακίας· ἀντὶ ἐντολῶν, παραβάσεις· ἀντὶ πάσης δικαιοσύνης, μυσαρὰς αἱρέσεις. Καὶ πάλιν ἰδὼν τὸν Χριστὸν συγκαταβαίνοντα δι᾽ ἄκραν ἀγαθότητα πρὸς τοὺς ἁγίους μάρτυρας καὶ ὁσίους πατέρας, εἴτε δι᾽ ἑαυτοῦ, εἴτε δι᾽ Ἀγγέλων, ἢ δι᾽ ἄλλης τινὸς οἰκονομίας ἀρρήτου ἐμφανιζόμενον, καθὼς εἶπεν, ἤρξατο καὶ ὁ διάβολος δεικνύειν τισὶ πλάνας

νου, πολεμεῖ ἐμᾶς, τοὺς «κατ᾽ εἰκόνα Θεοῦ», ἐπειδὴ θεωρεῖ ὅτι μ᾽ αὐτὸν τὸν τρόπο ἐκδικεῖται τὸν Θεὸ καὶ εὑρίσκει ἐμᾶς νὰ ὑπακούωμε στὸ θέλημά του [τοῦ διαβόλου], ὅπως λέγει ὁ Χρυσόστομος[δ']· δηλαδή, ὅταν εἶδε τὸν Θεό, ὁ ὁποῖος ἐδημιούργησε τὴν Εὔα γιὰ βοήθεια τοῦ Ἀδάμ, ὁ διάβολος τὴν ἔκανε συνεργό του γιὰ τὴν παρακοὴ καὶ τὴν παράβασι. Ἔδωσε ὁ Θεὸς ἐντολή, ὥστε μὲ τὴν τήρησι αὐτῆς [τῆς ἐντολῆς] ὁ Ἀδὰμ νὰ διατηρῇ στὴ μνήμη του τὶς τόσο μεγάλες δωρεὲς καὶ νὰ εὐγνωμονῇ γι᾽ αὐτὲς τὸν εὐεργέτη. Ὁ διάβολος ὅμως ἔκανε αὐτὴ τὴν ἐντολὴ νὰ γίνῃ ἀφορμὴ γιὰ παρακοὴ καὶ θάνατο· καὶ ἀντὶ προφητῶν, [ὁ διάβολος κάνει] ψευδοπροφῆτες καὶ ἀντὶ Ἀποστόλων, ψευδαποστόλους· ἀντὶ νόμου, παρανομία· ἀντὶ ἀρετῶν, κακίες· ἀντὶ ἐντολῶν, παραβάσεις· ἀντὶ κάθε δικαιοσύνης, βδελυκτὲς αἱρέσεις. Καὶ πάλι, ὅταν εἶδε τὸν Χριστό νὰ συγκαταβαίνῃ ἀπὸ ἄκρα ἀγαθότητα πρὸς τοὺς ἁγίους μάρτυρες καὶ ὁσίους Πατέρες καὶ νὰ ἐμφανίζεται εἴτε ὁ ἴδιος, εἴτε διὰ τῶν ἀγγέλων, ἢ μέσῳ κάποιας ἄλλης μυστικῆς οἰκονομίας, ὅπως εἶπε, ἄρχισε καὶ ὁ διάβολος νὰ δείχνῃ σὲ μερικοὺς πολλὲς πλά-

πολλὰς πρὸς ἀπώλειαν. Καὶ διὰ τοῦτο ἔγραψαν οἱ διακριτικοὶ πατέρες, ὅτι τὰς τοιαύτας οὐ χρὴ δέχεσθαι, εἴτε διά τινων εἰκόνων, εἴτε φωτός, εἴτε πυρός, εἴτε ἄλλης τινὸς πλάνης. Μηχανᾶται γὰρ πλανῆσαι κἂν ἐν τούτῳ καθ᾽ ὕπνους, ἢ αἰσθητῶς. Εἰ δὲ τοῦτο δεχόμεθα, ποιεῖ τὸν νοῦν ἐξ οἰήσεως, καὶ ἐσχάτης ἀγνωσίας ζωγραφῆσαί τινα σχήματα, ἢ χρώματα πρὸς τὸ δοκῆσαι ὅτι ἐμφάνειά ἐστι Θεοῦ, ἢ Ἀγγέλου. Πολλάκις δὲ καὶ δαίμονας καθ᾽ ὕπνους, ἢ αἰσθητῶς, δείκνυσιν ἡττωμένους δῆθεν καὶ ἁπλῶς πᾶσαν μηχανὴν ἐπιτηδεύει πρὸς ἀπώλειαν ἡμετέραν ἐν τοῖς πειθομένοις αὐτῷ. **[24.]** *Ὅταν δὲ ταῦτα ποιήσας, ἀστοχήσῃ τῆς ἐλπίδος, διὰ τὸ λέγειν τοὺς Ἁγίους Πατέρας, ὅτι κατὰ τὸν καιρὸν τῆς προσευχῆς ὀφείλομεν ἔχειν τὸν νοῦν ἀνείδεον, ἀσχημάτιστον, ἄχροον, μηδόλως δεχόμενόν τι, εἴτε φῶς, εἴτε πῦρ, ἢ ἕτερόν τι τὸ παράπαν, ἀλλ᾽ ἐν τοῖς λεγομένοις ῥήμασι μόνοις ὀφείλομεν, πάσῃ δυνάμει κλείειν τὴν διάνοιαν, διότι ὁ τῷ στόματι μόνῳ προσευχόμενος, τῷ ἀέρι προσεύχεται καὶ οὐ τῷ*

νες γιὰ τὴν ἀπώλειά τους. Καὶ γι᾽ αὐτὸ ἔγραψαν οἱ διακριτικοὶ Πατέρες, ὅτι δὲν πρέπει νὰ δεχώμαστε τὶς [πλάνες] αὐτοῦ τοῦ εἴδους, εἴτε μὲ κάποιες εἰκόνες, εἴτε μὲ φῶς, εἴτε μὲ φωτιά, εἴτε μὲ κάποια ἄλλη πλάνη. Γιατὶ μηχανεύεται νὰ μᾶς ἀποπλανήσῃ μ᾽ αὐτά, εἴτε στὸν ὕπνο μας, εἴτε ἐν ἐγρηγόρσει. Ἐὰν δὲ δεχώμαστε αὐτό, κάνει τὸν νοῦ, ἀπὸ ὑπερηφάνια καὶ ἐσχάτη ἄγνοια, νὰ ζωγραφίσῃ κάποια σχήματα ἢ χρώματα, γιὰ νὰ νομίσῃ [ὁ νοῦς], ὅτι εἶναι ἐμφάνεια [φανέρωσι] τοῦ Θεοῦ ἢ τοῦ Ἀγγέλου. Πολλὲς φορὲς δέ, στὸν ὕπνο ἢ καὶ αἰσθητά, δείχνει καὶ τοὺς δαίμονες, δῆθεν νικημένους καὶ γενικὰ μηχανεύεται κάθε τέχνασμα γιὰ τὴν ἀπώλειά μας, σ᾽ αὐτοὺς ποὺ πείθονται σ᾽ αὐτόν.

24. Ὅταν δέ, ἐνῶ κάνει αὐτά, ἀστοχήσῃ στὶς προσδοκίες του, διότι οἱ Ἅγιοι Πατέρες λέγουν, ὅτι κατὰ τὴν ὥρα τῆς προσευχῆς ὀφείλομε νὰ ἔχωμε τὸν νοῦ μας ἄμορφο, ἀσχημάτιστο, ἄχρωμο, χωρὶς νὰ δέχεται τίποτα ἀπολύτως, εἴτε φῶς, εἴτε φωτιὰ ἢ γενικὰ κάτι ἄλλο, ἀλλὰ ὀφείλομε νὰ περιορίζωμε τὸ νοῦ μας, μὲ ὅλη μας τὴ δύναμι μόνον σ᾽ αὐτὰ ποὺ λέγομε, διότι ἐκεῖνος ποὺ προσεύχεται μόνο μὲ τὸ στόμα, προσεύχεται στὸν ἀέρα καὶ ὄχι στὸν

Θεῷ. Ὁ γὰρ Θεὸς τῷ νῷ προσέχει, καὶ οὐ τῇ λαλιᾷ, ὡς οἱ ἄνθρωποι. Ἐν πνεύματι, φησί, καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν τῷ Θεῷ[22]*, καί, θέλω πέντε λόγους τῷ νοΐ μου λαλῆσαι, ἢ μυρίους ἐν γλώσσῃ*[23]*· τότε δή, τότε ἀπορῶν τούτων ἁπάντων ὁ διάβολος, λογισμὸν ἀπογνώσεων φέρει ἡμῖν, ὅτι ἄλλοι καιροὶ ἦσαν ἐκεῖνοι καὶ ἄλλοι οἱ ἄνθρωποι, ἐν οἷς ὁ Θεὸς τὰ θαυμάσια ἔδειξεν εἰς τὸ πιστεῦσαι. Νυνὶ δὲ οὐκ ἔστι καιρὸς τῆς χρείας ταύτης τοῦ κοπιάσαι· ἰδοὺ χριστιανοὶ ἐσμὲν ἅπαντες, καὶ βάπτισμα φοροῦμεν. Ὁ πιστεύσας, φησί, καὶ βαπτισθεὶς σωθήσεται*[24]*· τί λοιπὸν χρῄζομεν; [25.] Ἡμεῖς δὲ ἐὰν τούτῳ πεισθῶμεν, καὶ οὕτω μείνωμεν, ἔρημοι πάντως ἐσόμεθα, ὄνομα μόνον ἔχοντες χριστιανοῦ. Ἀγνοοῦντες, ὅτι ὁ πιστεύσας καὶ βαπτισθεὶς ὀφείλει πάσας τὰς ἐντολὰς τοῦ Χριστοῦ τηρεῖν, καὶ ὅταν πάντα κατορθώσῃ, λέγειν, ἀχρεῖος δοῦλός εἰμι*[25]*, ὡς ὁ Κύριος πρὸς τοὺς Ἀποστόλους ἔφη· διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν*[26]*. Πᾶς γὰρ ὁ βαπτιζόμενος ἀποτάσσεται, λέγων, ἀποτάσσο-*

Θεό. Διότι ὁ Θεὸς προσέχει στὸν νοῦ καὶ ὄχι στὰ λόγια, ὅπως οἱ ἄνθρωποι. «Ἐν πνεύματι, λέγει [ὁ Ἰωάννης] καὶ ἀληθείᾳ πρέπει νὰ προσκυνοῦμε τὸν Θεὸ» καὶ «θέλω πέντε λόγους μὲ τὸ νοῦ μου νὰ πῶ, παρὰ μυρίους μὲ τὴ γλῶσσα»· τότε λοιπόν, τότε ὁ διάβολος, ἐπειδὴ εὑρίσκεται σὲ ἀπορία γιὰ ὅλα αὐτά, μᾶς φέρνει λογισμοὺς ἀπογνώσεως, ὅτι ἄλλοι καιροὶ ἦταν ἐκεῖνοι καὶ ἄλλοι ἄνθρωποι, στοὺς ὁποίους ὁ Θεὸς ἔδειξε τὰ θαύματα γιὰ νὰ πιστέψουν. Τώρα ὅμως, δὲν εἶναι καιρός, ποὺ νὰ χρειάζεται νὰ κοπιάσωμε [γιὰ νὰ πιστέψωμε]· νά, χριστιανοὶ εἴμαστε ὅλοι καὶ ἔχομε ἐνδυθῆ τὸ βάπτισμα. Λέγει [τὸ Εὐαγγέλιο], «ἐκεῖνος ποὺ θὰ πιστεύσῃ καὶ θὰ βαπτισθῇ, θὰ σωθῇ»· τὶ περισσότερο χρειαζόμαστε;

25. Ἐμεῖς ὅμως, ἂν πεισθοῦμε σ᾽ αὐτὸν [τὸν διάβολο] καὶ ἔτσι παραμείνωμε, θὰ εἴμαστε τελείως ἔρημοι [στερημένοι ἀπὸ τὴν Χάρι], ἔχοντας μόνο τὸ ὄνομα τοῦ Χριστιανοῦ· ἐπειδὴ ἀγνοοῦμε, ὅτι ἐκεῖνος ποὺ πίστεψε καὶ βαπτίσθηκε ὀφείλει νὰ τηρῇ ὅλες τὶς ἐντολὲς τοῦ Χριστοῦ καὶ «ὅταν ὅλα τὰ κατορθώσῃ, νὰ λέγῃ, ὅτι εἶμαι ἀνάξιος δοῦλος», ὅπως εἶπε ὁ Κύριος πρὸς τοὺς Ἀποστόλους: «Νὰ διδάσκετε αὐτοὺς [δηλαδὴ τοὺς ἀνθρώπους] νὰ τηροῦν ὅλα ὅσα σᾶς ἔδωσα ὡς ἐντολές». Διότι κάθε βαπτιζόμενος ἀποκηρύσσει [τὸν διάβολο] λέγοντας· «ἀποτάσσομαι

μαι τῷ σατανᾷ καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ· καὶ συντάσσομαι τῷ Χριστῷ καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ. Ποῦ δέ ἐστιν ἡ ἀποταγὴ ἡμῶν, ἐὰν μὴ πᾶν πάθος, καὶ πᾶσαν ἁμαρτίαν, ἣν θέλει ὁ διάβολος καταλείψωμεν; μᾶλλον δὲ ἀπὸ ψυχῆς μισήσωμεν καὶ ἀγαπήσωμεν τὸν Χριστὸν διὰ τῆς τηρήσεως τῶν Αὐτοῦ ἐντολῶν; [26.] Πῶς δὲ τὰς ἐντολὰς αὐτοῦ τηρήσωμεν, ἐὰν μὴ πᾶν θέλημα ἴδιον, καὶ πᾶν νόημα ἀρνησώμεθα; Θελήματα δὲ καὶ νοήματα ἐκεῖνα λέγοιτ᾽ ἄν, τὰ ἀνθιστάμενα τοῖς τοῦ Θεοῦ προστάγμασιν. [27.] Ἐπειδὴ πολλάκις εἰσί τινες, εἴτε ἀπὸ κράσεως, εἴτε ἀπὸ συνηθείας τὸ καλὸν ἔν τισι πράγμασιν ἀγαπῶντες, τὸ δὲ χεῖρον μισοῦντες. Εἰσὶ δὲ καὶ νοήματα καλά, ὡς καὶ ἀπὸ τῶν θείων Γραφῶν ἔχοντα μαρτυρίαν, δέονται δὲ καὶ διακρίσεως παρὰ τῶν ἐμπείρων. Ἐπειδὴ χωρὶς διακρίσεως, οὐδ᾽ αὐτὰ τὰ νομιζόμενα καλά, εἰσὶ καλά· εἴτε διὰ τὸ παρὰ καιρόν, εἴτε παρὰ τὸ δέον, ἤτοι παρ᾽ ἀξίαν, ἢ ἀγνώστως νοοῦντες τὰ λεγόμενα· ὅτι οὐ μόνον τὴν Γραφήν, ἀλλὰ καὶ τὸ τυχὸν ἐρώτημα, ἐὰν μὴ

τὸν σατανᾶ καὶ ὅλα τὰ ἔργα του καὶ συντάσσομαι μὲ τὸν Χριστὸ καὶ μὲ ὅλα τὰ ἔργα Του»[ε']. Ποῦ λοιπὸν εἶναι ἡ ἀποταγή μας, ἐὰν ἐμεῖς δὲν ἐγκαταλείψωμε κάθε πάθος καὶ κάθε ἁμαρτία, τὴν ὁποία θέλει ὁ διάβολος; Πολὺ περισσότερο [ἐὰν δὲν] μισήσωμε ἀπὸ ψυχῆς [τὸν διάβολο] καὶ δὲν ἀγαπήσωμε τὸν Χριστό, μὲ τὴν τήρησι τῶν ἐντολῶν Του;

26. Πῶς λοιπὸν θὰ τηρήσωμε τὶς ἐντολές Του, ἐὰν δὲν ἀρνηθοῦμε κάθε δικό μας θέλημα καὶ κάθε νόημα; Θελήματα δὲ καὶ νοήματα θὰ μποροῦσαν νὰ λεχθοῦν ἐκεῖνα, τὰ ὁποῖα ἀντιτίθενται στὰ προστάγματα τοῦ Θεοῦ.

27. Ἐπειδὴ πολλὲς φορὲς ὑπάρχουν μερικοί, οἱ ὁποῖοι εἴτε ἀπὸ ἰδιοσυγκρασία, εἴτε ἀπὸ συνήθεια ἀγαποῦν τὸ καλὸ σὲ μερικὲς περιπτώσεις, μισοῦν δὲ τὸ κακό. Ὑπάρχουν ὅμως καὶ νοήματα καλά, ὅπως μαρτυροῦνται ἀπὸ τὶς θεῖες Γραφές, χρειάζονται ὅμως [αὐτὰ] τὴν διάκρισι ἀπὸ τοὺς ἐμπείρους. Ἐπειδὴ χωρὶς τὴν διάκρισι, οὔτε αὐτὰ ποὺ θεωροῦμε καλά, εἶναι καλά· εἴτε γιατὶ [γίνονται] παράκαιρα, εἴτε γίνονται χωρὶς νὰ πρέπῃ, ἢ χωρὶς νὰ ἀξίζουν, ἢ γιατὶ δὲν ἀντιλαμβανόμαστε σωστὰ τὰ λεγόμενα. Γιατὶ ὄχι μόνον τὴν Γραφή, ἀλλὰ καὶ τὸ ὁποιοδήποτε ἐρώτημα, ἐὰν δὲν

προσέχωσιν ἀμφότεροι ὅ,τε ἐρωτώμενος καὶ ὁ ἐρωτῶν, μακρὰν τῆς ἐννοίας τῶν λεγομένων γίνονται καὶ οὐ τὴν τυχοῦσαν φέρει ζημίαν. Καὶ γὰρ ἐγὼ πολλάκις ἔπαθον καὶ ἐρωτῶν, καὶ ἐρωτώμενος· ὅταν δὲ ὡς δεῖ τὸ λεγόμενον κατελάμβανον, ὕστερον τοῦτο μαθὼν ἐξιστάμην, πῶς ὁμοίως εἰσὶν οἱ λόγοι, αἱ δὲ ἔννοιαι μακρὰν ἀπ᾽ ἀλλήλων καθεστήκασιν. Οὕτω καὶ ἐν τοῖς λοιποῖς πᾶσι διακρίσεως χρῄζομεν, πῶς ὀφείλομεν ποιῆσαι, ἵνα τὰ τοῦ Θεοῦ θελήματα πράξωμεν. Ὅτι αὐτὸς οἶδε τὴν φύσιν ἡμῶν ἀκριβῶς ὡς ποιητὴς τῶν ἁπάντων, καὶ τὸ συμφέρον ἡμῖν ᾠκονόμησε καὶ ἐνομοθέτησεν, οὐχὶ ξένα τῆς φύσεως, ἀλλὰ τὰ ἴδια ταύτης. Εἰ μὴ πρὸς τελειότητα ἴσως τοῖς θέλουσιν ἑκουσίως πρὸς αὐτὸν ἀνελθεῖν ὑπερφυῶς [28.] εἴτ᾽ οὖν ἡ παρθενία, ἡ ἀκτημοσύνη, ἡ ταπεινοφροσύνη, οὐχὶ δὲ ἡ εὐγνωμοσύνη, αὕτη γὰρ φυσική ἐστιν. Ἡ δὲ ταπεινοφροσύνη ὑπὲρ φύσιν, διότι πᾶσαν ἀρετὴν μετέρχεται ὁ ταπεινόφρων, καὶ μηδὲν χρεωστῶν, χρεώστην ἑαυτὸν ἔχει καί, ὑπὸ κάτω πάντων. Ὁ δὲ εὐγνώμων, χρεωστῶν ὁμο-

προσέξουν καὶ οἱ δύο, δηλαδὴ καὶ αὐτὸς ποὺ ἐρωτᾶται καὶ αὐτὸς ποὺ ἐρωτᾶ, ἀπομακρύνονται ἀπὸ τὴν ἔννοια τῶν λεγομένων καὶ [αὐτὸ] ἐπιφέρει μεγάλη ζημιά. Γιατὶ κι ἐγὼ πολλὲς φορὲς τὸ ἔπαθα καὶ ὅταν ἐρωτοῦσα καὶ ὅταν μὲ ἐρωτοῦσαν· ὅταν ὅμως κατανοοῦσα, ὅπως πρέπει, τὸ λεγόμενο, ὕστερα ἀφοῦ τὸ μάθαινα, ἀποροῦσα πῶς, ἐνῶ μοιάζουν τὰ λόγια, οἱ ἔννοιες ἔχουν εὑρεθεῖ νὰ ἀπέχουν μεταξύ τους [νὰ μὴν συμφωνοῦν]. Ἔτσι καὶ σ᾽ ὅλα τὰ ὑπόλοιπα χρειαζόμαστε τὴ διάκρισι, πῶς δηλαδὴ ὀφείλομε νὰ ἐνεργήσωμε, γιὰ νὰ κάνωμε τὰ θελήματα τοῦ Θεοῦ. Διότι Αὐτὸς γνωρίζει ἐπακριβῶς τὴ φύσι μας, ὡς ποιητὴς τῶν ὅλων καὶ οἰκονόμησε τὸ συμφέρον μας καὶ ἐνομοθέτησε, ὄχι ξένα πρὸς τὴ φύσι μας, ἀλλὰ αὐτὰ ποὺ ἁρμόζουν σ᾽ αὐτήν· ἐκτὸς [τῆς περιπτώσεως ἐκείνων], οἱ ὁποῖοι ἴσως ἐπιθυμοῦν μὲ τὴ θέλησί τους νὰ ἀνέλθουν ὑπερφυσικὰ πρὸς αὐτὸν [λόγῳ τοῦ πόθου τους] γιὰ τὴν τελειότητα.

28. Λοιπὸν [ὑπὲρ φύσιν εἶναι] ἡ παρθενία, ἡ ἀκτημοσύνη, ἡ ταπεινοφροσύνη, ὄχι ὅμως ἡ εὐγνωμοσύνη, γιατὶ αὐτὴ εἶναι κατὰ φύσιν. Ἡ ταπεινοφροσύνη ὅμως εἶναι ὑπὲρ τὴν φύσι, διότι κάθε ἀρετὴ ἐργάζεται ὁ ταπεινόφρων καὶ ἐνῶ δὲν ὀφείλει τίποτε, ὡς ὀφειλέτη θεωρεῖ τὸν ἑαυτόν του, τὸν ὁποῖο ἔχει κάτω ἀπὸ ὅλους. Ὁ εὐγνώμων ὅμως, ὅταν χρεωστῇ, ὁμο-

λογεῖ τὸ χρέος· ὥσπερ ὁ ἐλεῶν, ἐξ ὧν ἔχει ἐλεεῖ καὶ οὐκ ἔστιν ὑπὲρ φύσιν, ὡς ὁ ἀκτήμων· οὐδὲ ὁ συζυγίας μετερχόμενος, ὡς ὁ παρθενεύων· ὑπὲρ φύσιν γάρ ἐστι τοῦτο τὸ χάρισμα· διὰ τοῦτο, ὁ μέν, σῴζεται, εἴπερ τὰ ἴδια θελήματα καταλείψας, τὰ τοῦ Θεοῦ πληροῖ· ὁ δέ, στέφανον τῆς ὑπομονῆς καὶ δόξαν παρὰ Θεοῦ κομίσεται, ὡς οὐ μόνον τὰ ἀπηγορευμένα τοῖς νόμοις ἐάσας, ἀλλὰ σὺν ἐκείνοις καὶ τὴν ἰδίαν φύσιν, Θεοῦ βοηθοῦντος, τὸν ὑπὲρ φύσιν Θεὸν ἠγάπησεν ἐξ ὅλης ψυχῆς καὶ κατὰ δύναμιν μιμησάμενος τὴν αὐτοῦ ἀπάθειαν. [29.] Ἀλλ᾽ ἐπειδὴ ἀγνοοῦμεν, οὐ μόνον ἑαυτούς, καὶ τὰ ὑφ᾽ ἡμῶν γινόμενα, ἀλλὰ καὶ τὸν σκοπὸν αὐτῶν, καὶ τὸ ζητούμενον ἐκ πάντων. Διὰ τοῦτο φαίνονται ἡμῖν αἱ θεῖαι Γραφαί, καὶ οἱ λόγοι τῶν ἁγίων ἀσύμφωνοι, τῶν τε παλαιῶν ἀνδρῶν, προφητῶν, λέγω, καὶ δικαίων, καὶ τῶν νέων ἁγίων πατέρων· καὶ νῦν θέλοντες σωθῆναι, ἀσυμφώνως ἔχουσι πρὸς ἀλλήλους, ὅπερ οὐκ ἔστιν. [30.] Ἰδοὺ δι᾽ ὀλίγων ῥημάτων, ἐκ τῆς τῶν πραγμάτων φύσεως ἴδωμεν, ὅτι πᾶς ἄνθρωπος ἐὰν θέλῃ σωθῆναι, οὐδεὶς δύναται αὐτὸν ἐμποδί-

λογεῖ τὸ χρέος· ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ ἐλεεῖ, ἐλεεῖ ἀπὸ ὅσα ἔχει καὶ δὲν εἶναι πάνω ἀπὸ τὴ φύσι, ὅπως ὁ ἀκτήμων· οὔτε ἐκεῖνος, ὁ ὁποῖος ἀκολουθεῖ τὴ συζυγικὴ ζωή, [εἶναι ἴδιος] μὲ ἐκεῖνον, ποὺ παρθενεύει· γιατὶ αὐτὸ τὸ χάρισμα εἶναι ὑπὲρ τὴν φύσι· γι᾽ αὐτὸ ὁ μὲν [πρῶτος] σώζεται, ἂν βέβαια, ἀφοῦ ἐγκαταλείψῃ τὰ δικά του θελήματα, ἐκπληρώνῃ τὰ θελήματα τοῦ Θεοῦ· ὁ δὲ [παρθενεύων] θὰ λάβῃ τὸν στέφανο τῆς ὑπομονῆς καὶ τῆς δόξας ἀπὸ τὸν Θεό. Ἐπειδὴ μὲ τὴ βοήθεια τοῦ Θεοῦ, ἀφοῦ ἐγκατέλειψε ὄχι μόνο τὰ ἀπαγορευμένα ἀπὸ τοὺς νόμους, ἀλλὰ μαζὶ μὲ ἐκεῖνα καὶ τὴν ἴδια τὴν φύσι του, ἀγάπησε τὸν ὑπὲρ φύσιν Θεὸ μὲ ὅλη του τὴν ψυχὴ καὶ μιμήθηκε, ὅσο τοῦ ἦταν δυνατό, τὴν ἀπάθειά Του.

29. Ἀλλὰ ἐπειδὴ ἐμεῖς ἀγνοοῦμε, ὄχι μόνον τοὺς ἑαυτούς μας [τὶς δυνατότητές μας] καὶ αὐτὰ ποὺ γίνονται ἀπὸ ἐμᾶς [τὶς πράξεις μας], ἀλλὰ καὶ τὸν σκοπὸ αὐτῶν [τὸν λόγο γιὰ τὸν ὁποῖο τὶς κάνομε] καὶ τὶ εἶναι αὐτό, ποὺ ἐπιζητοῦμε μὲ ὅλα αὐτά, γι᾽ αὐτὸ μᾶς φαίνονται, ὅτι δὲν συμφωνοῦν [μὲ τὴν φύσι μας] οἱ θεῖες Γραφὲς καὶ οἱ λόγοι τῶν ἁγίων, τόσο τῶν παλαιῶν ἀνδρῶν, προφητῶν λέγω καὶ δικαίων, [ὅσο] καὶ τῶν νέων ἁγίων Πατέρων· καὶ εἰς τοὺς νῦν [καιρούς], ἐνῶ θέλομε νὰ σωθοῦμε, [θεωροῦμε] ὅτι ἔχουν μεταξύ τους ἀσυμφωνία [ἡ φύσι μας μὲ τὸ νόμο τοῦ Θεοῦ], πρᾶγμα τὸ ὁποῖο ὅμως δὲν συμβαίνει.

30. Νά, μὲ λίγα λόγια, ἂς δοῦμε ἀπὸ τὴν φύσι τῶν πραγμάτων, ὅτι κάθε ἄνθρωπος ἐὰν θέλῃ νὰ σωθῇ, κανεὶς δὲν μπορεῖ νὰ τὸν ἐμποδίσῃ,

σαι, οὔτε καιρός, οὔτε τόπος, οὔτε ἐγχείρημα· μόνον ἂν μὴ παρὰ τὴν χρῆσιν τοῦ πράγματος, οὗ βούλεται ποιεῖν, μετέρχηται. Ἀλλ᾽ ὡς δεῖ μετὰ διακρίσεως πρὸς τὸν θεῖον σκοπὸν πᾶν νόημα νεύων. Διότι οὐ τὰ γινόμενα ἐστὶν ἀναγκαῖα, ἀλλὰ δι᾽ οὗ γίνονται. [31.] Οὐδὲ ἀκουσίως ἁμαρτάνομεν, εἰμὴ ἑκουσίως τῷ λογισμῷ πρῶτον συγκατατιθέμεθα, καὶ εἰς αἰχμαλωσίαν ἐμπίπτομεν· καὶ τότε αὐτὸς ἄκοντα καὶ μὴ βουλόμενον εἰς τὸ ἁμαρτάνειν φέρει τὸν αἰχμάλωτον. Ὁμοίως δὲ καὶ τὰ ἐν ἀγνοίᾳ γινόμενα πταίσματα, ἐκ τῶν ἐν γνώσει γίνονται· εἰ μὴ γὰρ μεθύει τις, εἴτε οἴνῳ, εἴτε ἐπιθυμίᾳ, οὐκ ἀγνοεῖ. Ἐκ δὲ τοῦ μεθύειν ἄρχεται τοῦ σκοτοῦσθαι ὁ νοῦς, καὶ ἐκ τούτου τὸ πίπτειν, ἐξ ἐκείνου δὲ τὸ ἀποθνήσκειν· ὥστε οὐχ ὁ θάνατος ἦλθεν ἀγνώστως, ἀλλ᾽ ἡ ἐν γνώσει μέθη τὸν ἐν ἀγνοίᾳ θάνατον ἤγαγε. Καὶ πολλὰ εὑρήσει τις μάλιστα ἐν τοῖς νοήμασιν, ὅτι ἐξ ἑκουσίων εἰς τὰ ἀκούσια, καὶ ἀπὸ τῶν ἐν γνώσει εἰς τὰ ἐν ἀγνοίᾳ προσπίπτομεν. Ἀλλὰ διὰ τὸ φαίνεσθαι ἡμῖν τὰ πρῶτα ἐλαφρὰ καὶ γλυκέα, διὰ τοῦτο ἐρ-

οὔτε ὁ καιρὸς [χρόνος], οὔτε ὁ τόπος, οὔτε τὸ ἐγχείρημα [ὁ τρόπος ποὺ ἐπιχειρεῖ τὸ ἔργο]. Μόνο τὸ πρᾶγμα ποὺ θέλει νὰ ἐπιχειρήσῃ [γιὰ τὴν σωτηρία του] νὰ μὴν τὸ χρησιμοποιήσῃ ἀπρεπῶς, ἀλλὰ ὅπως πρέπει μὲ διάκρισι, κατευθύνοντας κάθε ἐπινόησί του πρὸς τὸν θεῖο σκοπό. Διότι δὲν εἶναι ἀπαραίτητα [γιὰ τὴ σωτηρία μας] αὐτὰ ποὺ γίνονται, ἀλλὰ [τὸ μέσον] διὰ τοῦ ὁποίου γίνονται.

31. Οὔτε χωρὶς τὴ θέλησί μας ἁμαρτάνομε, ἐὰν πρῶτα δὲν συγκατατεθοῦμε ἑκούσια μὲ τὸν λογισμό μας καὶ μετὰ περιπέσωμε στὴν αἰχμαλωσία [τοῦ πάθους]· καὶ τότε αὐτὸς [ὁ λογισμός] σύρει τὸν αἰχμάλωτο στὴν ἁμαρτία ἀκούσια καὶ χωρὶς νὰ τὸ θέλῃ. Παρομοίως δὲ καὶ τὰ ἁμαρτήματα, ποὺ γίνονται ἀπὸ ἄγνοια, προέρχονται ἀπὸ αὐτά, ποὺ γίνονται μὲ γνῶσι· διότι ἂν κάποιος δὲν μεθάῃ, εἴτε μὲ κρασί, εἴτε μὲ ἐπιθυμία, δὲν ἔρχεται σὲ ἄγνοια. Ἀπὸ δὲ τὴ μέθη ἀρχίζει νὰ σκοτίζεται ὁ νοῦς καὶ ἀπὸ αὐτὸ προέρχεται ἡ πτῶσι καὶ ἀπὸ αὐτὴ [τὴν πτῶσι] ὁ θάνατος. Ὥστε ὁ θάνατος δὲν προῆλθε ἀπὸ ἄγνοια, ἀλλὰ ἡ ἐν γνώσει μέθη ἔφερε τὸν ἐν ἀγνοίᾳ θάνατο. Καὶ πολλὰ θὰ εὕρῃ κανεὶς προπάντων στοὺς λογισμούς, ὅτι [δηλαδὴ] πέφτομε ἀπὸ τὰ ἑκούσια στὰ ἀκούσια καὶ ἀπὸ ἐκεῖνα [ποὺ γίνονται] μὲ γνῶσι, σ᾽ αὐτά [ποὺ γίνονται] ἀπὸ ἄγνοια. Ἀλλὰ ἐπειδὴ φαίνονται σ᾽ ἐμᾶς τὰ πρῶτα ἐλαφρὰ καὶ γλυκά, γι᾽ αὐτὸ ἐρχό-

χόμεθα εἰς τὰ δεύτερα ἀβουλήτως καὶ ἀγνώστως. [32.] Εἰ γὰρ ἐξ ἀρχῆς ἠθελήσαμεν τὰς ἐντολὰς τηρεῖν, καὶ μένειν ὡς ἐβαπτίσθημεν, οὐκ ἂν εἰς τοσαῦτα ἤλθωμεν, καὶ ἐδεήθημεν τῶν τῆς μετανοίας κόπων, καὶ πόνων. [33.] Ὅμως καὶ πάλιν ἐὰν θέλωμεν, ἡ δευτέρα τοῦ Θεοῦ χάρις, ἤτοι ἡ μετάνοια, δύναται εἰς τὸ ἀρχαῖον κάλλος ἀνάξαι ἡμᾶς. Εἰ δὲ οὐδὲ ταύτης ἐπιμελούμεθα, ἐξ ἀνάγκης ὡς οἱ μὴ μετανοοῦντες δαίμονες, εἰς τὴν αἰώνιον κόλασιν μετ᾽ αὐτῶν ἀπερχόμεθα, θέλοντες μᾶλλον, ἢ μὴ θέλοντες. Οὐ γὰρ εἰς ὀργὴν ὁ Θεὸς ἔκτισεν ἡμᾶς, ἀλλ᾽ εἰς περιποίησιν[27]· ἵνα τῶν ἀγαθῶν αὐτοῦ ἀπολαύωμεν, εὐχαρίστως διακείμεθα, καὶ εὐγνωμόνως περὶ τὸν εὐεργέτην. Ἀλλ᾽ ἡ ἀμέλεια ἡμῶν, περὶ τὴν γνῶσιν τῶν αὐτοῦ δωρεῶν, εἰς ῥαθυμίαν ἡμᾶς ἤγαγε. Καὶ αὕτη εἰς λήθην παρέπεμψεν, ἐξ ἧς ἡ ἄγνοια εἰς ἡμᾶς ἐβασίλευσεν. [34.] Ὅταν δὲ ἀρχὴν θέλωμεν βαλεῖν, εἰς τὸ στραφῆναι ὅθεν ἐξεπέσαμεν, πολλοῦ κόπου δεόμεθα, διότι οὐ θέλομεν καταλεῖψαι τὰ θελήματα ἡμῶν· ἀλλὰ δοκοῦμεν ὅτι μετὰ τοῦ

μαστε στὰ δεύτερα χωρὶς τὴ θέλησί μας καὶ ἀπὸ ἔλλειψι γνώσεως.

32. Διότι ἂν ἐξ ἀρχῆς θέλαμε νὰ τηροῦμε τὶς ἐντολὲς καὶ νὰ παραμένωμε ὅπως βαπτισθήκαμε, δὲν θὰ ἐρχόμασταν σὲ τόσο μεγάλα [ἁμαρτήματα] καὶ δὲν θὰ εἴχαμε ἀνάγκη τοὺς κόπους καὶ τοὺς πόνους τῆς μετανοίας.

33. Ὅμως καὶ πάλιν, ἂν θέλωμε, ἡ δεύτερη Χάρις τοῦ Θεοῦ, δηλαδὴ ἡ μετάνοια, μπορεῖ νὰ μᾶς ἀνεβάση στὸ ἀρχαῖο κάλλος. Ἂν ὅμως οὔτε γι᾽ αὐτὴ φροντίζωμε, ἀναγκαστικά, ὅπως οἱ δαίμονες ποὺ δὲν μετανοοῦν, πηγαίνομε μαζὶ μὲ αὐτοὺς στὴν αἰώνια κόλασι, θέλοντας μᾶλλον, παρὰ μὴ θέλοντας. Γιατὶ ὁ Θεὸς δὲν μᾶς ἐδημιούργησε [γιὰ νὰ δεχθοῦμε] «τὴν ὀργή Του, ἀλλὰ τὴν ἀγάπη Του γιὰ τὴ σωτηρία μας»· γιὰ νὰ ἀπολαύσωμε τὰ ἀγαθά Του, [πρέπει λοιπὸν] νὰ διακείμεθα μὲ εὐχαριστία καὶ μὲ εὐγνωμοσύνη πρὸς τὸν εὐεργέτη. Ἀλλὰ ἡ ἀμέλειά μας, γιὰ τὴν ἐπίγνωσι τῶν δωρεῶν Του, μᾶς ὁδήγησε σὲ ῥαθυμία. Καὶ αὐτὴ μᾶς παρέπεμψε στὴ λησμοσύνη, ἀπὸ τὴν ὁποία κυριάρχησε σὲ μᾶς ἡ ἄγνοια.

34. Ὅταν ὅμως θέλωμε νὰ βάλωμε [νέα] ἀρχὴ ἐπιστροφῆς, ἐκεῖ ἀπ᾽ ὅπου ἐκπέσαμε, ἔχομε ἀνάγκη ἀπὸ πολὺ κόπο, διότι δὲν θέλομε νὰ ἐγκαταλείψωμε τὰ θελήματά μας, ἀλλὰ νομίζομε ὅτι μαζὶ μὲ τὰ [θελήματα] τοῦ Θεοῦ

Θεοῦ καὶ τὰ ἡμέτερα ποιεῖν δυνάμεθα, ὅπερ ἀμήχανον. Αὐτὸς γὰρ καὶ Κύριος ἔφη· οὐ ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τοῦ πέμψαντός με Πατρός[28]· καίπερ ἓν θέλημα Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος, ὡς μία φύσις ἀχώριστος· ἀλλὰ δι᾽ ἡμᾶς ταῦτα εἴρηκε, καὶ κατὰ τὸ τῆς σαρκὸς θέλημα. Εἰ μὴ γὰρ καταποθῇ ἡ σάρξ, καὶ γένηται ὁ ἄνθρωπος ὅλος ἀγόμενος τῷ πνεύματι τοῦ Θεοῦ[29], οὐ ποιεῖ τὸ θέλημα τοῦ Θεοῦ ἐκτὸς βίας.

[35.] Ὅταν δὲ βασιλεύσῃ ἡ χάρις τοῦ πνεύματος ἐν ἡμῖν, τότε οὐκ ἔτι ἴδιον ἔχομεν, ἀλλ᾽ εἴ τι γένηται, θέλημα Θεοῦ ἐστι· τότε εἰρηνεύομεν. Καὶ υἱοὶ Θεοῦ κληθήσονται[30] οἱ τοιοῦτοι, ὅτι τὸ θέλημα τοῦ Πατρὸς θέλουσιν, ὥσπερ ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ Θεός. Τοῦτο δὲ ἀδύνατον εὑρεῖν τινά, ἐκτὸς συντηρήσεως τῶν ἐντολῶν, δι᾽ ὧν πάσης ἡδονῆς, ἤτοι θελήματος ἰδίου ἐκκοπῇ [recte: ἐκκοπὴ][η΄] καὶ πάσης ὀδύνης, τῆς ὑπὲρ τούτου γινομένης ὑπομονῆς. Ἐκ γὰρ ἀφροσύνης ἡδονή, καὶ ὀδύνη γεννῶνται, ὡς προείρηται, καὶ ἐκ τούτων πᾶσα κακία. Διότι ὁ ἄφρων φίλαυτός

καὶ τὰ δικά μας μποροῦμε νὰ κάνωμε, πρᾶγμα τὸ ὁποῖον εἶναι ἀδύνατο. Διότι ὁ ἴδιος ὁ Κύριος εἶπε· «δὲν κάνω τὸ δικό μου θέλημα, ἀλλὰ [τὸ θέλημα] τοῦ Πατρὸς ποὺ μὲ ἀπέστειλε»· ἂν καὶ ἕνα [εἶναι] τὸ θέλημα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, ἐπειδὴ εἶναι μία φύσις ἀχώριστος· ἀλλὰ γιὰ μᾶς τὰ ἔχει πεῖ αὐτὰ καὶ σύμφωνα μὲ τὸ θέλημα τῆς σαρκός. Γιατὶ ἂν δὲν καταποθῇ [κατανικηθῇ] ἡ σάρκα καὶ δὲν ὁδηγῆται ὁ ἄνθρωπος ὅλος ἀπὸ τὸ πνεῦμα τοῦ Θεοῦ, δὲν κάνει τὸ θέλημα τοῦ Θεοῦ, παρὰ μόνο μὲ τὴν βία.

35. Ὅταν ὅμως βασιλεύσῃ ἡ Χάρις τοῦ Πνεύματος μέσα μας, τότε δὲν ἔχομε πιὰ κανένα [θέλημα] δικό μας, ἀλλὰ ἂν γίνῃ κάτι, [αὐτὸ] εἶναι θέλημα Θεοῦ. Τότε εἰρηνεύομε. Καὶ αὐτοὶ οἱ ἄνθρωποι «θὰ ὀνομασθοῦν υἱοὶ Θεοῦ», διότι θέλουν τὸ θέλημα τοῦ Πατρός, ὅπως ἀκριβῶς ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεός. Αὐτὸ ὅμως εἶναι ἀδύνατο νὰ τὸ εὕρῃ κανείς, χωρὶς τὴν τήρησι τῶν ἐντολῶν, μὲ τὶς ὁποῖες [ἐντολές ἔρχεται] ἡ ἀποκοπὴ ἀπὸ κάθε ἡδονή, δηλαδὴ ἀπὸ κάθε δικό μας θέλημα καὶ ἀπὸ κάθε ὀδύνη, [ποὺ μᾶς ἔρχεται] ἐξ αἰτίας τῆς ὑπομονῆς [ποὺ γίνεται] γι᾽ αὐτό. Διότι ἀπὸ τὴν ἀφροσύνη γεννιῶνται ἡ ἡδονὴ καὶ ἡ ὀδύνη, ὅπως προείπαμε· καὶ ἀπὸ αὐτὲς κάθε κακία. Γιατὶ ὁ ἄφρων εἶναι φίλαυ-

ἐστι, καὶ οὐ δύναται φιλάδελφος εἶναι, οὐδὲ φιλόθεος· καὶ οὔτε ἐγκράτειαν τῶν ἡδονῶν, ἤτοι τῶν θελημάτων τῶν ἀρεσκόντων αὐτῷ ἔχει, οὔτε ὑπομονὴν τῶν ὀδυνηρῶν· ἀλλὰ ποτὲ μὲν ἐπιτυγχάνοντι τοῦ ἰδίου θελήματος, αὔξεται ἐν αὐτῷ ἡδονὴ καὶ ἔπαρσις· ποτὲ δὲ ἀποτυχών, καὶ ὑπὲρ τῆς τούτου ὀδύνης τυραννούμενος, ἔρχεται εἰς μικροψυχίαν καὶ πνιγμὸν τῆς ψυχῆς, ἥτις ἐστὶν ἀρραβὼν τῆς γεέννης.

*[**36.**] Ἐκ δὲ τῆς γνώσεως, ἤγουν τῆς φρονήσεως, γεννᾶται ἐγκράτεια καὶ ὑπομονή. Διότι ὁ φρόνιμος κατέχει τὸ ἴδιον θέλημα καὶ ὑπομένει τὴν ὑπὲρ τούτου ὀδύνην· καὶ τῶν μὲν ἡδέων ὡς ἀνάξιον ἑαυτὸν λογιζόμενος, γίνεται εὐγνώμων καὶ εὐχάριστος περὶ τὸν εὐεργέτην, φοβούμενος μήπως διὰ τῶν πολλῶν ἀγαθῶν, ὧν ἐδωρήσατο αὐτῷ ὁ Θεὸς ἐν τῷ νῦν αἰῶνι, ζημιωθῇ ἐν τῷ μέλλοντι. Καὶ οὕτω δι᾿ ἐγκρατείας καὶ τὰς ἄλλας ἀρετὰς ἐργάζεται, λογιζόμενος ἑαυτὸν χρεώστην πάντων, μικρὸν δὲ ἀνταμεῖψαι τῷ εὐεργέτῃ μὴ εὑρίσκων τι, ἀλλὰ καὶ τὰς ἀρετὰς ὡς μεῖζον χρέος λογίζεται. Λαμβάνει*

τος καὶ δὲν μπορεῖ νὰ γίνῃ φιλάδελφος, οὔτε φιλόθεος καὶ οὔτε [νὰ ἔχῃ] ἐγκράτεια τῶν ἡδονῶν, δηλαδὴ τῶν θελημάτων ποὺ εἶναι τῆς ἀρεσκείας του, οὔτε [νὰ ἔχῃ] ὑπομονὴ στὰ ὀδυνηρά. Ἀλλὰ ἄλλοτε μέν, ὅταν ἐπιτυγχάνῃ τὸ θέλημά του, αὐξάνεται μέσα του ἡ ἡδονὴ καὶ ἡ ἔπαρσι· ἄλλοτε δέ, ὅταν ἀποτύχῃ καὶ τυραννιέται ἐξ αἰτίας τῆς ὀδύνης, ποὺ προέκυψε ἀπὸ αὐτό, φθάνει σὲ μικροψυχία καὶ πνιγμὸ τῆς ψυχῆς [ἀπὸ τὴν ἀπόγνωσι], ἡ ὁποία εἶναι ὁ ἀρραβώνας τῆς κολάσεως.

36. Ἀπὸ τὴ γνῶσι ὅμως, δηλαδὴ τὴ φρόνησι, γεννιέται ἡ ἐγκράτεια καὶ ἡ ὑπομονή. Διότι ὁ φρόνιμος ἐξουσιάζει τὸ θέλημά του καὶ ὑπομένει τὴν ὀδύνη γι᾿ αὐτό. Καὶ ἐπειδὴ γιὰ τὰ μὲν εὐχάριστα θεωρεῖ τὸν ἑαυτό του ἀνάξιο, γίνεται εὐγνώμων καὶ εὐχάριστος πρὸς τὸν εὐεργέτη, φοβούμενος μήπως λόγῳ τῶν πολλῶν ἀγαθῶν, ποὺ τοῦ ἐχάρισε ὁ Θεὸς στὸν παρόντα αἰῶνα [παροῦσα ζωή], ζημιωθῇ στὸν μέλλοντα [αἰῶνα]. Καὶ ἔτσι μὲ τὴν ἐγκράτεια καλλιεργεῖ καὶ τὶς ἄλλες ἀρετές, μὲ τὸ νὰ θεωρῇ τὸν ἑαυτό του ὀφειλέτη γιὰ ὅλα. Ἐπειδὴ δέ, δὲν εὑρίσκει ἔστω κάτι μικρό γιὰ νὰ ἀνταποδώσῃ στὸν εὐεργέτη καὶ τὶς ἀρετὲς ἀκόμη τὶς θεωρεῖ ὡς τὸ μεγαλύτερο χρέος. Διότι λαμ-

γὰρ καὶ οὐ παρέχει, τοῦτο δὲ μόνον, ὅτι ἠξιώθη εὐχαριστῆσαι τῷ Θεῷ καὶ [recte: ὅτι][θ] δέχεται αὐτοῦ τὴν εὐχαριστίαν, μεῖζον χρέος λογίζεται καὶ εὐχαριστῶν διαμένει, ἀεί, πᾶν ἀγαθὸν ποιῶν καὶ ἀεὶ ἐπὶ πλεῖον χρεώστην ἑαυτόν, καὶ ὑπὸ κάτω πάντων ἔχει ταπεινοφρονῶν. Εὐφραινόμενος ἐν Θεῷ τῷ εὐεργετοῦντι αὐτόν, καὶ ἐν τρόμῳ ἀγαλλιώμενος[31], καὶ πρὸς θείαν καὶ ἄπτωτον ἀγάπην ἐρχόμενος διὰ ταπεινοφροσύνης τὰ ὀδυνηρὰ ὡς ἄξιος δέχεται. Μᾶλλον δὲ καὶ πλείονα τῶν ἐπερχομένων αὐτῷ, ἄξιον ἑαυτὸν λογίζεται, καὶ χαίρει ὅτι μικρὸν ἠξιώθη ἐν τῷ νῦν αἰῶνι θλιβῆναι· καὶ κἂν κουφισμὸν λάβῃ τῶν πολλῶν κολάσεων, ὧν προευτρέπισεν ἑαυτῷ ἐν τῷ μέλλοντι· καὶ ὅτι ἐν τούτῳ γινώσκει τὴν ἰδίαν ἀσθένειαν, καὶ μὴ ἐπαίρεσθαι· καὶ ὅτι ἠξιώθη ταῦτα γινώσκειν καὶ ὑπομένειν ὑπὸ τῆς χάριτος τοῦ Θεοῦ, εἰς θεῖον πόθον ἔρχεται. [37.] Ἡ γὰρ ταπεινοφροσύνη γέννημά ἐστι τῆς γνώσεως, ἡ δὲ γνῶσις γέννημα τῶν πειρασμῶν. Ὁ γνοὺς ἑαυτόν, δίδοται αὐτῷ ἡ γνῶσις τῶν πάντων· καὶ ὁ ὑποτασσό-

βάνει καὶ δὲν προσφέρει παρὰ μόνο τοῦτο, τὸ ὅτι ἀξιώθηκε νὰ εὐχαριστήσῃ τὸν Θεό· καὶ ἐπειδὴ [Ἐκεῖνος] δέχεται τὴν εὐχαριστία του, θεωρεῖ [αὐτὸ ὡς] τὸ μεγαλύτερο χρέος καὶ συνεχῶς παραμένει στὴν εὐχαριστία, μὲ τὸ νὰ κάνῃ κάθε καλό· καὶ πάντοτε περισσότερο [θεωρεῖ] χρεοφειλέτη τὸν ἑαυτό του καὶ τὸν ἔχει ὑπὸ κάτω ὅλων, μὲ τὸ νὰ ταπεινοφρονῇ. Καὶ ἐνῶ εὐφραίνεται ἀπὸ τὸν Θεό, ποὺ τὸν εὐεργετεῖ καὶ «μὲ τρόμο αἰσθάνεται ἀγαλλίασι» καὶ ὅταν φθάνῃ στὴ θεία ἀδιάπτωτη ἀγάπη μὲ ταπεινοφροσύνη, δέχεται τὰ ὀδυνηρὰ σὰν [νὰ ἦταν] ἄξιος [γι᾽ αὐτά]. Μᾶλλον δὲ καὶ γιὰ τὰ περισσότερα ἀπὸ τὰ ἐπερχόμενα κακά, θεωρεῖ τὸν ἑαυτόν του ἄξιο [νὰ τὰ πάθῃ] καὶ χαίρεται, γιατὶ ἀξιώθηκε νὰ θλιβῇ ἔστω καὶ λίγο εἰς τὸν νῦν αἰῶνα [παροῦσα ζωή]· καὶ ἂν εἶναι δυνατὸν νὰ λάβῃ ἐλάφρυνσι ἀπὸ τὶς πολλὲς τιμωρίες, τὶς ὁποῖες προετοίμασε γιὰ τὸν ἑαυτό του στὴ μέλλουσα ζωή· καὶ ὅτι μὲ αὐτὸ γνωρίζει τὴν δική του ἀσθένεια, [ὥστε] νὰ μὴν ὑπερηφανεύεται· καὶ [μὲ τὸ] ὅτι ἀξιώθηκε νὰ γνωρίζῃ αὐτὰ καὶ νὰ τὰ ὑπομένῃ μὲ τὴν Χάρι τοῦ Θεοῦ, φθάνῃ στὸν θεῖο πόθο.

37. Διότι ἡ ταπεινοφροσύνη εἶναι γέννημα τῆς γνώσεως, ἡ δὲ γνῶσι γέννημα τῶν πειρασμῶν. Σ᾽ ἐκεῖνον, ποὺ γνώρισε τὸν ἑαυτό του, δίνεται ἡ γνῶσι τῶν πάντων[στ']· καὶ αὐτός, ποὺ ὑποτάσσεται στὸν

μενος τῷ Θεῷ, ὑποτάσσει ἑαυτῷ πᾶν φρόνημα σαρκικόν, καὶ μετὰ ταῦτα ὑποταγήσεται αὐτῷ τὰ πάντα, ὅτε βασιλεύσῃ ἡ ταπείνωσις ἐν τοῖς μέλεσιν αὐτοῦ. Ὁ γὰρ γνοὺς ἑαυτόν, ὥς φασιν οἱ ἅγιοι, Βασίλειός τε καὶ Γρηγόριος, ὅτι μέσον ἐστὶ μεγέθους καὶ ταπεινότητος, ὡς νοερὰν ἔχων ψυχὴν καὶ ὡς θνητὸν καὶ γήϊνον ἔχων σῶμα, οὐδέποτε ἐπαίρεται, οὐδὲ ἀπογινώσκει. Ἀλλ᾽ αἰσχυνόμενος τὸ νοερὸν τῆς ψυχῆς, πάντα τὰ αἴσχιστα ἀποστρέφεται καί, τὴν ἀσθένειαν ἑαυτοῦ γινώσκων, πᾶσαν ἔπαρσιν φεύγει. [38.] Ὁ τοίνυν γνοὺς τὴν ἰδίαν ἀσθένειαν ἐκ τῶν πολλῶν πειρασμῶν, τῶν τε ψυχικῶν, καὶ σωματικῶν παθῶν, αὐτὸς εἶδε τὴν ἄπειρον τοῦ Θεοῦ δύναμιν, πῶς τοὺς ταπεινοὺς ῥύεται βοῶντας πρὸς αὐτόν, διὰ τῆς ἐμπόνου προσευχῆς ἀπὸ καρδίας καὶ λοιπὸν γίνεται τῷ τοιούτῳ ἡ εὐχή, ὥσπερ τρυφή· εἰδώς, ὅτι χωρὶς τοῦ Θεοῦ οὐ δύναταί τι ποιῆσαι[32], καὶ ἀπὸ τοῦ φόβου τοῦ μὴ πεσεῖν, προσκολλᾶσθαι μὲν τῷ Θεῷ ἀγωνίζεται, θαυμάζει δὲ λογιζόμενος, πῶς αὐτὸν ὁ Θεὸς ἐκ πειρασμῶν καὶ παθῶν ἐρρύ-

Θεό, ὑποτάσσει στὸν ἑαυτόν του κάθε σαρκικὸ φρόνημα καὶ στὴ συνέχεια ὅλα θὰ ὑποταχθοῦν σ᾽ αὐτόν, ὅταν ἡ ταπείνωσι βασιλεύσῃ στὰ μέλη του. Διότι ἐκεῖνος, ποὺ γνώρισε τὸν ἑαυτό του, – καθὼς λένε οἱ Ἅγιοι καὶ ὁ Βασίλειος καὶ ὁ Γρηγόριος[ζ'], ὅτι εἶναι στὸ μέσον τοῦ μεγέθους [μεγαλείου] καὶ τῆς ταπεινότητος, ἐπειδὴ ἔχει νοερὰ ψυχὴ καὶ θνητὸ καὶ γήϊνο σῶμα, – ποτὲ δὲν ὑπερηφανεύεται οὔτε ἀπογοητεύεται. Ἀλλά, ἐπειδὴ σέβεται τὸ νοερὸ τῆς ψυχῆς, ἀποστρέφεται ὅλα τὰ αἰσχρὰ καὶ ἐπειδὴ γνωρίζει τὴν ἀσθένειά του, ἀποφεύγει κάθε ἔπαρσι.

38. Ἐκεῖνος λοιπὸν ποὺ γνώρισε τὴν ἀσθένειά του, ἐξ αἰτίας τῶν πολλῶν πειρασμῶν καὶ τῶν ψυχικῶν καὶ σωματικῶν παθῶν, αὐτὸς εἶδε τὴν ἄπειρο δύναμι τοῦ Θεοῦ, πῶς [δηλαδὴ] λυτρώνει τοὺς ταπεινούς, οἱ ὁποῖοι μὲ ἐπίπονη προσευχὴ ἀπὸ καρδίας βοοῦν πρὸς Αὐτὸν καὶ [ἔτσι] στὴν συνέχεια γίνεται σὲ ἐκεῖνον ἡ προσευχή, ὅπως ἀκριβῶς ἡ ἀπόλαυσι. Ἐπειδὴ γνωρίζει, ὅτι χωρὶς τὸν Θεὸ δὲν μπορεῖ νὰ κάνῃ τίποτε καὶ ἀπὸ τὸν φόβο, μήπως πέσει, ἀγωνίζεται νὰ προσκολληθῇ στὸν Θεό, ἀπορεῖ δὲ ὅταν σκέπτεται, πῶς ὁ Θεὸς τὸν ἐλύτρωσε ἀπὸ τόσους [πολλοὺς] πειρα-

σατο τοσούτων, καὶ εὐχαριστεῖ τὸν δυνάμενον ῥύσασθαι, καὶ σὺν τῇ εὐχαριστίᾳ τὴν ταπείνωσιν καὶ τὴν ἀγάπην προσλαμβάνει, καὶ οὐ τολμᾷ ὅλως κρῖναί τινα· γινώσκων ὅτι ὥσπερ ὁ Θεὸς αὐτὸν [recte: αὐτῷ][ι΄] ἐβοήθησεν, οὕτω καὶ πᾶσι βοηθῆσαι, ὅτε θέλει, δύναται, ὥς φησιν ὁ Ἅγιος Μάξιμος· ἴσως δὲ ὅτι καὶ δύναταί τις παλαίειν πάθεσι πολλῶν [recte: πολλοῖς][ια΄] καὶ νικᾶν, ἑαυτὸν δὲ ἀσθενῆ ὄντα ἔχει· καὶ τούτου χάριν ὁ Θεὸς διὰ τάχους αὐτὸν ἐβοήθησεν, ἵνα μὴ τελείως ἀπόλλυται ἡ ψυχὴ αὐτοῦ. Καὶ ἄλλα πλείονα, ὁ γινώσκων τὴν ἰδίαν ἀσθένειαν, λογιζόμενος, μένει ἄπτωτος. [39.] Ἀδύνατον δέ τινα ἐλθεῖν ἐν τούτῳ, εἰ μὴ πολλοὺς πειρασμοὺς ψυχικούς τε καὶ σωματικοὺς πάθοι, καὶ τῇ τοῦ Θεοῦ δυνάμει δι᾽ ὑπομονῆς κρατούμενος, τὴν πεῖραν μάθῃ. [40.] Ὁ δὲ τοιοῦτος οὐ τολμᾷ ὅλως ἴδιον θέλημα ποιῆσαι, ἐκτὸς ἐρωτήσεως τῶν ἐμπείρων, οὐδὲ νόημα στῆσαι· ἐπεὶ τίς ἡ χρεία, μὴ πρὸς τὸ ζῆν σωματικῶς ἢ σωθῆναι ψυχικῶς, ποιῆσαί τι ἢ λογίσασθαι θέλοντα; Εἰ δέ τις οὐ γινώσκει

σμοὺς καὶ πάθη καὶ εὐχαριστεῖ Αὐτόν, ποὺ μπορεῖ νὰ τὸν λυτρώνῃ καὶ μαζὶ μὲ τὴν εὐχαριστία κερδίζει τὴν ταπείνωσι καὶ τὴν ἀγάπη καὶ δὲν τολμᾶ νὰ κρίνῃ κανένα. Γιατὶ γνωρίζει, ὅτι, ὅπως ὁ Θεὸς ἐβοήθησε αὐτόν, ἔτσι, ὅταν θέλῃ, μπορεῖ νὰ βοηθήσῃ ὅλους, ὅπως λέγει ὁ Ἅγιος Μάξιμος[π΄]. [Γνωρίζει] ἀκόμη, ὅτι ἴσως καὶ μπορεῖ κανεὶς νὰ παλεύῃ μὲ πολλὰ πάθη καὶ νὰ τὰ νικᾶ, ἂν καὶ ὁ ἴδιος εἶναι ἀσθενής· καὶ χάριν αὐτοῦ [τῆς ἐπιγνώσεως δηλαδὴ τῆς ἀσθενείας του] τὸν ἐβοήθησε γρήγορα ὁ Θεός, γιὰ νὰ μὴ χαθῇ ἐντελῶς ἡ ψυχή του. Καὶ ἄλλα περισσότερα διαλογιζόμενος ἐκεῖνος, ὁ ὁποῖος γνωρίζει τὴν ἀσθένειά του, μένει ἄπτωτος.

39. Εἶναι δὲ ἀδύνατο νὰ φθάσῃ κανεὶς σ᾽ αὐτὸ [σ᾽ αὐτὴ τὴν κατάστασι], ἂν δὲν πάθῃ πολλοὺς ψυχικοὺς καὶ σωματικοὺς πειρασμοὺς καὶ μὲ τὴν δύναμι τοῦ Θεοῦ, μένοντας σταθερὸς μὲ τὴν ὑπομονή, νὰ μάθῃ τὴν πεῖρα [νὰ γίνῃ ἔμπειρος στὸν πνευματικὸ ἀγῶνα].

40. Αὐτὸς δὲ [ὁ ἄνθρωπος] δὲν τολμᾶ νὰ κάνῃ οὐδόλως τὸ δικό του θέλημα, χωρὶς νὰ ρωτήσῃ τοὺς ἐμπείρους, οὔτε νὰ διατυπώσῃ δικό του νόημα· γιατὶ ποιὰ [εἶναι] ἡ ἀνάγκη νὰ θέλῃ νὰ κάνῃ ἢ νὰ σκεφθῇ κάτι, ποὺ δὲν [ἀποβλέπει] στὴ σωματικὴ ζωὴ ἢ στὴν ψυχικὴ σωτηρία; Ἐὰν δὲ κάποιος δὲν γνωρίζῃ

*ποῖον θέλημα ὀφείλει καταλιπεῖν καὶ ποῖον νόημα, δοκιμαζέτω πᾶν πρᾶγμα καὶ πᾶν νόημα τῇ τούτου ἀποχῇ καὶ ἐπικρατείᾳ καὶ ὁποίαν ὄχλησιν ἐπιφέρει, καὶ γινόμενον μὲ [recte: μὲν] ἡδονήν, κωλυόμενον δὲ ὀδύνην, κακόν ἐστι, καὶ ὀφείλει καταφρονεῖν αὐτὸ πρὶν χρονίσει, καὶ ἔχει κοπιάσει εἰς τὸ νικῆσαι αὐτό, ὅταν αἴσθηται τῆς βλάβης αὐτοῦ. Τοῦτο δὲ λέγω περὶ παντὸς πράγματος, καὶ νοήματος, οὗ χωρὶς δυνάμεθα ζῆσαι σωματικῶς, καὶ τῷ Θεῷ εὐαρεστῆσαι. [**41.**] Ἐπειδὴ ἡ συνήθεια χρονίζουσα, φύσεως ἰσχὺν λαμβάνει· καὶ ἐὰν οὐ παρέχῃς αὐτήν, ἀτονεῖ καὶ κατὰ μικρὸν ἀπόλλυται. Εἴτε γὰρ ἀγαθὴν συνήθειαν, εἴτε κακήν, ὁ χρόνος οἶδε τρέφειν, ὥσπερ τὸ πῦρ τρέφουσιν αἱ ὗλαι. [**42.**] Διὰ τοῦτο ὀφείλομεν τὸ ἀγαθὸν πάσῃ δυνάμει μελετᾶν καὶ ποιεῖν, ἵνα ἔλθῃ ἡ ἕξις, καὶ αὐτομάτως ἡ συνήθεια ἐργάζεται τὸ τυχὸν ἀκόπως, ὡς οἱ Πατέρες ἐν τοῖς μικροῖς τὰ μεγάλα ἐνίκησαν. Ὁ γὰρ μὴ πειθόμενος ἔχειν τὴν ἀναγκαίαν χρείαν τοῦ σώματος, ἀλλὰ ταύτην ἀπωθεῖται, ἵνα τὴν στενὴν καὶ τεθλιμμέ-*

ποιὸ θέλημα καὶ ποιὸ νόημα [λογισμὸ] ὀφείλει νὰ ἐγκαταλείψῃ, ἂς δοκιμάζῃ κάθε πρᾶγμα καὶ κάθε νόημα [λογισμὸ] μὲ τό, ποιὰ ἐνόχλησι [ἀντίδραση] τοῦ προκαλεῖ, ἢ ἡ ἀποχὴ ἀπὸ αὐτὸ ἢ ἡ ἐπικράτησί του. Καὶ ἄν, ὅταν μὲν γίνεται [προκαλῇ] ἡδονή, ὅταν δὲ ἐμποδίζεται [προκαλῇ] ὀδύνη, [τότε] εἶναι κακό· καὶ ὀφείλει νὰ τὸ περιφρονήσῃ, πρὶν χρονίσει [μέσα του] καὶ [τότε] πρέπει νὰ κοπιάσῃ, γιὰ νὰ τὸ νικήσῃ, ὅταν ἀντιληφθῇ τὴ βλάβη του. Αὐτὸ δὲ τὸ λέγω γιὰ κάθε πρᾶγμα [πρᾶξι] καὶ νόημα [σκέψι], χωρὶς τὸ ὁποῖο δὲν μποροῦμε νὰ ζήσωμε σωματικὰ καὶ νὰ εὐαρεστήσωμε τὸν Θεό.

41. Ἐπειδὴ ἡ συνήθεια, ὅταν χρονίζῃ, παίρνει δύναμι φύσεως [φυσικῆς ἰδιότητος][θ]· ἐὰν ὅμως δὲν τὴν ενισχύῃς, ἀτονεῖ καὶ σιγὰ σιγὰ χάνεται. Διότι ὁ χρόνος γνωρίζει νὰ τρέφῃ εἴτε τὴν ἀγαθὴ συνήθεια, εἴτε τὴν κακή, ὅπως ἀκριβῶς τὰ ξύλα τρέφουν τὴ φωτιά.

42. Γι᾽ αὐτὸ ὀφείλομε μ᾽ ὅλη μας τὴ δύναμι νὰ μελετᾶμε καὶ νὰ κάνωμε τὸ καλό, γιὰ νὰ ἔλθῃ ἡ ἕξις [νὰ αποκτήσωμε τὴν συνήθεια] καὶ αὐτόματα ἡ συνήθεια ἐργάζεται τὸ ὁποιοδήποτε [καλὸ] χωρὶς κόπο, ὅπως οἱ Πατέρες ἐνίκησαν μὲ τὰ μικρὰ τὰ μεγάλα. Διότι πότε [ἢ πῶς] θὰ ἔλθῃ σὲ φιλοκτημοσύνη ἐκεῖνος, ποὺ δὲν πείθεται νὰ ἔχῃ οὔτε κἂν τὰ ἀπαραίτητα γιὰ τὶς ἀνάγκες τοῦ σώματος, ἀλλὰ τὰ ἀπορρίπτει, γιὰ

νην ὁδὸν πορεύηται[33]*, πότε εἰς φιλοκτημοσύνην ἔλθῃ; [43.] Οὐ γάρ ἐστιν ἡ πολλὴ κτῆσις μόνον φιλοκτημοσύνη, ἀλλ᾽ εἴ τι δ᾽ ἂν ἔχῃ προσπαθῶς, ἢ παρὰ χρῆσιν, ἢ καὶ ὑπὲρ τὴν χρῆσιν. Διότι πολλοὶ τῶν παλαιῶν Ἁγίων, πολλὴν μὲν κτῆσιν εἶχον, ὅ,τε Ἀβραάμ*[34]*, Ἰώβ*[35]*, καὶ Δαβίδ*[36]*, καὶ ἄλλοι πολλοί, οὐκ ἦν δὲ ἐν αὐτοῖς προσπάθεια, ἀλλ᾽ εἶχον τὰ πράγματα ὡς τοῦ Θεοῦ, καὶ μᾶλλον δι᾽ ἐκείνων ἐδόκουν εὐαρεστῆσαι αὐτῷ. [44.] Ὁ δὲ Κύριος ὑπερτελὴς ὢν καὶ αὐτοσοφία, τὴν ῥίζαν ἔκοψεν. Οὐ μόνον γὰρ χρήματα, καὶ κτήματα μὴ ἔχειν τοὺς ἀκολοθοῦντας αὐτῷ διὰ τῆς μιμήσεως τῆς ἀκροτάτης ἀρετῆς ἐνουθέτησεν, ἀλλὰ μηδὲ ψυχήν*[37]*, ἤτοι θέλημα, ἢ νόημα ἴδιον. Καὶ τοῦτο εἰδότες οἱ Πατέρες ἔφυγον τὸν κόσμον, ὡς ἐμπόδιον πρὸς τὴν τελειότητα, οὐ μόνον δὲ ἀλλὰ καὶ τὰ θελήματα. Οὐδεὶς γὰρ αὐτῶν ποτὲ θέλημα ἴδιον ἐποίησεν. Ἀλλ᾽ οἱ μὲν ἐν ὑποταγῇ σωματικῇ, ἵνα ἀντὶ τοῦ Χριστοῦ τὸν Πατέρα τὸν Πνευματικὸν ἔχοιεν εἰς πᾶν νόημα· οἱ δὲ ἐν ἐρήμῳ καὶ τελείᾳ φυγῇ τῶν ἀνθρώπων, αὐτὸν τὸν Θεὸν εἶχον*

νὰ βαδίζῃ «τὴν στενὴ καὶ γεμάτη θλῖψι ὁδό»;

43. Διότι φιλοκτημοσύνη δὲν εἶναι μόνο ἡ ἀπόκτησι πολλῶν [κτημάτων], ἀλλὰ [εἶναι] καὶ ἐὰν ἔχῃ κάποιος προσπάθεια [ἐμπαθῆ προσκόλλησι ἢ σφοδρὴ ἐπιθυμία] σὲ κάτι τὸ ὁποῖο χρησιμομοποιεῖ κακῶς ἢ ὑπερβολικά. Διότι πολλοὶ ἀπὸ τοὺς παλαιοὺς Ἁγίους, ἐνῶ εἶχαν πολλὴ περιουσία καὶ ὁ Ἀβραάμ, ὁ Ἰὼβ καὶ ὁ Δαβίδ καὶ ἄλλοι πολλοί, δὲν ἦταν ὅμως προσκολλημένοι σ᾽ αὐτήν, ἀλλὰ κατεῖχαν τὰ πράγματα ὡς νὰ ἦταν τοῦ Θεοῦ καὶ ἐθεωροῦσαν, ὅτι μὲ ἐκεῖνα θὰ Τὸν εὐαρεστήσουν περισσότερο.

44. Ὁ Κύριος ὅμως, ἐπειδὴ εἶναι ὑπερτέλειος καὶ ἡ ἴδια ἡ σοφία, ἔκοψε τὴ ῥίζα. Διότι αὐτούς, ποὺ Τὸν ἀκολουθοῦν μὲ τὴν μίμησι τῆς τελειοτάτης ἀρετῆς, τοὺς ἐνουθέτησε ὄχι μόνο νὰ μὴν ἔχουν χρήματα καὶ κτήματα, ἀλλὰ οὔτε «τὴν ψυχήν», δηλαδὴ θέλημα ἢ νόημα δικό τους. Καὶ αὐτό, ἐπειδὴ τὸ ἐγνώριζαν οἱ Πατέρες, ἔφυγαν ἀπὸ τὸν κόσμο, [τὸν ὁποῖον θεωροῦσαν ὡς] ἐμπόδιο γιὰ τὴν τελειότητα, ὄχι μόνον αὐτὸν ἀλλὰ καὶ τὰ θελήματά [του]. Γιατὶ κανεὶς ποτὲ ἀπὸ αὐτοὺς δὲν ἔκανε τὸ δικό του θέλημα. Ἀλλὰ ἄλλοι μὲν [ἔζησαν] μὲ σωματικὴ ὑποταγή [ὑποτακτικοί], γιὰ νὰ ἔχουν στὴ θέσι τοῦ Χριστοῦ τὸν Πνευματικὸ Πατέρα σὲ κάθε σκέψι τους [δηλαδὴ νὰ τὸν ρωτοῦν γιὰ κάθε λογισμό τους], ἄλλοι δὲ στὴν ἔρημο καὶ στὴν τελεία ἀπομάκρυνσι ἀπὸ τοὺς ἀνθρώπους [καὶ αὐτοὶ] εἶχαν ὡς διδάσκαλο τὸν ἴδιο

διδάσκαλον, ὑπὲρ οὗ καὶ τὸν κατὰ προαίρεσιν θάνατον ὑπομεῖναι ἠβουλήθησαν· ἕτεροι δὲ τὴν βασιλικὴν ἐκράτησαν, ἤτοι μετὰ ἑνός, ἢ δύο ἡσυχάζοντες καλῶς, ἔχοντες ἀλλήλοις συμβούλους ἀγαθοὺς πρὸς εὐαρέστησιν Θεοῦ. Καὶ ὅσοι μετὰ τὴν ὑποταγὴν κατ᾽ ἐπιτροπὴν τοῦ Πατρὸς ἄρχειν ἄλλων ἀδελφῶν ἐτάχθησαν, ὡς ἐν ὑποταγῇ οὕτω διῆγον, τὰς παραδόσεις φυλάττοντες τῶν αὐτῶν Πατέρων· καὶ ἐγένετο πᾶν ἐγχείρημα καλόν. Νυνὶ δέ, ἐπειδὴ οὐ θέλομεν, οὔτε οἱ ἐν ὑποταγῇ, οὔτε οἱ ἐν ἀρχῇ, καταλεῖψαι τὰ ἴδια θελήματα, διὰ τοῦτο οὐδεὶς εἰς προκοπὴν ἔρχεται. Καὶ λοιπὸν ἔμεινε τάχα, εἴπερ καὶ ἔστιν, ἡ φυγὴ τῶν ἀνθρώπων, καὶ βιωτικῶν πραγμάτων, ἐν τῇ βασιλικῇ ὁδῷ πορεύεσθαι καὶ ἡσυχάζειν μετὰ ἑνὸς ἢ δύο, καὶ τὰς ἐντολὰς τοῦ Χριστοῦ νυκτὸς καὶ ἡμέρας μελετᾶν, καὶ πᾶσαν Γραφήν. [45.] Ἵνα κἂν ἐκ πάντων ἐλεγχόμενος, καὶ ὑπὸ τῆς συνειδήσεως, καὶ προσοχῆς, τῆς ἀναγνώσεως καὶ εὐχῆς καταντήσῃ τις εἰς τὴν πρώτην ἐντολήν, ἤτοι τὸν φόβον τοῦ Θεοῦ, τὸν γινόμενον ἐκ τῆς

τὸν Θεό, γιὰ χάρι τοῦ Ὁποίου θέλησαν νὰ ὑπομείνουν τὸν κατὰ προαίρεσι θάνατο· ἄλλοι δὲ ἠκολούθησαν τὴν «βασιλικὴ ὁδὸ»' μὲ ἕναν ἢ δύο καλῶς ἡσυχάζοντες [δηλαδὴ στὴν ἡσυχαστικὴ ζωή]. Καὶ εἶχαν ὁ ἕνας τὸν ἄλλον ὡς σύμβουλο ἀγαθὸ πρὸς εὐαρέστησι τοῦ Θεοῦ. Καὶ ὅσοι μετὰ τὴν ὑποταγήν, κατ᾽ ἐντολὴ τοῦ Πατρός τους, ἐτάχθησαν νὰ καθοδηγοῦν ἄλλους ἀδελφούς [Ἡγούμενοι ἢ Γέροντες], ζοῦσαν σὰν νὰ ἦταν οἱ ἴδιοι σὲ ὑποταγή, μὲ τὸ νὰ φυλάσσουν τὶς παραδόσεις τῶν Πατέρων τους· καὶ [ἔτσι] γινόταν καλὸ κάθε τὶ ποὺ ἐπιχειροῦσαν. Τώρα ὅμως, ἐπειδὴ δὲν θέλομε οὔτε οἱ ὑποτακτικοί, οὔτε οἱ Γέροντες νὰ ἐγκαταλείψωμε τὰ δικά μας θελήματα, ἐξ αἰτίας αὐτοῦ, κανεὶς δὲν ἀποκτᾶ προκοπή. Καὶ δῆθεν ἔμεινε μόνο, ἂν βέβαια ὑπάρχῃ [ἔχῃ απομείνει], ἡ φυγὴ ἀπὸ τοὺς ἀνθρώπους καὶ τὰ βιοτικὰ πράγματα [τοῦ κόσμου καί], τὸ νὰ πορεύωνται στὴ βασιλικὴ ὁδὸ καὶ νὰ ἡσυχάζουν μὲ ἕναν ἢ δύο καὶ νὰ μελετοῦν νύχτα καὶ ἡμέρα τὶς ἐντολὲς τοῦ Χριστοῦ καὶ ὅλη τὴν [Ἁγία] Γραφή.

45. Ὥστε ἐλεγχόμενος κάποιος ἀπὸ ὅλα καὶ ἀπὸ τὴν ἴδια του τὴν συνείδησι καὶ ἀπὸ τὴν προσοχὴ στὴν ἀνάγνωσι καὶ στὴν εὐχή, νὰ καταλήξῃ στὴν πρώτη ἐντολή, δηλαδὴ τὸν φόβο τοῦ Θεοῦ, ὁ ὁποῖος ἔρχεται ἀπὸ τὴν πίστι

πίστεως καὶ μελέτης τῶν θείων Γραφῶν, καὶ δι᾽ αὐτοῦ εἰς τὸ πένθος ἔλθῃ, δι᾽ οὗ εἰς τὰς ἐντολάς, ἃς ἔφη ὁ Ἀπόστολος πίστις, ἐλπίς, ἀγάπη[38]*. Ὁ γὰρ πιστεύων τῷ Κυρίῳ, φοβεῖται τὴν κόλασιν· καὶ ὁ φοβούμενος τὴν κόλασιν, τηρεῖ τὰς ἐντολάς· καὶ ὁ τὰς ἐντολὰς τηρῶν, ὑπομένει τὰς θλίψεις· καὶ ὁ τὰς θλίψεις ὑπομένων, ἕξει τὴν εἰς Θεὸν ἐλπίδα· καὶ ἡ ἐλπὶς χωρίζει πάσης προσπαθείας τὸν νοῦν· ταύτης δὲ χωρισθείς, ἕξει τὴν εἰς Θεὸν ἀγάπην. Ταῦτα ὅπου ἐὰν θέλῃ τις ποιεῖν σῴζεται.* **[46.]** *Ἡ δὲ ἡσυχία, ὡς ἀρχὴ καθάρσεως ψυχῆς ὑπάρχουσα, καὶ χωρὶς κόπου τὰς ἐντολὰς πάσας κατασκευάζει τῷ προαιρουμένῳ. Φεῦγε, φησί, σιώπα, ἡσύχαζε, αὗται γάρ εἰσιν αἱ ῥίζαι τῆς ἀναμαρτησίας. Καὶ πάλιν, φεῦγε τοὺς ἀνθρώπους καὶ σῴζῃ· διότι οὐκ ἐῶσιν αἱ συντυχίαι τὸν νοῦν ἰδεῖν, οὔτε τὰ ἑαυτοῦ πταίσματα, οὔτε τὰς τῶν δαιμόνων πανουργίας, ἵνα φυλάττῃ ἑαυτὸν ὁ ἄνθρωπος· οὔτε πάλιν τὰς τοῦ Θεοῦ εὐεργεσίας, καὶ προνοίας, ἵνα ἐκ τούτων γνῶσιν Θεοῦ καὶ ταπείνωσιν κτήσηται. Καὶ διὰ τοῦτο*

καὶ τὴν μελέτη τῶν θείων Γραφῶν καὶ δι᾽ αὐτοῦ νὰ ἔλθῃ στὸ πένθος, μέσῳ δὲ αὐτοῦ στὶς ἐντολὲς ποὺ εἶπε ὁ Ἀπόστολος, δηλαδὴ «τὴν πίστι, τὴν ἐλπίδα, τὴν ἀγάπη». Διότι ἐκεῖνος, ποὺ πιστεύει στὸν Κύριο, φοβεῖται τὴν κόλασι· καὶ αὐτός, ποὺ φοβεῖται τὴν κόλασι, τηρεῖ τὶς ἐντολὲς [καὶ] αὐτός, ποὺ τηρεῖ τὶς ἐντολές, ὑπομένει τὶς θλίψεις· καὶ ἐκεῖνος, ποὺ ὑπομένει τὶς θλίψεις, θὰ ἀποκτήσῃ τὴν ἐλπίδα στὸν Θεό· Καὶ ἡ ἐλπίδα χωρίζει τὸν νοῦ ἀπὸ κάθε προσπάθεια [προσκόλλησι] στὰ πάθη. Καὶ ἐκεῖνος, ποὺ χωρίσθηκε ἀπὸ αὐτήν [ἀπαλλάχτηκε ἀπὸ τὰ πάθη], θὰ ἀποκτήσῃ τὴν πρὸς τὸν Θεὸ ἀγάπη. Αὐτά, ὅπου ἂν θέλῃ κανεὶς νὰ τὰ ἐργασθῇ σώζεται.

46. Ἡ ἡσυχία ὅμως, ἐπειδὴ εἶναι ἀρχὴ τῆς καθάρσεως τῆς ψυχῆς, ἑτοιμάζει χωρὶς κόπο [τὴν ψυχὴ γιὰ τὴν τήρησι] ὅλων τῶν ἐντολῶν σ᾽ αὐτὸν ποὺ τὴν ἐπιλέγει. «Φεῦγε [ἀπὸ τὸν κόσμο], λέγει, σιώπα[ια'], ἡσύχαζε», γιατὶ αὐτὲς εἶναι οἱ ρίζες τῆς ἀναμαρτησίας. Καὶ πάλι, «φεῦγε ἀπὸ τοὺς ἀνθρώπους καὶ θὰ σωθῇς»[ιβ']· διότι οἱ συναστροφὲς δὲν ἀφήνουν τὸν νοῦν νὰ ἰδῇ, οὔτε τά δικά του πταίσματα, οὔτε τὶς πανουργίες τῶν δαιμόνων, ὥστε νὰ προφυλάξῃ τὸν ἑαυτό του ὁ ἄνθρωπος· οὔτε πάλι τὶς εὐεργεσίες τοῦ Θεοῦ καὶ τὶς φροντίδες [τὴν πρόνοιά Του], γιὰ νὰ ἀποκτήσῃ ἀπὸ αὐτὰ τὴν γνῶσι [τοῦ] Θεοῦ καὶ τὴν ταπείνωσι. Καὶ γι᾽ αὐτὸ

ὀφείλει ὁ θέλων ὁδεύειν σύντομον ὁδὸν πρὸς Χριστόν, ἤτοι τὴν ἀπάθειαν, καὶ τὴν γνῶσιν, καὶ μετὰ χαρᾶς τὴν τελειότητα φθάσαι, μὴ ἀλλαχόθεν, ἤγουν δεξιὰ ἢ ἀριστερά, ἀλλ᾽ ἐν πάσῃ αὐτοῦ διαγωγῇ τὴν βασιλικὴν ὁδὸν σπουδαίως πορευέσθω. Τάς τε ὑπερβολὰς καὶ ἐλλείψεις ἰσχυρῶς φεύγων, ὡς ἡδονὴν ἀμφοτέρων ποιούντων· καὶ μήτε τῷ πλήθει τῶν βρωμάτων καὶ τῶν συντυχιῶν σκοτῶσαι τὸν νοῦν, καὶ ἐκ τῶν περισπασμῶν τυφλὸν κατασκευάσαι· μήτε πάλιν τῇ ἐκτεταμένῃ νηστείᾳ καὶ ἀγρυπνίᾳ θολοῦν τὴν διάνοιαν. Ἀλλὰ τὰ ἑπτὰ ἰδέας, τὰς σωματικὰς λέγω πράξεις, καλῶς μεθ᾽ ὑπομονῆς ἐργαζόμενος, ὡς ἐν κλίμακι ἀνέρχεται, ἀπαύστως τὰς ἑπτὰ ἐφάπαξ κατέχων καὶ ὁδεύων, πρὸς τὴν ἠθικὴν πρᾶξιν, δι᾽ ἧς αἱ πνευματικαὶ θεωρίαι παρὰ τῆς χάριτος τοῦ Θεοῦ δίδονται τῷ πιστεύοντι[39], ὥς φησιν ὁ Κύριος. Καὶ ὅτι πᾶσα Γραφὴ θεόπνευστος καὶ ὠφέλιμός[40] ἐστι. [47.] Καὶ ὅτι οὐ δύναταί τις ἐμποδίσαι τὸν θέλοντα σωθῆναι, οὐδὲ ἔχει ἄλλος εἰς ἡμᾶς ἐξουσίαν, εἰμὴ μόνον ὁ πλά-

ὀφείλει ἐκεῖνος, ὁ ὁποῖος θέλει νὰ βαδίζῃ τὸν σύντομο δρόμο πρὸς τὸν Χριστό, δηλαδὴ τὴν ἀπάθεια καὶ τὴ γνῶσι καὶ νὰ φθάσῃ μὲ χαρὰ στὴν τελειότητα, πουθενὰ νὰ μὴν παρεκλίνῃ, δηλαδὴ δεξιὰ ἢ ἀριστερά, ἀλλὰ μ᾽ ὅλη του τὴν διαγωγὴ [τὸν τρόπο τῆς ζωῆς του] νὰ βαδίζῃ μετὰ ζήλου τὴν βασιλικὴ ὁδό. Καὶ μὲ ὅλη του τὴν δύναμι νὰ ἀποφεύγῃ τὶς ὑπερβολὲς καὶ τὶς ἐλλείψεις, διότι καὶ οἱ δύο προκαλοῦν ἡδονή· οὔτε ἀπὸ τὸ πλῆθος τῶν φαγητῶν καὶ τῶν συναναστροφῶν νὰ σκοτίζῃ τὸν νοῦ [του] καὶ [οὔτε] ἀπὸ τοὺς περισπασμοὺς νὰ τὸν τυφλώνῃ· οὔτε πάλι μὲ τὴν παρατεταμένη νηστεία καὶ ἀγρυπνία νὰ θολώνῃ τὴν διάνοια. Ἀλλά, ἀφοῦ ἐργάζεται σωστὰ μὲ ὑπομονὴ τὶς ἑπτὰ ἰδέες, τὶς σωματικὲς πράξεις ἐννοῶ, σὰν σὲ κλίμακα νὰ ἀνεβαίνῃ, κατέχοντας συνεχῶς καὶ ἀδιακόπως καὶ τὶς ἑπτά· καὶ νὰ βαδίζῃ πρὸς τὴν ἠθικὴ πρᾶξι, διὰ τῆς ὁποίας οἱ πνευματικὲς θεωρίες δίδονται ἀπὸ τὴν Χάρι τοῦ Θεοῦ σ᾽ αὐτὸν ποὺ πιστεύει, ὅπως λέγει ὁ Κύριος. Καὶ ὅτι «πᾶσα Γραφὴ θεόπνευστος καὶ ὠφέλιμος εἶναι».

47. Καὶ ὅτι δὲν μπορεῖ κανεὶς νὰ ἐμποδίσῃ αὐτὸν ποὺ θέλει νὰ σωθῇ, οὔτε ἄλλος ἔχει ἐξουσία ἐπάνω μας, παρὰ μόνο ὁ Θεός, ποὺ

σας ἡμᾶς Θεός· ὃς καὶ ἕτοιμός ἐστι πρὸς βοήθειαν καὶ σκέπην ἀπὸ παντὸς πειρασμοῦ, τῶν βοώντων πρὸς αὐτόν, καὶ θελόντων τὸ ἅγιον αὐτοῦ θέλημα ποιεῖν. Χωρὶς γὰρ αὐτοῦ, οὐ δύναταί τις ἀγαθὸν ποιῆσαι[41]*, οὐδὲ κακὸν παθεῖν ἀβουλήτως, εἰ μὴ αὐτὸς παραχωρεῖ πρὸς τὸ παιδεῦσαι τὸν πταίοντα καὶ σῶσαι τὴν ψυχὴν αὐτοῦ. [48.] Καὶ ὅτι μὲν πονηρὰ ἔργα, ἡμέτερά εἰσιν, ἐκ ῥαθυμίας ἡμετέρας γινόμενα, καὶ συνεργείας τῶν δαιμόνων. Πᾶσα δὲ γνῶσις, ἀρετή τε καὶ ἰσχύς, χάρις Θεοῦ εἰσιν, ὥσπερ τ᾽ ἄλλα πάντα. Καὶ ὅτι κατὰ χάριν ἔδωκεν ἐξουσίαν πᾶσι τέκνα Θεοῦ γενέσθαι*[42]*, διὰ τῆς τηρήσεως τῶν θείων ἐντολῶν· καὶ ὅτι αἱ ἐντολαὶ αὗται φυλάττουσι μᾶλλον ἡμᾶς, καὶ χάρις Θεοῦ εἰσι· διότι ἐκτὸς τῆς αὐτοῦ χάριτος, οὐδὲ αὐτὰς τηρεῖν ἰσχύομεν· καὶ οὐκ ἔχομέν τι προσφέρειν αὐτῷ, εἰ μὴ πίστιν, καὶ προαίρεσιν, καὶ ἁπλῶς, πάντα τὰ ὀρθὰ δόγματα ἐκ πίστεως βεβαίας, καὶ ἀκοῆς κατέχοντες, ἄρχεσθαι τὴν ἐργασίαν ἀμετεωρίστως, ὡς ἐν σχολείῳ τὰ μαθήματα, καὶ οὕτως*

μᾶς ἔπλασε· ὁ Ὁποῖος καὶ εἶναι ἕτοιμος πρὸς βοήθεια καὶ σκέπη, [νὰ βοηθήσῃ καὶ νὰ σκεπάσῃ] ἀπὸ κάθε πειρασμό, ἐκείνους ποὺ Τὸν ἐπικαλοῦνται ἰσχυρῶς [δι᾽ εὐχῆς] καὶ θέλουν νὰ κάνουν τὸ Ἅγιο θέλημά Του. Διότι «χωρὶς Αὐτὸν δὲν μπορεῖ κανεὶς νὰ κάνῃ κάτι καλό», οὔτε νὰ πάθῃ κανένα κακό, χωρὶς τὴν θέλησί Του, ἐκτὸς κι ἂν ὁ Ἴδιος τὸ ἐπιτρέπῃ, γιὰ νὰ παιδαγωγήσῃ αὐτὸν ποὺ σφάλλει καὶ νὰ σώσῃ τὴν ψυχή του.

48. Καὶ ὅτι τὰ μὲν πονηρὰ ἔργα εἶναι δικά μας [μόνο], προερχόμενα ἀπὸ τὴ ραθυμία μας καὶ τὴν συνέργεια τῶν δαιμόνων. Ἀντίθετα κάθε γνῶσι, ἀρετὴ καὶ δύναμι, εἶναι Χάρις Θεοῦ, ὅπως ἀκριβῶς καὶ ὅλα τὰ ἄλλα. Καὶ ὅτι κατὰ Χάριν «ἔδωκε ὁ Θεὸς ἐξουσία σ᾽ ὅλους νὰ γίνουν τέκνα Θεοῦ», μὲ τὴν τήρησι τῶν θείων ἐντολῶν· καὶ ὅτι οἱ ἐντολὲς αὐτὲς προφυλάσσουν ἐμᾶς· καὶ εἶναι Χάρις Θεοῦ. Διότι χωρὶς τὴν Χάρι [τοῦ Θεοῦ], οὔτε αὐτὲς μποροῦμε νὰ τηροῦμε καὶ δὲν ἔχομε τίποτε ἄλλο νὰ Τοῦ προσφέρωμε, παρὰ μόνον τὴν πίστι καὶ τὴν προαίρεσι καὶ γενικὰ ὅλα τὰ ὀρθὰ δόγματα, τὰ ὁποῖα κατέχομε ἀπὸ τὴν βεβαία [ἀκλόνητη] πίστι καὶ ἐξ ἀκοῆς, καὶ νὰ ἀρχίσωμε τὴν ἐργασία, χωρὶς διάχυσι [μὲ προσοχή], ὅπως τὰ μαθήματα στὸ σχολεῖο· καὶ ἔτσι μὲ

ἐπιμελῶς τὰς προειρημένας ἑπτὰ πράξεις ἔργῳ μανθάνειν. Αἵτινές εἰσιν αὗται.

ἐπιμέλεια νὰ μάθωμε στὴν πρᾶξι τὶς προαναφερθεῖσες ἑπτὰ πράξεις. Οἱ ὁποῖες εἶναι οἱ ἑξῆς:



ΣΗΜΕΙΩΣΕΙΣ-ΣΧΟΛΙΑ

ΣΗΜΕΙΩΣΕΙΣ-ΣΧΟΛΙΑ

ΑΓΙΟΥ ΝΙΚΟΔΗΜΟΥ

α΄ **Ἴσως ὑποταγήν.**
β΄ **Ἴσως συμβολήν.**
γ΄ **Ἴσως ἡγουμενείαν.**
δ΄ **Ἴσως ἰσχύσαντος.**
ε΄ **Ἴσως δι' ὅτι.**
ϛ΄ **Ἴσως δοκῶμεν.**
ζ΄ **Ἴσως μύει.**
η΄ **Ἴσως ἐκκοπή.**
θ΄ **Ἴσως ὅτι.**
ι΄ **Ἴσως αὐτῷ.**
ια΄ **Ἴσως πολλοῖς.**

ΠΑΡΑΠΟΜΠΕΣ

ΣΕ ΧΩΡΙΑ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

1 Γένεσ. 2, 8.
2 Γένεσ. 3, 17-19.
3 Γένεσ. 4, 11-12.
4 Γένεσ. 6, 5.
5 Γένεσ. 9, 25-27
6 Γένεσ. 11, 7.
7 Γένεσ. 19, 4-5.
8 Ἀριθ. 14, 22-23.
9 Γ' Βασ. 11, 9-11.
10 Ἰωνᾶ 1, 2.
11 Δ' Βασ. 5, 27.
12 Ματθ. 26, 24.
13 Γένεσ. 1, 26.
14 Ματθ. 25, 41.
15 Ἡσ. 66, 16.
16 Ῥωμ. 6, 4-9.
17 Ἰω. 11, 10.
18 Α' Τιμόθ. 6, 19.
19 Γένεσ. 1, 26.
20 Γένεσ. 2, 18.
21 Γένεσ. 3, 5.
22 Ἰω. 4, 24.
23 Α' Κορ. 14, 19.
24 Μαρκ. 16, 16.
25 Λουκ. 17, 10.
26 Ματθ. 28, 20.
27 Α' Θεσσ. 5, 9.
28 Ἰω. 6, 38.
29 Ῥωμ. 8, 14.
30 Ματθ. 5, 9.
31 Ψαλμ. 2, 11.
32 Ἰω. 15, 5.
33 Ματθ. 7, 14.
34 Γένεσ. 12, 16 κ' 14.
35 Ἰὼβ 1, 3.
36 Α' Παραλ. 12, 41.
37 Λουκ. 14, 26.
38 Α' Κορ. 13, 13.
39 Ματθ. 13, 11-12.
40 Β' Τιμόθ. 3, 26.
41 Ἰω. 15, 5.
42 Ἰω. 1, 12.

ΣΗΜΕΙΩΣΕΙΣ

α' Ἐξασόφιν. Ὅρος, ὁ ὁποῖος δὲν ἀνευρέθη εἰς τὰ λεξικά. Προφανῶς ἔχει δημιουργηθεῖ ἀπὸ τὸν Ὅσιο Πέτρο ἢ ἦταν ἐν χρήσει εἰς τὴν ἐποχή του, διὰ νὰ δηλώσῃ τὰ λεγόμενα «*Σοφιολογικὰ βιβλία*» τῆς Παλαιᾶς Διαθήκης ἢ ἄλλως Wisdom Books (*Βιβλία τῆς Σοφίας*), τὰ ὁποῖα εἶναι ἑπτά. Ὁ Ὅσιος ἀφαιρεῖ τὸ Ψαλτήριον, τοποθετούμενον μόνο του καὶ οὕτως τὰ βιβλία εἶναι ἕξ, ἤτοι: 1. Σοφία Σολομῶντος, 2. Παροιμίαι Σολομῶντος, 3. Σοφία Σειράχ, 4. Ἐκκλησιαστής, 5. Βίβλος τοῦ Ἰώβ, 6. Ἆσμα Ἀσμάτων. (Βλ. ΙΕΡΕΜΙΟΥ ΦΟΥΝΤΑ ΜΗΤΡ., «*Ἡ Παλαιὰ Διαθήκη*», (*περιεχόμενο καὶ θεολογία της*), ΑΔΕΕ, Ἀθήνα 2005, σ. 147.

β' Ὁ Δίκαιος Νῶε, μετὰ τὴν ἔξοδό τους ἀπὸ τὴν Κιβωτό, ἐμέθυσε καὶ ἐγυμνώθη. Ὅταν ὁ δευτερότοκος υἱός του Χὰμ εἶδε τὴν γύμνωσι τοῦ πατρός του, τὸ ἐκοινοποίησε στοὺς ἀδελφούς του, οἱ ὁποῖοι, ὀπισθοφανῶς ἀνακάμψαντες, ἐκάλυψαν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν. Ὅταν συνῆλθε ὁ Νῶε, διὰ νὰ τιμωρήσῃ τὸν Χάμ, γιὰ τὴν ἀσέβειά του,

καταράσθηκε ἀντὶ γιὰ αὐτόν, τὸν υἱό του Χαναάν, γιὰ νὰ μὴν ὑβρισθῇ ἡ εὐλογία, ποὺ ἐδέχθηκε ἀπὸ τὸν Θεὸ ὁ Χὰμ μαζὶ μὲ τοὺς ἄλλους μετὰ τὴν ἔξοδόν τους ἀπὸ τὴν Κιβωτό. «...μήτε τῇ παρὰ τοῦ Θεοῦ ἤδη γεγενημένῃ εὐλογίᾳ λυμήνασθαι». (Βλ. ΑΓ. ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ, «*Ὁμιλία εἰς τὴν Γένεσιν*», ΕΠΕ τόμ. Γ', κεφ. 6, σ. 248, καὶ ΙΕΡΕΜΙΟΥ ΦΟΥΝΤΑ ΜΗΤΡ., «Γένεσις», *Ἑρμηνεία Παλαιᾶς Διαθήκης*, ἐκδ. ΑΔΕΕ, 2005, σ. 219).

γ' Πρβλ. «...γενώμεθα θεοὶ δι᾽ αὐτὸν... μακάριος οὗτος τῆς ἐκεῖσε θεώσεως...», ΑΓ. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, *Λόγος ΚΑ' Εἰς τὸν Ἅγιον Ἀθανάσιον*, PG 35-1084 BC.

δ' Πρβλ. Ἐλευθέρα ἀπόδοσις νοημάτων ΑΓ. ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ, *Εἰς τὴν Γένεσιν ΙΣΤ'*, PG 53, 126-129, μὲ συναφῆ χωρία: «....ὅρα πονηροῦ δαίμονος πολύπλοκον μηχανὴν....ἐν τάξει δῆθεν κηδεμονίας (τὴν Εὔαν) ... ἣν ἔπρεπε (τῷ Ἀδὰμ) μόνῳ διαλέγεσθαι, δι᾽ ὃν παρήχθη καὶ κοινωνὸς γέγονε καὶ εἰς βοήθειαν ἐδημιουργήθη... εἰς τὴν ἑαυτοῦ ἀπάτην ἐκκαλεῖται...».

ε' Βλ. ΕΥΧΟΛΟΓΙΟΝ ΤΟ ΜΕΓΑ, *Ἀκολουθία Ἁγίου Βαπτίσματος*, ἐκδ. «ΑΣΤΕΡΟΣ», σ. 143, Ἀθῆναι 1980.

στ' Ἀνώνυμος ἀναφορά. Πρβλ. ΑΒΒΑ ΙΣΣΑΚ ΤΟΥ ΣΥΡΟΥ, *Ἅπαντα τὰ εὑρεθέντα Ἀσκητικά. Λόγος ΙΣΤ' Περὶ τῶν τρόπων τῶν ἀρετῶν*, σ. 58 ἕ.ἀ. «τῷ γνόντι ἑαυτὸν ἡ γνῶσις τῶν πάντων δίδοται αὐτῷ....ὅστις ὑποτάξῃ ἑαυτὸν τῷ Θεῷ, ἐγγύς ἐστι τοῦ ὑποταγῆναι αὐτῷ τὰ πάντα».

ζ' Πρβλ. «...ὁ Λόγος ζῷον ἐξ ἀμφοτέρων (ἀοράτου τε λέγω καὶ ὁρατῆς φύσεως) δημιουργεῖ τὸν ἄνθρωπον... μέσον μεγέθους καὶ ταπεινότητος· τὸν αὐτὸν πνεῦμα καὶ σάρκα». ΑΓ ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ, *Λόγος ΜΕ' εἰς τὸ Ἅγιον Πάσχα* ΕΠΕ, τ. Ε', σ. 164, στ. 7-18.

η' Βλ. «... οἶδε γὰρ ὅτι ὥσπερ αὐτῷ ἐβοήθησε .... οὕτω δυνατός ἐστι καὶ πᾶσι βοηθῆσαι ὅτε θέλει...». ΑΓ ΜΑΞΙΜΟΥ ΟΜΟΛΟΓΗΤΟΥ *Ἑκατοντὰς Δευτέρα περὶ ἀγάπης, Φιλοκαλία τῶν Ἱερῶν Νηπτικῶν*, ἔκδοσις Ἱερᾶς Μονῆς Κοιμήσεως Θεοτόκου Μπούρα, ἐν Ἀρκαδίᾳ 2012, κεφ. 39, σ. 68.

θ' Ἀνώνυμος ἀναφορά. Πρβλ. ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ, *Ὅροι κατὰ πλάτος Β'*, PG. 31, 925Β, «...ἔθος διὰ μακροῦ χρόνου βεβαιωθέν, φύσεως ἰσχὺν λαμβάνει».


ι' Βασιλικὴ ὁδός, εἰς τοὺς ἀρχαίους χρόνους ἐλέγετο αὐτή, ποὺ σήμερα ὀνομάζεται Ἐθνικὴ ἢ Διεθνὴς ὁδός, ἰδιαιτέρας ἀσφαλείας. Εἰς τὴν

Ἐκκλησιαστικὴν Γραμματείαν ὀνομάζεται ἡ ἐν συμμετρίᾳ ἄσκησις σύμφωνος πρὸς τὸ πνεῦμα τοῦ «Βασιλέως Χριστοῦ», ἡ ὁποία παρέχει ἀσφάλειαν πνευματικῆς πορείας (βλ. καὶ ΜΕΓΑ ΓΕΡΟΝΤΙΚΟΝ, τ. Α', Ὑποσημ. 74, σ. 109).

ια' Ἀνώνυμος ἀναφορά. Βλ. ΤΟ ΓΕΡΟΝΤΙΚΟΝ. *Τοῦ Ἀββᾶ Ἀρσενίου, ἔ.ἀ.* κεφ. β, σ. 5.

ιβ' Ἀνώνυμος ἀναφορά. Βλ. ΤΟ ΓΕΡΟΝΤΙΚΟΝ. *Τοῦ Ἀββᾶ Ἀρσενίου, ἔ.ἀ.* κεφ. α, σ. 5.





ΔΗΛΩΣΙΣ ΑΝΑΓΚΑΙΑ ΚΑΙ ΩΡΑΙΟΤΑΤΗ ΠΕΡΙ ΤΩΝ ΕΠΤΑ ΣΩΜΑΤΙΚΩΝ ΠΡΑΞΕΩΝ

[1.] Πρώτη, ἡσυχία, ἤτοι ἀπερίσπαστος διαγωγή, ἀπέχουσα πάσης μερίμνης βιωτικῆς, ἵνα δυνηθῇ ἐκ τοῦ μακρυσμοῦ τῶν ἀνθρώπων καὶ τῶν περισπασμῶν φυγεῖν τὸν θόρυβον καὶ τόν, ὡς λέοντα ὠρυόμενον περιπατοῦντα καὶ ζητοῦντα καταπιεῖν τινά[1]*, διὰ τῶν συντυχιῶν καὶ μεριμνῶν τοῦ βίου· καὶ ἵνα μίαν μέριμναν ἔχῃ, πῶς τῷ Θεῷ ἀρέσῃ καὶ τὴν ψυχὴν ἀκατάκριτον ἐν τῇ ὥρᾳ τοῦ θανάτου παρασκευάσῃ καὶ μετὰ σχολῆς ἁπάσης μάθῃ τὰς κλοπὰς τῶν δαιμόνων καὶ τὰ ἴδια σφάλματα, τὰ ὑπὲρ ψάμμον θαλάσσης γινόμενα, καὶ ὡσεὶ χνοῦς τῇ λεπτότητι τοῖς πολλοῖς ἀγνοούμενα. Καὶ θρηνῶν ἀεί, λυπεῖται μὲν τὴν ἀνθρωπίνην φύσιν, παρακαλεῖται δὲ ὑπὸ τοῦ Θεοῦ, ὡς εὐγνώμων γενόμενος, καὶ παρηγορεῖται, ὅτι ἔφθασεν ἰδεῖν, ἅπερ οὐκ ἤλπιζε θεάσασθαι, ἔξωθεν τῆς κέλλης διάγων ποτέ· καὶ τὴν ἰδίαν ἀσθένει-*

1. Πρώτη [εἶναι] ἡ ἡσυχία, δηλαδὴ ὁ ἀπερίσπαστος βίος [τρόπος ζωῆς], ὁ ὁποῖος [κάνει τὸν ἄνθρωπο] νὰ ἀπέχῃ ἀπὸ κάθε βιοτικὴ μέριμνα, γιὰ νὰ μπορέσῃ, μὲ τὴν ἀπομάκρυνσι ἀπὸ τοὺς ἀνθρώπους καὶ τοὺς περισπασμούς, νὰ διαφύγῃ τὸν θόρυβο [τοῦ κόσμου] καὶ [τὸν διάβολο] ὁ ὁποῖος «περιπατεῖ βρυχόμενος σὰν λιοντάρι καὶ ζητεῖ ποιὸν νὰ καταπιῇ», μὲ τὶς συναναστροφὲς καὶ τὶς μέριμνες τῆς ζωῆς· καὶ γιὰ νὰ ἔχῃ μία [καὶ μόνον] μέριμνα, [δηλαδὴ] πῶς νὰ ἀρέσῃ στὸν Θεὸ καὶ πῶς νὰ ἑτοιμάσῃ τὴν ψυχή του, [ὥστε νὰ βρεθῇ] ἀκατάκριτη κατὰ τὴν ὥρα τοῦ θανάτου καὶ [πῶς], μὲ κάθε προσοχὴ καὶ ἐπιμέλεια, νὰ μάθῃ τὰ τεχνάσματα τῶν δαιμόνων καὶ τὰ δικά του ἁμαρτήματα, τὰ ὁποῖα εἶναι περισσότερα ἀπὸ τὴν ἄμμο τῆς θαλάσσης, καὶ τὰ ὁποῖα ἀγνοοῦνται ἀπὸ τοὺς πολλούς, ὅπως τὸ λεπτὸ χνούδι. Καὶ θρηνώντας πάντοτε, λυπᾶται μὲν [γιὰ] τὴν ἀνθρώπινη φύσι [του], ἐνισχύεται ὅμως ἀπὸ τὸν Θεό, ἐπειδὴ ἔγινε εὐγνώμων καὶ παρηγορεῖται, γιατὶ ἀξιώθηκε νὰ ἰδῇ, ἐκεῖνα τὰ ὁποῖα δὲν ἤλπιζε νὰ ἰδῇ, ὅταν κάποτε ζοῦσε ἔξω ἀπὸ τὸ κελλί του [δηλαδὴ στὸν κόσμο πρὶν γίνῃ Μοναχός]. Καὶ ἔχοντας ἐπίγνωσι τῆς δικῆς του ἀδυνα-

αν ἐπεγνωκὼς καὶ τὴν τοῦ Θεοῦ δύναμιν, φοβεῖται καὶ ἐλπίζει· ὡς μήτε θαῤῥῶν ἐξ ἀγνωσίας πέσῃ, μήτε τὴν φιλανθρωπίαν τοῦ Θεοῦ ἐπιλαθόμενος ἀπογινώσκῃ, εἴ τι δ' ἂν συμβῇ αὐτῷ.

[2.] Δευτέρα, νηστεία σύμμετρος, ἤγουν τὸ ἅπαξ ἐσθίειν καθ' ἡμέραν καὶ μὴ κορέννυσθαι· ἐξ εὐτελῶν τροφῶν ἓν εἶδος ἐκ τῶν ἀπερισπάστως εὑρισκομένων, ὧν οὐκ ἐπιθυμεῖ ἡ ψυχή, εἰ μήπου οὐκ ἔστιν ἄλλο. Ἵνα γαστριμαργίαν, λαιμαργίαν, ἐπιθυμίαν νικήσῃ καὶ ἀπερισπάστως διαμένῃ. Ἅμα δέ, ἵνα μὴ εἶδός τι ἀπέχηται καθόλου, ἀπόβλητα ποιῶν κακῶς, τὰ παρὰ Θεοῦ καλὰ λίαν[2] γινόμενα, μήτε πάντα ὑφ' ἓν καταπίῃ ἀκρατῶς καὶ φιληδόνως, ἀλλ' ἓν εἶδος καθ' ἑκάστην παρ' ἓν ἐσθίων μετὰ ἐγκρατείας, πᾶσιν εἰς δόξαν Θεοῦ χρήσηται, μηδενὸς ἀπεχόμενος, ὡς οἱ ἐπικατάρατοι αἱρετικοὶ ποιοῦσιν, ὡς κακόν. Οἶνος δέ, κατὰ καιρόν· ἐν γὰρ γήρᾳ, ἀσθενείᾳ τε καὶ ψύχει χρήσιμός ἐστι πάνυ, πλὴν καὶ τότε ὀλιγωστός [recte: ὀλιγοστός]· ἐν δὲ νεότητι, θέρμῃ τε καὶ ὑγείᾳ, τὸ ὕδωρ

μίας καὶ τῆς δυνάμεως τοῦ Θεοῦ, [συγχρόνως] φοβεῖται καὶ ἐλπίζει· ὥστε, ἐὰν τυχὸν κάτι τοῦ συμβῇ, οὔτε νὰ πέσῃ [ὑποκύψῃ σὲ πειρασμό], ἐπειδὴ πῆρε θάρρος [ἐμπιστεύθηκε τὸν ἑαυτό του], ἀπὸ ἄγνοια [τῶν δυνάμεών του], οὔτε νὰ ἀπογοητεύεται, ξεχνώντας τὴν φιλανθρωπία τοῦ Θεοῦ.

2. Δεύτερη [εἶναι], ἡ μὲ μέτρο νηστεία, δηλαδὴ τὸ νὰ τρώῃ [κανεὶς] μιὰ φορὰ τὴν ἡμέρα καὶ νὰ μὴν χορταίνῃ· [δηλαδὴ νὰ τρώγῃ] ἕνα εἶδος ἀπὸ εὐτελεῖς τροφές, ἀπὸ αὐτὲς ποὺ βρίσκονται εὔκολα καὶ δὲν τὶς ἐπιθυμεῖ ἡ ψυχή, ἐὰν βέβαια δὲν ὑπάρχῃ κάτι ἄλλο· γιὰ νὰ νικήσῃ τὴν γαστριμαργία, τὴν λαιμαργία, τὴν ἐπιθυμία καὶ νὰ ζῇ χωρὶς περισπασμούς. Συγχρόνως ὅμως, νὰ μὴν ἀπέχῃ ἐντελῶς ἀπὸ ἕνα εἶδος, μὲ τὸ νὰ ἀπορρίπτῃ κακῶς, ὅσα ἀπὸ τὸ Θεὸ ἔγιναν πολὺ καλά. Οὔτε ὅλα νὰ τὰ καταπίνῃ μονομιᾶς, ἀσυγκράτητα καὶ φιλήδονα, ἀλλὰ [νὰ τρώῃ] ἀπὸ ἕνα εἶδος καθημερινὰ μὲ ἐγκράτεια, [ὥστε] ὅλα νὰ τὰ χρησιμοποιῇ πρὸς δόξαν Θεοῦ, χωρὶς νὰ ἀπέχῃ ἀπὸ κανένα, ὅπως κάνουν οἱ καταραμένοι αἱρετικοί, [ἐπειδὴ τὸ θεωροῦν] ὡς κακό. Κρασὶ δὲ κατὰ περίστασι· γιατὶ στὰ γηρατειὰ καὶ στὴν ἀρρώστια καὶ στὸ κρύο εἶναι πολὺ χρήσιμο, ὅμως καὶ τότε λιγοστό· στὴν νεότητα ὅμως καὶ στὴ ζέστη καὶ στὴν ὑγεία, τὸ νερὸ

κρεῖττον, πλὴν καὶ τοῦτο ὀλίγον πάσῃ δυνάμει· ἡ γὰρ δίψα κρείσσων ἐστὶ πασῶν τῶν σωματικῶν πράξεων.

[3.] Τρίτη, ἀγρυπνία σύμμετρος, τὸ ἥμισυ δηλαδὴ τῆς νυκτὸς εἰς ὕπνον ἔχειν καὶ τὸ ἥμισυ εἰς ψαλμῳδίαν καὶ προσευχήν, στεναγμούς τε καὶ δάκρυα· ἵνα τῇ συμμέτρῳ νηστείᾳ καὶ ἀγρυπνίᾳ, τὸ μὲν σῶμα εὐπειθὲς τῇ ψυχῇ γένηται, ὑγιές τε καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἕτοιμον. Ἡ δὲ ψυχὴ ἀνδρείαν λάβῃ καὶ φωτισμόν, εἰς τὸ βλέπειν καὶ ποιεῖν τὰ προσήκοντα.

[4.] Τετάρτη, ψαλμῳδία, ἤτοι προσευχὴ σωματική, διὰ ψαλμῶν καὶ γονυκλισιῶν, ἵνα σκυλθῇ τὸ σῶμα καὶ ταπεινωθῇ ἡ ψυχὴ καὶ φύγωσιν οἱ ἐχθροὶ ἡμῶν δαίμονες καὶ παραγίνωνται οἱ σύμμαχοι Ἄγγελοι καὶ ἐπιγνώσηταί τις πόθεν λαμβάνει βοήθειαν· μήπως ἀγνοῶν ἐπαρθῇ, δοκῶν ὅτι ἴδιαί εἰσιν αἱ ἐργασίαι καὶ ἐγκαταλειφθῇ ἀπὸ τοῦ Θεοῦ πρὸς τὸ γινώσκειν τὴν ἰδίαν ἀσθένειαν.

[5.] Πέμπτη, προσευχὴ πνευματικὴ διὰ τοῦ νοὸς γινομένη, ἀπέχουσα πάσης ἐν-

εἶναι πολὺ προτιμότερο, ἀλλὰ καὶ αὐτὸ λίγο, ὅσο [εἶναι] δυνατόν· γιατὶ ἡ δίψα εἶναι ἡ καλύτερη ἀπ᾽ ὅλες τὶς σωματικὲς πράξεις.

3. Τρίτη [εἶναι], ἡ μὲ μέτρο ἀγρυπνία, δηλαδὴ νὰ ἀφιερώνῃ κανείς, τὸ μισὸ τῆς νύχτας στὸν ὕπνο καὶ τὸ [ἄλλο] μισό, γιὰ ψαλμωδία καὶ προσευχὴ καὶ στεναγμοὺς καὶ δάκρυα. [Καὶ τοῦτο,] γιὰ νὰ γίνῃ, μὲ τὴν μετρημένη νηστεία καὶ ἀγρυπνία, τὸ μὲν σῶμα ὑποταγμένο στὴν ψυχή, ὑγιὲς καὶ ἕτοιμο γιὰ κάθε ἀγαθὸ ἔργο, ἡ δὲ ψυχὴ νὰ γίνῃ ἀνδρεία καὶ νὰ φωτισθῇ, στὸ νὰ διακρίνῃ καὶ νὰ κάνῃ τὰ πρέποντα.

4. Τετάρτη [εἶναι] ἡ ψαλμωδία, δηλαδὴ ἡ σωματικὴ προσευχή, μὲ ψαλμοὺς καὶ γονυκλισίες [μεγάλες μετάνοιες], γιὰ νὰ καταπονηθῇ τὸ σῶμα καὶ νὰ ταπεινωθῇ ἡ ψυχὴ καὶ γιὰ νὰ φύγουν οἱ ἐχθροί μας δαίμονες καὶ γιὰ νὰ πλησιάσουν οἱ σύμμαχοί [μας] Ἄγγελοι καὶ νὰ καταλάβῃ καλὰ κανεὶς ἀπὸ ποῦ λαμβάνει τὴν βοήθεια· μήπως μὲ τὸ νὰ τὸ ἀγνοῇ, ὑπερηφανευθῇ, νομίζοντας ὅτι εἶναι δικά του τὰ ἔργα καὶ ἐγκαταλειφθῇ ἀπὸ τὸν Θεό, γιὰ νὰ γνωρίσῃ τὴν δική του ἀσθένεια.

5. Πέμπτη [εἶναι] ἡ πνευματικὴ προσευχή, ποὺ γίνεται μὲ τὸ νοῦ, ἡ ὁποία ἀπέχει ἀπὸ κάθε ἔννοια [λογισμὸ ἢ φαντασία]

νοίας· καὶ ἐν τοῖς λεγομένοις ἱστάμενος ὁ νοῦς καὶ προσπίπτων τῷ Θεῷ μετὰ συντριμμῶν ἀμυθήτων, ζητεῖ μόνον τὸ θεῖον θέλημα γενέσθαι ἐν πᾶσι τοῖς αὐτοῦ ἐγχειρήμασι καὶ νοήμασι, μηδ᾽ ὅλως δεχόμενος λογισμόν, ἢ σχῆμα, ἢ χρῶμα, ἢ φῶς, ἢ πῦρ, ἢ ἄλλο τι τὸ παράπαν, ἀλλ᾽ ὡς παρὰ Θεῷ βλεπόμενος καὶ αὐτῷ μόνῳ διαλεγόμενος, ἀνείδεος, ἄχροος, ἀσχημάτιστος γενόμενος. Αὕτη γάρ ἐστιν ἡ καθαρὰ προσευχή, ἡ πρέπουσα τῷ ἔτι πρακτικῷ· τῷ δὲ θεωρητικῷ, ἄλλα μείζονα τούτων.

[6.] Ἕκτη, ἀνάγνωσις ἔν τε λόγοις καὶ βίοις τῶν Πατέρων, μηδ᾽ ὅλως περὶ δογμάτων ξένων, ἢ ἄλλων τινῶν ἀκούων καὶ μάλιστα αἱρετικῶν, ἵνα μάθῃ ἐκ τῶν θείων Γραφῶν καὶ ἐκ τῆς διακρίσεως τῶν Πατέρων, πῶς νικήσῃ τὰ πάθη καὶ τὰς ἀρετὰς κτήσηται. Καὶ ἵνα ἐμπλησθῇ ὁ νοῦς αὐτοῦ λόγων Πνεύματος Ἁγίου καὶ ἐπιλάθηται τὰ πρῴην ἀπρεπῆ ῥήματα καὶ νοήματα, ἅπερ ἤκουσεν ἔξω τῆς κέλλης ὤν. Καὶ ἵνα, τῇ πολλῇ ὁμιλίᾳ τῆς προσευχῆς καὶ ἀναγνώσεως, ἔλθῃ εἰς τὸ

καὶ μὲ τὸ νὰ καθηλώνεται ὁ νοῦς, μόνο σ᾽ αὐτὰ ποὺ λέγει [στὰ λόγια τῆς προσευχῆς], προσπίπτοντας στὸ Θεὸ μὲ ἀνείπωτη συντριβή, ζητεῖ νὰ γίνῃ μόνο τὸ θέλημα τοῦ Θεοῦ, σὲ ὅλες τὶς πράξεις του καὶ στὰ νοήματα, χωρὶς νὰ δέχεται καθόλου λογισμὸ ἢ σχῆμα ἢ χρῶμα ἢ φῶς ἢ πῦρ καὶ γενικὰ κάτι ἄλλο, ἀλλὰ καθὼς βλέπεται ἀπὸ τὸν Θεὸ καὶ συνομιλεῖ μόνον μὲ Αὐτόν, νὰ γίνεται [ὁ νοῦς] ἄμορφος, ἄχρωμος, ἀσχημάτιστος. Γιατὶ αὐτὴ εἶναι ἡ καθαρὴ προσευχή, ποὺ ἁρμόζει στὸν ἀκόμη πρακτικὸ [ἄνθρωπο]· στὸν θεωρητικὸ ὅμως, [πρέπουν] ἄλλα μεγαλύτερα ἀπὸ αὐτά.

6. Ἕκτη [εἶναι] ἡ ἀνάγνωσι τῶν λόγων καὶ τῶν βίων τῶν Πατέρων, χωρὶς [νὰ θέλῃ] νὰ ἀκούῃ καθόλου γιὰ ξένα δόγματα ἢ [καὶ] κάποια ἄλλα [παρόμοια] καὶ προπάντων [λόγους] τῶν αἱρετικῶν, γιὰ νὰ μάθῃ ἀπὸ τὶς θεῖες Γραφὲς καὶ ἀπὸ τὴ διάκρισι τῶν Πατέρων, πῶς θὰ νικήσῃ τὰ πάθη καὶ θὰ ἀποκτήσῃ τὶς ἀρετές. Καὶ γιὰ νὰ γεμίσῃ ὁ νοῦς του, ἀπὸ λόγους τοῦ Ἁγίου Πνεύματος, [ὥστε] νὰ ξεχάσῃ τὰ προηγούμενα ἄπρεπα λόγια καὶ νοήματα, τὰ ὁποῖα ἄκουσε, ὅταν ἦταν ἔξω ἀπὸ τὸ κελλί του. Καὶ γιὰ νὰ φθάσῃ νὰ κατανοῇ, μὲ τὴ συνεχῆ παραμονὴ στὴν προσευχὴ καὶ στὴν ἀνά-

ἐννοεῖν χρηστὰς ἐννοίας· καὶ γὰρ ἡ προσευχὴ βοηθεῖται ὑπὸ τῆς ἀναγνώσεως ἐν ἡσυχίᾳ καὶ ἡ ἀνάγνωσις, ὑπὸ τῆς καθαρᾶς προσευχῆς, ὅταν τις προσέχῃ τοῖς λεγομένοις καὶ μὴ παρέργως ἀναγινώσκῃ, ἢ ψάλλῃ, εἰ καὶ οὐδόλως δύναται καταλαβεῖν, ὡς δεῖ, τὴν δύναμιν αὐτῶν ὑπὸ τῆς τῶν παθῶν σκοτώσεως· κἂν ἐξ οἰήσεως πολλάκις πλανώμεθα, καὶ μάλιστα οἱ δοκοῦντες, ὅτι τὴν σοφίαν τοῦ κόσμου τούτου ἔχουσιν, ἀγνοοῦντες, ὅτι ἐμπράκτου γνώσεως δεόμεθα εἰς τὸ ταῦτα κατανοεῖν καὶ οὐκ ἐξ ἀκοῆς μόνης ὠφελεῖται ὁ θέλων μαθεῖν τὴν γνῶσιν τοῦ Θεοῦ. Διότι ἄλλο ἐστὶν ἀκοὴ καὶ ἄλλο πρᾶξις. Ὥσπερ γὰρ ἐκ μόνης ἀκοῆς οὐ δύναταί τις τεχνίτης γενέσθαι, ἀλλ᾽ ἐκ τοῦ ποιεῖν καὶ βλέπειν καὶ πολλὰ σφάλλειν καὶ διορθοῦσθαι ὑπὸ τῶν ἐμπείρων, καὶ διὰ τῆς ὑπομονῆς καὶ ἐκκοπῆς τῶν ἰδίων θελημάτων καὶ τῇ πολυημερίᾳ, εἰς ἕξιν ἔρχεται τῆς τέχνης, οὕτω καὶ ἡ πνευματικὴ γνῶσις οὐ γίνεται ἐκ μόνης μελέτης, ἀλλ᾽ ἐκ Θεοῦ κατὰ χάριν τοῖς ταπεινόφροσι δίδοται. Ὁ γὰρ

γνωσι, τὶς ἀγαθὲς ἔννοιες· διότι ἡ προσευχὴ βοηθεῖται ἀπὸ τὴν ἀνάγνωσι, [ποὺ γίνεται] στὴν ἡσυχία καὶ ἡ ἀνάγνωσι ἀπὸ τὴν καθαρὴ προσευχή, ὅταν [βέβαια] κανεὶς προσέχῃ στὰ λεγόμενα καὶ δὲν διαβάζῃ ἢ ψάλλῃ σὰν πάρεργο [μὲ ραθυμία], κι ἂν ἀκόμη δὲν μπορῇ νὰ κατανοήσῃ, ὅπως πρέπει τὴ δύναμι [ἐκείνων ποὺ διαβάζει ἢ ψάλλει], ἐξ αἰτίας τοῦ σκοτασμοῦ τῶν παθῶν· ἂν καὶ πολλὲς φορές, ἀπὸ ἀλαζονεία πλανιώμαστε καὶ μάλιστα, ὅσοι νομίζουν ὅτι κατέχουν τὴν σοφίαν τοῦ κόσμου τούτου, ἀγνοώντας, ὅτι ἔχομε ἀνάγκη ἀπὸ τὴν ἔμπρακτη γνῶσι, γιὰ νὰ κατανοοῦμε αὐτὰ καὶ δὲν ὠφελεῖται μόνον ἐξ ἀκοῆς, ἐκεῖνος ποὺ θέλει νὰ μάθῃ τὴν γνῶσι τοῦ Θεοῦ. Διότι ἄλλο εἶναι ἡ ἀκοὴ καὶ ἄλλο ἡ πρᾶξι. Ὅπως δηλαδὴ μόνο ἀπὸ τὴν ἀκοή, δὲν μπορεῖ κάποιος νὰ γίνῃ τεχνίτης, ἀλλὰ [γίνεται] ἀπὸ τὸ νὰ κατασκευάζῃ καὶ νὰ βλέπῃ καὶ νὰ κάνῃ πολλὰ λάθη καὶ νὰ διορθώνεται ἀπὸ τοὺς ἐμπείρους, καὶ μὲ τὴν ὑπομονὴ καὶ τὴν ἀποκοπὴ τῶν δικῶν του θελημάτων καὶ μὲ τὴν πολυκαιρία νὰ φθάσῃ νὰ μάθῃ τὴν τέχνη, ἔτσι καὶ ἡ πνευματικὴ γνῶσι, δὲν [ἀποκτᾶται] μόνον ἀπὸ τὴ μελέτη, ἀλλὰ ἀπὸ τὸν Θεὸ δίνεται, κατὰ Χάριν, στοὺς ταπεινοφρονοῦντες. Διότι

ἀναγινώσκων Γραφὰς καὶ ἴσως ἐκ μέρους δοκεῖ γινώσκειν, οὐδὲν θαυμαστόν, ἐὰν μάλιστα πρακτικὸς ὑπάρχῃ. Οὐ μὴν δὲ γνῶσιν Θεοῦ ὁ τοιοῦτος ἔχῃ, ἀλλὰ τοὺς λόγους τῶν ἐχόντων γνῶσιν ἀκούων· ὥστε οἱ μὲν γράψαντες εἶχον πολλάκις γνῶσιν Θεοῦ, καθάπερ οἱ προφῆται, αὐτὸς δὲ οὔπω. Κἀγὼ τοίνυν ὡσαύτως ἐκ τῶν θείων Γραφῶν συλλέξας καὶ οὐχὶ ἐκ τοῦ πνεύματος ἀξιωθεὶς ἀκοῦσαι, ἀλλ᾽ ἐκ τῶν ἀκουόντων παρ᾽ ἐκείνου ἤκουσα ὥς περ τινες περί τινος πόλεως ἢ ἀνθρώπου ἀκούοντες παρὰ τοῖς εἰδόσι ταῦτα.

[7.] Ἑβδόμη, ἐρώτησις τῶν ἐμπείρων περὶ παντὸς λόγου καὶ ἐγχειρήματος, ἵνα μή, ἐξ ἀπειρίας, ἢ αὐταρεσκείας, ἀλλ᾽ [recte: ἄλλ᾽] ἀντ᾽ ἄλλου νοῶν καὶ ποιῶν τις πλανᾶται πολλάκις καὶ εἰς οἴησιν πίπτῃ, δοκῶν εἰδέναι ὡς δεῖ, μηδὲν εἰδὼς μηδέπω[3], κατὰ τὸν Ἀπόστολον.

[8.] Ἔπειτα μετὰ τὰς σωματικὰς ταύτας πράξεις, ὑπομονὴν δεῖ ἔχειν πάντων τῶν ἐπερχομένων, ὧν μέλλει ὁ Θεὸς παραχωρεῖν πρὸς μάθησιν καὶ πεῖραν καὶ γνῶσιν τῆς ἰδί-

αὐτὸς ποὺ μελετᾶ τὶς Γραφὲς καὶ ἴσως θεωρεῖ, ὅτι κατανοεῖ ἕνα μέρος αὐτῶν, δὲν εἶναι κάτι τὸ θαυμαστό, ἐὰν μάλιστα τυχαίνῃ νὰ εἶναι πρακτικός. Αὐτὸς ὁ ἄνθρωπος δὲν ἔχει πράγματι [ἀκόμη] γνῶσι Θεοῦ, ἀλλὰ ἀκούει τοὺς λόγους ἐκείνων, ποὺ ἔχουν γνῶσι· ὥστε αὐτοὶ ποὺ τὰ ἔγραψαν, εἶχαν πολλὲς φορὲς γνῶσι Θεοῦ, ὅπως ἀκριβῶς οἱ Προφῆτες, ὁ ἴδιος ὅμως ὄχι ἀκόμη. Καὶ ἐγὼ λοιπὸν ὁμοίως [τὰ γνωρίζω], ἀφοῦ τὰ συγκέντρωσα ἀπὸ τὶς θεῖες Γραφὲς καὶ ὄχι γιατὶ ἀξιώθηκα νὰ τὰ ἀκούσω ἀπὸ τὸ [Ἅγιο] Πνεῦμα, ἀλλὰ τὰ ἄκουσα ἀπὸ αὐτούς, ποὺ [τὰ] ἀκούουν ἀπὸ Ἐκεῖνο [τὸ Ἅγιο Πνεῦμα], ὅπως ἀκριβῶς ἀκούουν μερικοί, γιὰ κάποια πόλι ἢ [κάποιον] ἄνθρωπο, ἀπὸ αὐτοὺς ποὺ τὰ γνωρίζουν.

7. Ἑβδόμη [εἶναι] ἡ ἐρώτησι τῶν ἐμπείρων, γιὰ κάθε λόγο καὶ ἔργο, γιὰ νὰ μὴν πλανᾶται πολλὲς φορὲς κάποιος ἀπὸ ἀπειρία καὶ αὐταρέσκεια, ἐπειδὴ ἐννοεῖ καὶ κάνει ἄλλο ἀντὶ ἄλλου καὶ [ἔτσι] πέφτει σὲ ἀλαζονεία, «νομίζοντας ὅτι γνωρίζει ὅπως πρέπει, ἐνῶ τίποτα ἀκόμη δὲν ξέρει», σύμφωνα μὲ τὸν Ἀπόστολο.

8. Ἔπειτα μαζὶ μὲ τὶς σωματικὲς αὐτὲς πράξεις, πρέπει νὰ ἔχῃ ὑπομονὴ γιὰ ὅλα τὰ ἐπερχόμενα [δεινά], τὰ ὁποῖα ὁ Θεὸς φροντίζει νὰ [τοῦ] παραχωρῇ πρὸς μάθησι καὶ πεῖρα καὶ γνῶσι τῆς ἰδί-

ας ἀσθενείας. Καὶ μήτε θαῤῥεῖν, μήτε ἀπογινώσκειν, εἴ τι δι᾽ ἂν αὐτῷ συμβῇ καλὸν ἢ κακὸν. Πᾶν δὲ ὄνειρον καὶ πᾶν ῥῆμα καὶ ἔργον ἀργὸν ὀφείλει ἀποστρέφεσθαι ἀεί· μελετᾶν τε τὸ τοῦ Θεοῦ ὄνομα ὑπὲρ τὸ ἀναπνεῖν ἐν παντὶ καιρῷ[4] *καὶ τόπῳ καὶ πράγματι. Καὶ προσπίπτειν αὐτῷ ἀπὸ ψυχῆς, συνάγων τὸν νοῦν ἐκ πάντων τῶν τοῦ κόσμου νοημάτων καὶ μόνον ζητῶν γενέσθαι τὸ τοῦ Θεοῦ θέλημα. Καὶ τότε ἄρχεται ὁ νοῦς βλέπειν τὰ πταίσματα αὐτοῦ ὡς ψάμμον θαλάσσης. Καὶ αὕτη ἐστὶν ἡ ἀρχὴ τοῦ φωτισμοῦ τῆς ψυχῆς καὶ τεκμήριον τῆς ὑγείας αὐτοῦ. Καὶ ἁπλῶς, γίνεται ἡ ψυχὴ συντετριμμένη καὶ ἡ καρδία τεταπεινωμένη*[5], *καὶ ἡγεῖται ἑαυτὴν κάτω πάντων ἐν ἀληθείᾳ. Καὶ ἄρχεται μὲν κατανοεῖν τὰς τοῦ Θεοῦ εὐεργεσίας, τάς τε ἰδικὰς [recte: εἰδικὰς] καὶ περιεκτικάς, τὰς ἐν ταῖς θείαις Γραφαῖς εὑρισκομένας, καὶ τὰ οἰκεῖα πλημμελήματα. Τηρεῖ δὲ καὶ τὰς ἐντολὰς ἐν γνώσει, ἀπὸ τῆς πρώτης, καὶ καθ᾽ ἑξῆς. Ἐπειδὴ ὁ Κύριος, ὡς ἐν κλίμακι τέθεικεν αὐτάς, καὶ οὐ δύναταί*

ας [του] ἀσθένειας. Καὶ οὔτε νὰ παίρνῃ [πολὺ] θάρρος, οὔτε νὰ ἀπογοητεύεται, ἂν [τυχὸν] κάτι συμβῇ σ᾽ αὐτὸν καλὸ ἢ κακό. Ὀφείλει δέ, κάθε ὄνειρο καὶ κάθε λόγο καὶ ἔργο ἄχρηστο, νὰ [τὸ] ἀποστρέφεται πάντοτε καὶ νὰ μελετᾷ τὸ ὄνομα τοῦ Θεοῦ περισσότερο [καὶ] ἀπὸ τὴν ἀναπνοὴ [του], σὲ κάθε καιρὸ καὶ τόπο καὶ ἔργο. Καὶ νὰ προσπίπτῃ σ᾽ Αὐτόν, μὲ ὅλη του τὴν ψυχὴ συμμαζεύοντας τὸν νοῦν του, ἀπὸ ὅλα τὰ νοήματα τοῦ κόσμου καὶ ἐπιζητώντας μόνον νὰ γίνῃ τὸ θέλημα τοῦ Θεοῦ. Καὶ τότε, ἀρχίζει ὁ νοῦς νὰ βλέπῃ τὰ σφάλματά του, σὰν τὴν ἄμμο τῆς θαλάσσης. Καὶ αὐτὴ εἶναι ἡ ἀρχὴ τοῦ φωτισμοῦ τῆς ψυχῆς καὶ ἀπόδειξι τῆς ὑγείας αὐτοῦ. Καὶ γενικά, συντρίβεται ἡ ψυχὴ καὶ ἡ καρδιὰ ταπεινώνεται καὶ θεωρεῖ τὸν ἑαυτό της, ἀληθινὰ ὑποκάτω ὅλων. Καὶ ἀρχίζει νὰ κατανοῇ τὶς εὐεργεσίες τοῦ Θεοῦ, καὶ τὶς εἰδικὲς καὶ τὶς γενικώτερες, ποὺ βρίσκονται στὶς θεῖες Γραφές, [ὅπως] καὶ τὰ δικά του ἁμαρτήματα. Τηρεῖ δὲ καὶ τὶς ἐντολὲς μὲ ἐπίγνωσι, ἀπὸ τὴν πρώτη καὶ ὅλες τὶς ἑπόμενες. Ἐπειδὴ ὁ Κύριος τὶς τοποθέτησε σὰν σὲ κλίμακα καὶ δὲν μπορεῖ κανεὶς

τις ὑπερβαίνων τῆς μιᾶς εἰς τὴν ἄλλην ἀνελθεῖν ποτε. Ἀλλ᾽ ὥσπερ ἐπὶ τῶν βαθμίδων, οὕτως ἀπὸ τῆς πρώτης εἰς τὴν δευτέραν· καὶ ἀπ᾽ αὐτῆς, εἰς τὴν τρίτην· ἄχρις ἂν Θεὸν ποιήσωσι τὸν ἄνθρωπον, κατὰ χάριν τοῦ δωρησαμένου αὐτάς, τοῖς προαιρουμένοις.

ποτέ, ὑπερβαίνοντας τὴ μιά, νὰ ἀνεβῇ στὴν ἄλλη. Ἀλλά, ὅπως ἀκριβῶς στὰ σκαλοπάτια, ἔτσι ἀπὸ τὴν πρώτη [ἀνεβαίνει] στὴ δεύτερη· καὶ ἀπὸ αὐτὴ στὴν τρίτη· μέχρι ποὺ νὰ κάνουν Θεὸ τὸν ἄνθρωπο, μὲ τὴ Χάρι Ἐκείνου, ποὺ τὶς δώρισε σὲ ὅσους ἔχουν [καλὴ] προαίρεσι.

ΟΤΙ Ο ΒΟΥΛΟΜΕΝΟΣ ΤΑΣ ΕΝΤΟΛΑΣ ΤΗΡΗΣΑΙ ΕΚ ΤΟΥ ΘΕΙΟΥ ΦΟΒΟΥ ΑΡΞΑΤΩ, ΙΝΑ ΜΗ ΕΙΣ ΧΑΟΣ ΟΛΙΣΘΗΣῌ

ΟΤΙ ΕΚΕΙΝΟΣ ΠΟΥ ΘΕΛΕΙ ΝΑ ΤΗΡΗΣῌ ΤΙΣ ΕΝΤΟΛΕΣ ΑΣ ΑΡΧΙΣῌ ΑΠΟ ΤΟΝ ΦΟΒΟ ΤΟΥ ΘΕΟΥ ΓΙΑ ΝΑ ΜΗΝ ΠΕΣῌ ΣΕ ΧΑΟΣ

[9.] Εἰ δέ τις θέλει προλαβεῖν, ἐπ᾽ αὐταῖς μᾶλλον τὴν σπουδὴν ἐπιδεικνύτω καὶ μὴ ἀλλαχόθεν· ἐπεὶ εἰς κρημνόν, μᾶλλον δὲ εἰς χάος μέλλει πίπτειν. Ὥσπερ γὰρ ἐπὶ τῶν ἑπτὰ χαρισμάτων τοῦ πνεύματος, εἰ μὴ ἀπὸ τοῦ φόβου ἄρξηται, οὐ δύναταί τις εἰς τὰ λοιπὰ ἀνελθεῖν ποτέ, οὕτω καὶ ἐν τοῖς μακαρισμοῖς τοῦ Κυρίου. Ἀρχὴ γὰρ σοφίας, φησὶν ὁ Δαβίδ, φόβος Κυρίου[6]. Ὁ δὲ ἄλλος προφήτης ἄνωθεν εἰρηκὼς περὶ τούτων, ἔφη· πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος,

9. Ἂν κάποιος θέλῃ νὰ ἀσχοληθῇ πρωταρχικὰ [μὲ τὴ σωτηρία του], ἂς ἐπιδείξῃ σ᾽ αὐτὲς [τὶς ἀρετές] μᾶλλον τὸν ζῆλον του καὶ ὄχι ἀλλοῦ· διότι πρόκειται νὰ πέσῃ σὲ γκρεμὸ ἢ μᾶλλον σὲ χάος. Ὅπως ἀκριβῶς, [ὅσον ἀφορᾶ] τὰ ἑπτὰ χαρίσματα τοῦ [Ἁγίου] Πνεύματος[α'], ἐὰν κανεὶς δὲν ἀρχίσῃ ἀπὸ τὸν φόβο, δὲν μπορεῖ καὶ στὰ ὑπόλοιπα νὰ ἀνέβῃ ποτέ, ἔτσι καὶ μὲ τοὺς Μακαρισμοὺς τοῦ Κυρίου. Διότι «ἀρχὴ σοφίας, φόβος Κυρίου», [ὅπως] λέγει ὁ Δαβίδ. Ὁ δὲ ἄλλος προφήτης [ὁ Ἠσαΐας], ὅταν ἀναφέρθηκε σὲ αὐτά, [ἄρχισε] ἀπὸ τὰ ὑψηλότερα [πρὸς τὰ κατώτερα καὶ] εἶπε· «Πνεῦμα σοφίας καὶ συνέσεως, Πνεῦμα βουλῆς καὶ ἰσχύος,

πνεῦμα γνώσεως καὶ εὐσεβείας, πνεῦμα φόβου Θεοῦ[7]*. Καὶ ὁ Κύριος ἀπὸ φόβου ἤρξατο διδάσκειν. Καί φησι, μακάριοι πτωχοὶ τῷ πνεύματι*[8]*, τοῦτ᾽ ἔστι τὸ γενέσθαι τινὰ κατάπτηχον τῷ φόβῳ τοῦ Θεοῦ, ἔχοντα ἀμύθητον συντριμμὸν ψυχῆς. Διότι ὁ Κύριος ὡς θεμέλιον τέθεικε τὴν ἐντολὴν ταύτην, γινώσκων ὅτι ἐκτὸς ταύτης, κἂν εἰς οὐρανόν τις πολιτεύηται, οὐκ ὠφελεῖται ἔχων τὴν ἀπόνοιαν, δι᾽ ἧς ὁ διάβολος καὶ ὁ Ἀδὰμ καὶ ἄλλοι πλεῖστοι πεπτώκασι. Καὶ τούτου χάριν ὀφείλει ὁ θέλων τὴν πρώτην ἐντολὴν τηρῆσαι, ἤτοι τὸν φόβον, ὡς εἴρηται, ἐν σχολῇ μελετᾶν πολλῇ, τὰ πρῴην γεγραμμένα τοῦ βίου συναντήματα καὶ τὰς τοῦ Θεοῦ εὐεργεσίας τὰς ἀμετρήτους καὶ ἀνεξιχνιάστους· καὶ ὅσα ἐποίησε καὶ ποιεῖ μεθ᾽ ἡμῶν δι᾽ ὁρατῶν τε καὶ ἀοράτων, ἐντολῶν τε καὶ δογμάτων, ἀπειλῶν τε καὶ ἐπαγγελιῶν, φυλάττων, τρέφων, προνοῶν, ζωογονῶν, ῥυόμενος ἀπὸ ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν. Τὰς νόσους, ἃς ἡ ἀταξία ἡμῶν προσφέρει, ἰώμενος δι᾽ εὐχῶν καὶ πρεσβειῶν τῶν Ἁγίων αὐτοῦ·*

Πνεῦμα γνώσεως καὶ εὐσεβείας, Πνεῦμα φόβου Θεοῦ». Καὶ ὁ Κύριος, ἀπὸ τὸν φόβο ἄρχισε νὰ διδάσκῃ. Καὶ λέγει, «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι» [οἱ αἰσθανόμενοι τὴν πνευματική τους πτωχεία]. Τοῦτο σημαίνει [νὰ φθάσῃ] νὰ γίνῃ κανεὶς ἔντρομος ἀπὸ τὸν φόβο τοῦ Θεοῦ, μὲ τὸ νὰ ἔχῃ ἀνείπωτη συντριβὴ ψυχῆς. Διότι ὁ Κύριος, ἔχει θέσει ὡς θεμέλιο τὴν ἐντολὴν αὐτήν, ἐπειδὴ γνωρίζει, ὅτι χωρὶς αὐτὴν καὶ στὸν οὐρανὸ ἂν ζῇ κανεὶς δὲν ὠφελεῖται, ἂν ἔχῃ τὴν παραφροσύνη, λόγῳ τῆς ὁποίας ὁ διάβολος καὶ ὁ Ἀδὰμ καὶ ἄλλοι πολλοὶ ἔχουν πέσει. Καὶ γι᾽ αὐτὸ ὀφείλει ἐκεῖνος, ὁ ὁποῖος θέλει νὰ τηρήσῃ τὴν πρώτη ἐντολή, δηλαδὴ τὸν φόβο, ὅπως ἔχει λεχθῆ, νὰ μελετᾷ μὲ πολλὴ προσοχὴ τὰ συμβάντα τῆς ζωῆς, ποὺ προηγουμένως ἔχουν γραφῆ καὶ τὶς ἀμέτρητες καὶ ἀνεξιχνίαστες εὐεργεσίες τοῦ Θεοῦ· καὶ ὅσα ἔκανε καὶ κάνει σὲ μᾶς, μέσῳ τῶν ὁρατῶν καὶ ἀοράτων, ἐντολῶν καὶ δογμάτων, ἀπειλῶν καὶ ὑποσχέσεων, φυλάττοντας, τρέφοντας, προνοώντας, ζωογονώντας, σώζοντας ἀπὸ ὁρατοὺς καὶ ἀοράτους ἐχθρούς. [Καὶ] θεραπεύοντας τὶς ἀσθένειες, τὶς ὁποῖες, ἡ δική μας ἀταξία προκαλεῖ, μὲ τὶς εὐχὲς καὶ πρεσβείαις τῶν Ἁγίων Του·

ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, ἀσεβείαις τε καὶ ἀνομίαις μακροθυμῶν ἀεί. Ὅσα ἐποίησαμεν καὶ ποιοῦμεν καὶ ὅσα μέλλομεν ποιεῖν, ἐξ ὧν ἐῤῥύσατο ἡμᾶς ἡ χάρις αὐτοῦ. Καὶ πόσα παροργίζομεν αὐτὸν ἔργῳ τε καὶ λόγῳ καὶ διαλογισμῷ. Καὶ οὐ μόνον ἀνέχεται ἡμᾶς, ἀλλὰ καὶ μείζονα εὐεργετεῖ δι᾿ ἑαυτοῦ, δι᾿ Ἀγγέλων, διὰ Γραφῶν, δικαίων καὶ Προφητῶν, Ἀποστόλων τε καὶ Μαρτύρων, διδασκάλων καὶ ὁσίων Πατέρων. Καὶ κατανοῶν τῶν μὲν τοὺς ἄθλους, τῶν δὲ τοὺς ἀγῶνας. Ἔπειτα θαυμάζων τὴν συγκατάβασιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν διαγωγὴν αὐτοῦ τὴν ἐν τῷ κόσμῳ, τὰ ἄχραντα αὐτοῦ πάθη, τὸν Σταυρόν, τὸν θάνατον, τὴν ταφήν, τὴν ἀνάστασιν, τὴν ἀνάληψιν, τὴν παρουσίαν τοῦ Ἁγίου Πνεύματος, τὰ ἄῤῥητα θαύματα, τὰ ἀεὶ καὶ καθ᾿ ἑκάστην γινόμενα, τὸν παράδεισον, τοὺς στεφάνους, τὴν υἱοθεσίαν ἧς ἠξίωσεν ἡμᾶς, καὶ πάντα ὅσα περιέχει ἡ θεία Γραφὴ καὶ πλείονα λογιζόμενος, ἐκπλήττεται μὲν κατανοῶν τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, τρέμει δὲ

καὶ μακροθυμῶντας πάντοτε γιὰ τὶς ἁμαρτίες καὶ τὶς ἀσέβειες καὶ τὶς ἀνομίες [μας· καὶ γιὰ] ὅσα κάναμε καὶ κάνομε καὶ ὅσα πρόκειται νὰ κάνωμε, ἀπὸ τὰ ὁποῖα μᾶς ἔσωσε ἡ Χάρις Αὐτοῦ. Καὶ γιὰ ὅσα πολλὰ παροργίζομε Αὐτὸν καὶ μὲ ἔργα καὶ μὲ λόγια καὶ μὲ λογισμούς· καὶ ὄχι μόνον μᾶς ἀνέχεται, ἀλλὰ καὶ μᾶς εὐεργετεῖ μὲ περισσότερα, εἴτε Αὐτὸς [ὁ Ἴδιος], μέσῳ τῶν Ἀγγέλων ἢ μὲ τὶς Γραφὲς δικαίων καὶ Προφητῶν καὶ Ἀποστόλων καὶ Μαρτύρων, διδασκάλων καὶ Ὁσίων Πατέρων. Καὶ ἐπειδὴ βλέπει μὲ κατανόησι ἄλλων μὲν τοὺς ἄθλους καὶ ἄλλων τοὺς ἀγῶνες. [Καὶ] ἔπειτα, [ὁ ἄνθρωπος] θαυμάζοντας τὴν συγκατάβασιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν ζωή Του στὸν κόσμο, τὰ ἄχραντα πάθη, τὸν Σταυρόν, τὸν θάνατον, τὴν Ταφήν, τὴν Ἀνάστασι, τὴν Ἀνάληψι, τὴν παρουσία τοῦ Ἁγίου Πνεύματος, τὰ ἀνέκφραστα θαύματα, ποὺ γίνονται πάντοτε [καὶ] καθημερινά, τὸν παράδεισο, τοὺς στεφάνους, τὴν υἱοθεσία, τὴν ὁποία μᾶς ἀξίωσε καὶ ὅλα ὅσα περιέχει ἡ θεία Γραφή, καὶ διαλογιζόμενος ἀκόμη περισσότερα, ἐκπλήσσεται μέν, ὅταν βλέπῃ τὴν φιλανθρωπία τοῦ Θεοῦ, τρέμει ὅμως

καὶ θαυμάζει τὴν μακροθυμίαν καὶ ἀνοχὴν αὐτοῦ ἐφ' ἡμᾶς, καὶ λυπεῖται τὴν ζημίαν, ἣν ἔπαθεν ἡ φύσις ἡμῶν, λέγω δὴ τὴν ἀγγελοειδῆ ἀπάθειαν, τὸν παράδεισον καὶ πάντα τὰ ἀγαθά, ἀφ' ὧν ἐξεπέσαμεν, καὶ εἰς ὅσα κακὰ ἐνεπέσαμεν, λέγω δὴ τοὺς δαίμονας, τὰ πάθη καὶ τὰς ἁμαρτίας. Καὶ συντρίβεται ἡ ψυχή, ἐννοοῦσα ὅσα κακὰ γεγόνασιν ἐκ τῆς ἡμετέρας πονηρίας καὶ τῆς τῶν δαιμόνων πανουργίας.

καὶ θαυμάζει τὴν μακροθυμία καὶ τὴν ἀνοχή Του σὲ μᾶς, καὶ λυπᾶται γιὰ τὴν ζημία ποὺ ἔπαθε ἡ [ἀνθρωπίνη] φύσις μας, ἐννοῶ [τὸ ὅτι ἔχασε] τὴν ἀγγελικὴ ἀπάθεια, τὸν παράδεισο καὶ ὅλα τὰ ἀγαθά, ἀπὸ τὰ ὁποῖα ξεπέσαμε καὶ σὲ ὅσα κακὰ πέσαμε, λέγω δηλαδὴ τοὺς δαίμονες, τὰ πάθη καὶ τὶς ἁμαρτίες. Καὶ συντρίβεται ἡ ψυχή, ὅταν κατανοῇ ὅσα κακὰ ἔχουν γίνει ἀπὸ τὴ δική μας πονηρία καὶ [ἀπὸ] τὴν πανουργία τῶν δαιμόνων.

ΠΕΡΙ ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΕΝΤΟΛΗΣ, ΚΑΙ ΟΤΙ ΓΕΝΝΗΤΩΡ ΤΟΥ ΠΕΝΘΟΥΣ Ο ΦΟΒΟΣ

ΠΕΡΙ ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΕΝΤΟΛΗΣ, ΚΑΙ ΟΤΙ ΓΕΝΝΗΤΩΡ ΤΟΥ ΠΕΝΘΟΥΣ ΕΙΝΑΙ Ο ΦΟΒΟΣ *[ΤΟΥ ΘΕΟΥ]*

*[**10.**] Καὶ οὕτω χαρίζεται αὐτῷ ὁ Θεὸς τὸ μακάριον πένθος, ἤτοι τὴν δευτέραν ἐντολήν. Μακάριοί, φησιν, οἱ πενθοῦντες*[9]*, ἤγουν τὸν ἑαυτὸν καὶ τὸν πλησίον ἐξ ἀγάπης καὶ προσπαθείας πενθεῖν. Καὶ γίνεται, ὡς ἐπὶ νεκρῷ πενθοῦντος ἐκ τῶν φρικτῶν νοημάτων τῶν πρὸ τοῦ θανάτου γινομένων, μετὰ θάνατον. Ὀλολύζων ἐν στεναγμοῖς βάθους*

10. Καὶ ἔτσι ὁ Θεὸς χαρίζει σ' αὐτὸν τὸ μακάριο πένθος, δηλαδὴ τὴν δεύτερη ἐντολή, [ἡ ὁποία] λέγει: «Μακάριοι οἱ πενθοῦντες», δηλαδὴ ὅσοι πενθοῦν τὸν ἑαυτό τους καὶ τὸν πλησίον ἀπὸ ἀγάπη καὶ συμπάθεια [γι' αὐτόν]. Καὶ γίνεται [ὁ ἄνθρωπος], σὰν νὰ πενθῇ νεκρὸ πρὶν τὸν θάνατο, [ἀναλογιζόμενος ὅλα] τὰ φρικτὰ νοήματα, ποὺ [μέλλουν] νὰ γίνουν, μετὰ τὸν θάνατο. [Καὶ] ἔτσι κλαίει γοερὰ καὶ στενάζει ἀπὸ βάθους

καρδίας καὶ πολλῶν, πικρῶν τε καὶ ἐπιπόνων δακρύων καὶ ἀμυθήτων θρήνων. Καὶ οὔτε περὶ τιμῆς, οὔτε ἀτιμίας φροντίζει, ἀλλὰ καὶ αὐτὴν τὴν ζωὴν καταφρονεῖ καὶ τῆς τροφῆς ἐπιλανθάνεται πολλάκις, ἐκ τοῦ πόνου τῆς καρδίας καὶ τῶν διηνεκῶν θρήνων. [11.] Καὶ οὕτως ἡ χάρις τοῦ Θεοῦ καὶ κοινὴ πάντων Μήτηρ, δωρήσηται αὐτῷ τὴν πρᾳότητα καὶ ἀρχὴν τῆς τοῦ Χριστοῦ μιμήσεως, ἤγουν τὴν τρίτην ἐντολήν, ὥς φησιν ὁ Κύριος. Μακάριοι οἱ πρᾳεῖς[10]. Καὶ γίνεται ὡς πέτρα ἐρειρισμένος, καὶ μηδαμῶς σαλευόμενος ὑπὸ ἀνέμου ἢ κυμάτων τοῦ βίου, ἀλλ᾽ ὡσαύτως ἔχει ἀεί, ἐν δαψιλείᾳ καὶ ἐν ἐνδείᾳ καὶ ἐν εὐχερίᾳ [recte: εὐχερείᾳ] καὶ ἐν δυσχερίᾳ [recte: δυσχερείᾳ], ἐν τιμῇ καὶ ἀτιμίᾳ. Καὶ ἁπλῶς ἐν παντὶ καιρῷ καὶ πράγματι γινώσκει ἐν διακρίσει, ὅτι πάντα παρέρχονται, τά τε ἡδέα καὶ τὰ ἐπίπονα· καὶ ὅτι ὁδός ἐστιν ὁ βίος οὗτος πρὸς τὸν μέλλοντα αἰῶνα. Καὶ ὅτι, ἴσως κἂν μὴ θέλωμεν, τὰ γινόμενα γίνονται καὶ μάτην ταραττόμεθα[11] καὶ τὸν στέφανον τῆς ὑπομονῆς ζημιού-

καρδίας μὲ πολλά, πικρὰ καὶ ἐπίπονα δάκρυα καὶ ἀνείπωτους θρήνους. Καὶ δὲν φροντίζει οὔτε γιὰ τὴν τιμὴ οὔτε γιὰ τὴν ἀτιμία, ἀλλὰ καὶ αὐτὴ τὴν ζωὴ περιφρονεῖ καὶ τὴν τροφὴ πολλὲς φορὲς ξεχνάει, ἀπὸ τὸν πόνο τῆς καρδίας καὶ ἀπὸ τοὺς ἀκατάπαυστους θρήνους.

11. Καὶ ἔτσι, ἡ Χάρις τοῦ Θεοῦ καὶ κοινὴ Μητέρα ὅλων, θὰ δωρήση σ᾽ αὐτὸν τὴν πραότητα καὶ τὴν ἀρχὴ τῆς μιμήσεως τοῦ Χριστοῦ, δηλαδὴ τὴν τρίτη ἐντολή, ὅπως λέγει ὁ Κύριος: «Μακάριοι οἱ πραεῖς». Καὶ γίνεται [σταθερὸς] σὰν νὰ στηρίζεται σὲ πέτρα καὶ καθόλου δὲν σαλεύεται ἀπὸ τὸν ἄνεμο ἢ τὰ κύματα τοῦ βίου, ἀλλὰ πάντα παραμένει ἴδιος, στὴν ἀφθονία καὶ στὴ φτώχεια, στὴν εὐκολία καὶ στὴν δυσκολία, στὴν τιμὴ καὶ στὴν ἀτιμία. Καὶ γενικὰ σὲ κάθε καιρὸ καὶ περίστασι γνωρίζει μὲ διάκρισι, ὅτι ὅλα παρέρχονται καὶ τὰ εὐχάριστα καὶ τὰ ὀδυνηρά· καὶ ὅτι αὐτὴ ἡ ζωὴ εἶναι δρόμος, [ποὺ ὁδηγεῖ] στὸν μέλλοντα αἰῶνα. Καὶ ὅτι γίνονται αὐτά, ποὺ εἶναι νὰ γίνουν, ἴσως κι ἂν ἐμεῖς δὲν [τὰ] θέλωμε, καὶ μάταια ταρασσόμαστε καὶ χάνομε τὸν στέφανον τῆς ὑπομο-

μεθα καὶ ἀντιστάται τῆς βουλῆς τοῦ Θεοῦ φαινόμεθα. Διότι πάντα ὅσα ὁ Θεὸς ποιεῖ, καλά εἰσι λίαν[12], καὶ ἡμεῖς ἀγνοοῦμεν. Ὁδηγήσει γάρ, φησι, πρᾳεῖς ἐν κρίσει[13], μᾶλλον δὲ ἐν διακρίσει τῶν πραγμάτων. [12.] Ἀλλὰ καὶ ἐν καιρῷ παροργισμοῦ οὐδ᾽ ὅλως ταράσσεται ὁ τοιοῦτος, ἀλλὰ μᾶλλον χαίρεται, ὡς εὑρὼν καιρὸν κέρδους καὶ φιλοσοφίας, λογιζόμενος, ὅτι χωρὶς αἰτίας, οὐκ ἐγένετο ὁ πειρασμός· ἀλλ᾽ ἢ τὸν Θεὸν ἢ τὸν ἀδελφὸν ἢ ἄλλον τινὰ προελύπησεν ἐν ἀγνοίᾳ, ἢ ἐν γνώσει· καὶ ὅτι μᾶλλον εὑρέθη ἀφορμὴ τῆς συγχωρήσεως αὐτοῦ. Ἵνα κἂν διὰ τῆς ὑπομονῆς, λάβῃ συγχώρησιν τῶν πολλῶν αὐτοῦ κακῶν. Καὶ ὅτι ἐὰν μὴ ἀφῇ τὰ ὀφειλήματα τῷ ὀφειλομένῳ αὐτῷ, οὐδὲ ὁ Πατὴρ ἀφήσει τὰ αὐτοῦ ὀφειλήματα[14]· καὶ ὅτι οὐκ ἔστι τῆς ἀρετῆς ταύτης, ἤγουν τῆς ἐντολῆς, πρὸς ἄφεσιν ἁμαρτιῶν, συντομωτέρα. Ἄφετε γάρ, φησι, καὶ ἀφεθήσεται ὑμῖν[15]· καὶ ὅτι ἠξιώθη ταῦτα γινώσκειν καὶ ποιεῖν κατὰ μίμησιν τοῦ Χριστοῦ, πρᾷος διὰ τῆς χάριτος τῆς ἐντολῆς γενόμενος.

νῆς καὶ φαινόμαστε ἀντιμέτωποι στὸ θέλημα τοῦ Θεοῦ. Διότι ὅλα ὅσα κάνει ὁ Θεὸς εἶναι πολὺ καλά, [ἂν] καὶ ἐμεῖς δὲν τὸ γνωρίζωμε. Διότι, λέγει [ἡ Γραφὴ] θὰ ὁδηγήσῃ «τοὺς πραεῖς σὲ κρίσι», μᾶλλον δέ, στὴ διάκρισι τῶν πραγμάτων.

12. Ἀλλὰ καὶ σὲ καιρὸ ὀργῆς καθόλου δὲν ταράσσεται αὐτός, ἀλλὰ μᾶλλον χαίρεται, σὰν νὰ βρῆκε καιρὸ [εὐκαιρία] κέρδους καὶ φιλοσοφίας, σκεπτόμενος ὅτι ἀναίτια δὲν ἔγινε ὁ πειρασμός, ἀλλὰ ὅτι λύπησε πιὸ πρὶν ἢ τὸν Θεὸ ἢ τὸν ἀδελφὸ ἢ κάποιον ἄλλον [εἴτε] ἐν ἀγνοίᾳ του ἢ μὲ ἐπίγνωσι [συνειδητὰ ἢ ἀσυνείδητα]· καὶ ὅτι μᾶλλον βρέθηκε ἀφορμὴ γιὰ τὴν συγχώρησί [του ἀπὸ τὸν Θεό]. Γιὰ νὰ λάβῃ, ἔστω καὶ μὲ τὴν ὑπομονή [του], τὴν συγχώρησι τῶν πολλῶν του ἁμαρτημάτων. Καὶ ὅτι, ἂν δὲν συγχωρήσῃ τὶς ὀφειλές του στὸν χρεοφειλέτη του, οὔτε ὁ Πατέρας θὰ συγχωρήσῃ τὶς δικές του [πρὸς Αὐτὸν] ὀφειλὲς καὶ ὅτι δὲν ὑπάρχει συντομωτέρα [ὁδὸς γιὰ τὴν συγχώρησι τῶν ἁμαρτιῶν μας], ἀπὸ αὐτὴ τὴν ἀρετὴ δηλαδὴ τὴν ἐντολὴ τῆς συγχωρήσεως [τῶν] ἁμαρτιῶν [τῶν ἄλλων]. Γιατὶ λέγει, «συγχωρῆστε καὶ θὰ συγχωρεθοῦν καὶ τὰ δικά σας»· καὶ ὅτι ἀξιώθηκε νὰ γνωρίζῃ καὶ νὰ κάνῃ αὐτὰ κατὰ μίμησι τοῦ Χριστοῦ, ἀφοῦ ἔγινε πρᾶος μὲ τὴν Χάρι τῆς ἐντολῆς.

Λυπεῖται δὲ ὑπὲρ τοῦ ἀδελφοῦ, ὅτι διὰ τὰς αὐτοῦ ἁμαρτίας ἐπειράσθη ὁ ἀδελφὸς ὑπὸ τοῦ κοινοῦ ἐχθροῦ, γενόμενος φάρμακον πρὸς ἴασιν τῆς ἀσθενείας αὐτοῦ. Ἐπειδὴ πᾶς πειρασμός, ὡς ἰατρεία ἐκ Θεοῦ παραχωρεῖται πρὸς ἴασιν ψυχῆς τοῦ νοσοῦντος. Καὶ γὰρ προγεγονότων καὶ ἐνεστώτων ἄφεσιν δωρεῖται καὶ ἐμπόδιον μελλόντων κακῶν· οὐχὶ δὲ ἔπαινον ἔχει οὔτε ὁ διάβολος, οὔτε ὁ πειράζων, οὔτε ὁ πειραζόμενος. Διότι ὁ μὲν διάβολος, ἄξιός ἐστι μίσους ὡς κακοποιός, οὐ γὰρ κηδόμενος τοῦτο ποιεῖ. Ὁ δὲ πειράζων, ἄξιός ἐστιν ἐλέους ὑπὸ τοῦ πειραζομένου, οὐχ ὅτι ἀγάπῃ ποιῶν, ἀλλ᾽ ὅτι ἐμπαιζόμενός ἐστι καὶ καταπονούμενος. Ὁ δὲ πειραζόμενος ὑπὸ [recte: ὑπὲρ][α'] τῶν ἰδίων πταισμάτων ὑπομένει τὰς θλίψεις καὶ οὐχ ὑπὲρ ἄλλου τινός, ἵνα ἔπαινον ἔχῃ· οὐδὲ γὰρ ἀναμάρτητος. Εἰ δὲ καὶ ἔστιν, ὅπερ ἀμήχανον, ἀλλ᾽ οὖν ἐλπίδι μισθῶν, καὶ φόβῳ τῶν κολάσεων ὑπομένει. Καὶ οὗτοι μὲν οὕτως. Ὁ δὲ Θεὸς ὡς ἀνενδεής, πᾶσι τὸ συμφέρον οἰκονομῶν, ἄξιός ἐστιν εὐχα-

Λυπᾶται ὅμως γιὰ τὸν ἀδελφό του, διότι ἐξ αἰτίας τῶν δικῶν του ἁμαρτιῶν, μπῆκε σὲ πειρασμὸ ὁ ἀδελφὸς ἀπὸ τὸν κοινὸ ἐχθρὸ καὶ ἔτσι ἔγινε [αὐτὸς] φάρμακο, γιὰ θεραπεία τῆς δικῆς του ἀσθενείας. Γιατὶ κάθε πειρασμὸς παραχωρεῖται ἀπὸ τὸν Θεό, σὰν φάρμακο, γιὰ τὴ θεραπεία τῆς ψυχῆς τοῦ ἀρρώστου. Διότι δωρίζει τὴν συγχώρησι τῶν προηγουμένων καὶ τῶν παρόντων κακῶν καὶ [γίνεται] ἐμπόδιο γιὰ τὰ μελλοντικὰ [κακά]. Καὶ ἔτσι, δὲν ἔχει ἔπαινο οὔτε ὁ διάβολος, οὔτε ἐκεῖνος ποὺ πειράζει [προκαλεῖ τὸν πειρασμό], οὔτε ἐκεῖνος ποὺ πειράζεται. Διότι ὁ μὲν διάβολος εἶναι ἄξιος μίσους ὡς κακοποιός, διότι [ὅ,τι κάνει] δὲν τὸ κάνει, ἐπειδὴ φροντίζει [γι᾽ αὐτόν τὸν ἄνθρωπο]. Αὐτὸς ὅμως, ποὺ προκαλεῖ τὸν πειρασμό [ὁ πειράζων], εἶναι ἄξιος τοῦ ἐλέους [τῆς συμπαθείας] ἀπὸ ἐκεῖνον ποὺ πειράζεται, ὄχι γιατὶ τὸ κάνει ἀπὸ ἀγάπη [γιὰ τὸ πειραζόμενο], ἀλλά, ἐπειδὴ ὁ ἴδιος ἐμπαίζεται καὶ καταταλαιπωρεῖται [ἀπὸ τὸν διάβολο]. Ἐκεῖνος ὅμως ποὺ πειράζεται, γιὰ τὰ δικά του ἁμαρτήματα ὑπομένει τὶς θλίψεις, καὶ ὄχι γιὰ χάρι κάποιου ἄλλου, ὥστε νὰ ἔχῃ καὶ ἔπαινο· γιατὶ δὲν εἶναι ἀναμάρτητος. Καὶ ἂν ἀκόμα εἶναι [ἀναμάρτητος], πρᾶγμα ἀδύνατο, τὶς ὑπομένει μὲ τὴν ἐλπίδα τῶν μισθῶν καὶ τὸν φόβο τῶν κολάσεων. Καὶ αὐτοὶ μὲν [οἱ ἄνθρωποι], ἔτσι [εἶναι]. Ὁ Θεὸς ὅμως, ἐπειδὴ δὲν ἔχει καμμία ἀνάγκη, οἰκονομεῖ τὸ συμφέρον ὅλων [καὶ] εἶναι ἄξιος εὐχαρι-

*ριστίας, ὅτι καὶ διάβολον καὶ πονηρίας ἀνθρώπων μακροθύμως ἀνέχεται, ἀμείβων πᾶν ἀγαθὸν καὶ πρὸ τῆς ἁμαρτίας καὶ μετὰ τὴν ἁμαρτίαν τοῖς μετανοοῦσι. Πᾶσαν τοίνυν διάκρισιν μαθὼν ὁ ἀξιωθεὶς τῆς τρίτης ἐντολῆς φύλαξ γενέσθαι, οὐκ ἔτι ἐμπαιχθήσεται ἐν γνώσει ἢ ἀγνοίᾳ. Ἀλλὰ λαβὼν χάρισμα ταπεινώσεως, λογίζεται ἑαυτὸν οὐδὲν ὄντα. [***13.***] Πρᾳότης γάρ ἐστιν ὕλη ταπεινώσεως, αὕτη δέ ἐστι θύρα ἀπαθείας· καὶ δι᾽ αὐτῆς εἰς τὴν ἄπτωτον καὶ τελείαν ἀγάπην εἰσέρχεται ὁ γινώσκων τὴν ἰδίαν φύσιν· τί ἦν πρὸ τοῦ γενέσθαι καὶ τί μετὰ θάνατον γίνεται. Οὐδὲν γάρ ἐστιν ὁ ἄνθρωπος, ἀλλ᾽ ἢ μικρὰ καὶ αὐθωρὸς ἀπολλυμένη δυσωδία, καὶ χείρων πάσης κτίσεως· διότι οὐδεμία ἄλλη κτίσις ἄψυχος ἢ ἔμψυχος ἀνέτρεψε τὴν βουλὴν τοῦ Θεοῦ ποτε, ἀλλ᾽ ἢ ἡ ἀνθρώπειος φύσις, ἡ πολλὰ μὲν εὐεργετουμένη, πολλὰ δὲ τὸν Θεὸν ἀεὶ παροργίζουσα. [***14.***] Καὶ οὕτω καταξιοῦται τῆς τετάρτης ἐντολῆς, δηλονότι τοῦ πόθου πρὸς τὴν κτῆσιν τῶν ἀρετῶν. Μακάριοι, φησίν, οἱ*

στίας, διότι μὲ μακροθυμία ἀνέχεται καὶ τὸν διάβολο καὶ τὶς πονηρίες τῶν ἀνθρώπων, ἀμείβοντας μὲ κάθε ἀγαθό, ὅσους μετανοοῦν καὶ πρὶν [διαπράξουν] τὴν ἁμαρτία καὶ μετὰ τὴν ἁμαρτία. Ἀφοῦ λοιπόν, ἔμαθε κάθε διάκρισι [πραγμάτων καὶ καταστάσεων], ἐκεῖνος ποὺ ἀξιώθηκε νὰ φυλάξῃ τὴν τρίτη ἐντολή, δὲν θὰ ἐξαπατηθῇ πλέον, [οὔτε] ἐν γνώσει του, οὔτε ἐν ἀγνοίᾳ του. Ἀλλὰ ἀφοῦ ἔλαβε τὸ χάρισμα τῆς ταπεινώσεως, θεωρεῖ τὸν ἑαυτό του ὅτι εἶναι [ἕνα] τίποτα.

13. Γιατὶ ἡ πραότητα εἶναι ἡ προϋπόθεσι τῆς ταπεινώσεως, καὶ αὐτὴ εἶναι ἡ θύρα τῆς ἀπαθείας· καὶ μέσῳ αὐτῆς, ἐκεῖνος ποὺ γνωρίζει τὴ φύσι του, εἰσέρχεται στὴν ἄπτωτο καὶ τελεία ἀγάπη· [δηλαδὴ γνωρίζει] τί ἦταν πρὶν νὰ ὑπάρξῃ[1] καὶ τί γίνεται μετὰ τὸν θάνατο. Γιατὶ τίποτα δὲν εἶναι ὁ ἄνθρωπος, παρὰ μιὰ μικρὴ δυσωδία ποὺ χάνεται τὴν ἴδια στιγμὴ καὶ εἶναι χειρότερος ἀπὸ ὅλη τὴν κτίσι· διότι κανένα ἄλλο κτῖσμα ἄψυχο ἢ ἔμψυχο δὲν ἀνέτρεψε ποτὲ τὸ θέλημα τοῦ Θεοῦ, παρὰ [μόνον] ἡ ἀνθρώπινη φύσι, ἡ ὁποία, ἂν καὶ πολλαπλῶς εὐεργετῆται, πάντα πολλαπλῶς παροργίζει τὸν Θεό.

14. Καὶ ἔτσι ἀξιώνεται [ὁ ἄνθρωπος νὰ προχωρήσῃ] στὴν τετάρτη ἐντολή, δηλαδὴ στὸν πόθο γιὰ τὴν ἀπόκτησι τῶν ἀρετῶν [ἡ ὁποία] λέγει· «Μακάριοι αὐτοὶ ποὺ πει-

πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην[16]· καὶ γίνεται ὡς ὁ διψῶν καὶ πεινῶν πρὸς πᾶσαν δικαιοσύνην, ἤγουν ἀρετὴν σωματικήν τε καὶ ἠθικήν, ἤτοι ψυχικήν. Ἐὰν γάρ τις μὴ γεύσηται πράγματος, οὐκ οἶδε τί ὑστερεῖται, φησὶν ὁ Μέγας Βασίλειος· ὁ δὲ γευσάμενος πολλὰ ποθεῖ. Οὕτω καὶ ὁ τῆς γλυκύτητος τῶν ἐντολῶν γευσάμενος καὶ εἰδὼς ὅτι κατὰ μικρὸν πρὸς τὴν τοῦ Χριστοῦ μίμησιν αἱ ἐντολαὶ αὐτὸν φέρουσι, πολλὰ ποθεῖ τὴν τῶν λοιπῶν κτῆσιν, ὥστε ὑπὲρ τούτων καὶ τὸν θάνατον πολλάκις καταφρονεῖ· αἰσθόμενος μικρόν τινων ἐν ταῖς θείαις Γραφαῖς κεκρυμμένων μυστηρίων Θεοῦ, διψᾷ πολλὰ πρὸς τὸ καταλαβεῖν. Καὶ ὅσον λάβῃ γνῶσιν, πλείονα διψᾷ καὶ καίεται, ὡς πίνων φλόγα· διὰ δὲ τὸ ἀκατάληπτον εἶναι πᾶσι τὸ θεῖον, μένει διψῶν ἀεί. [15.] Ὥσπερ τοίνυν ὑγεία καὶ νόσος πρὸς τὸ σῶμα, οὕτω καὶ ἀρετὴ καὶ κακία πρὸς τὴν ψυχήν, καὶ γνῶσις καὶ ἀγνωσία πρὸς τὸν νοῦν. Καὶ ὅσον τις ἐπιμελεῖται τὴν εὐσέβειαν, ἤτοι τὴν πρᾶξιν, τοσοῦτον

νοῦν καὶ διψοῦν τὴν δικαιοσύνη»· καὶ γίνεται ὅπως αὐτὸς ποὺ διψᾶ καὶ πεινᾶ γιὰ κάθε δικαιοσύνη[2] ἡ ὁποία εἶναι ἀρετὴ σωματικὴ καὶ ἠθική, δηλαδὴ ψυχική. Γιατί, ἐὰν κανεὶς δὲν θὰ γευθῇ κάποιο πρᾶγμα, δὲν γνωρίζει τί στερεῖται, λέγει ὁ Μέγας Βασίλειος[β']· ἐκεῖνος ὅμως ποὺ τὸ γεύθηκε, πολὺ τὸ ἐπιποθεῖ. Ἔτσι καὶ ἐκεῖνος, ὁ ὁποῖος γεύθηκε τὴν γλυκύτητα τῶν ἐντολῶν καὶ ἐγνώρισε ὅτι οἱ ἐντολὲς τὸν φέρνουν σιγὰ σιγὰ πρὸς τὴν μίμησι τοῦ Χριστοῦ, ποθεῖ πάρα πολὺ τὴν ἀπόκτησι καὶ τῶν λοιπῶν [ἐντολῶν], ὥστε χάριν αὐτῶν, πολλὲς φορὲς περιφρονεῖ καὶ τὸν θάνατον· ἀφοῦ [λοιπόν], ἔστω καὶ λίγο αἰσθανθῇ μερικὰ ἀπὸ τὰ κρυμμένα στὶς θεῖες Γραφὲς μυστήρια τοῦ Θεοῦ, διψᾶ πιὸ πολὺ γιὰ νὰ τὰ κατανοήσῃ. Καὶ ὅσα πιὸ πολλὰ γνωρίσῃ, διψᾶ [νὰ μάθῃ ἀκόμα περισσότερα] καὶ καίγεται, σὰν νὰ καταπίνῃ φωτιά· ἐπειδὴ ὅμως τὸ θεῖο εἶναι ἀκατάληπτο γιὰ ὅλους, παραμένει πάντοτε διψασμένος.

15. Ὅπως ἀκριβῶς εἶναι ἡ ὑγεία καὶ ἡ νόσος γιὰ τὸ σῶμα, ἔτσι [εἶναι] καὶ ἡ ἀρετὴ καὶ ἡ κακία γιὰ τὴν ψυχὴ καὶ ἡ γνῶσι καὶ ἡ ἀγνωσία γιὰ τὸν νοῦν. Καὶ ὅσον κάποιος φροντίζει γιὰ τὴν εὐσέβεια, δηλαδὴ τὴν πρᾶξι [πρακτικὴ ἀρε-

ὁ νοῦς φωτίζεται εἰς τὴν γνῶσιν. Καὶ οὕτω τοῦ ἐλέους καταξιοῦται διὰ τῆς πέμπτης ἐντολῆς, ὥς φησιν ὁ Κύριος. Μακάριοι οἱ ἐλεήμονες[17]. [16.] Ἐλεήμων δέ ἐστιν ὁ ἐλεῶν τὸν πλησίον, ἐξ ὧν αὐτὸς ἔλαβε παρὰ Θεοῦ, εἴτε χρήματα, εἴτε βρώματα, εἴτε ἰσχύν, εἴτε λόγον πρὸς ὠφέλειαν, εἴτε εὐχήν, εἴτε ἔχει δυνατὸν τοῦ οἰκτειρῆσαι τὸν δεόμενον αὐτοῦ λογιζόμενος χρεώστης εἶναι, διότι πλείονα ἔλαβεν ὑπὲρ οὗ [recte: ὑπὲρ ὃ][β'] ζητεῖται· καὶ ὅτι ἠξιώθη, ὡς Θεὸς ἐλεήμων καλεῖσθαι, καὶ ταῦτα ὑπὲρ τοῦ Χριστοῦ [recte: ὑπὸ τοῦ Χριστοῦ][γ'] ἐν τῷ νῦν καὶ ἐν τῷ μάλλοντι [recte: μέλλοντι] ἐπὶ πάσης τῆς κτίσεως· καὶ ὅτι διὰ τοῦ ἀδελφοῦ ὁ Θεὸς δέεται αὐτοῦ καὶ χρεωφειλέτης αὐτοῦ γίνεται. Καὶ ὅτι, ἐκτὸς μὲν τοῦ ζητουμένου ἐξ αὐτοῦ, δύναται ὁ πτωχὸς ζῆσαι, ἐκτὸς δὲ τοῦ ἐλεεῖν, κατὰ τὸ δυνατὸν αὐτοῦ, οὐ δύναται αὐτὸς ζῆσαι ἢ σωθῆναι· ἐπεὶ τὴν ἰδίαν φύσιν οὐ βούλεται οἰκτειρῆσαι, πῶς τὸν Θεὸν οἰκτειρῆσαι αὐτὸν εὔχεται; Καὶ οὕτω ἄλλα πολλὰ λογιζόμενος ὁ ἀξιωθεὶς τῶν ἐντολῶν,

τή], τόσο περισσότερο φωτίζεται ὁ νοῦς στὴ γνῶσι. Καὶ ἔτσι καταξιώνεται τοῦ [θείου] ἐλέους διὰ τῆς πέμπτης ἐντολῆς, ὅπως λέγει ὁ Κύριος· «Μακάριοι οἱ ἐλεήμονες».

16. Ἐλεήμων δὲ εἶναι αὐτός, ποὺ ἐλεεῖ τὸν πλησίον, ἀπὸ ἐκεῖνα ποὺ αὐτὸς ἔλαβε ἀπὸ τὸν Θεό, εἴτε χρήματα, εἴτε τρόφιμα, εἴτε δύναμι, εἴτε λόγο ποὺ ὠφελεῖ, εἴτε προσευχή, εἴτε μπορεῖ νὰ δείξῃ εὐσπλαχνία, σ᾽ αὐτὸν ποὺ ἔχει τὴν ἀνάγκη του, σκεπτόμενος ὅτι εἶναι χρεώστης, διότι ἔλαβε περισσότερα ἀπὸ αὐτὸ ποὺ [τοῦ] ζητεῖται· καὶ ὅτι ἀξιώθηκε νὰ καλῆται ἐλεήμων, ὅπως ὁ Θεὸς καὶ μάλιστα ἀπὸ τὸν ἴδιο τὸν Χριστό, στὴν παροῦσα καὶ στὴν μέλλουσα [ζωή], ἐνώπιον ὅλης τῆς κτίσεως· καὶ [σκέπτεται ὅτι] ὁ Θεός, μέσῳ τοῦ ἀδελφοῦ του, ζητεῖ τὴν βοήθειά του καὶ εἶναι χρεοφειλέτης σ᾽ αὐτόν. Καὶ [συλλογίζεται] ὅτι ὁ φτωχὸς μπορεῖ νὰ ζήσῃ, χωρὶς αὐτὸ ποὺ ζητεῖται [ἀπὸ αὐτόν], αὐτὸς ὅμως δὲν μπορεῖ νὰ ζήσῃ ἢ νὰ σωθῇ, χωρὶς νὰ ἐλεῇ, ὅσο τοῦ εἶναι δυνατόν· ἀφοῦ [λοιπὸν] δὲν θέλει νὰ εὐσπλαχνισθῇ τὴ δική του φύσι [τὸν συνάνθρωπο], πῶς προσεύχεται νὰ εὐσπλαχνισθῇ αὐτὸν ὁ Θεός; Καὶ ἔτσι ἄλλα πολλὰ συλλογιζόμενος, αὐτὸς ποὺ ἀξιώθηκε [νὰ τηρήσῃ] τὶς ἐντολές,

δίδωσιν οὐ μόνον τὰ ἑαυτοῦ, ἀλλὰ καὶ αὐτὴν τὴν ψυχὴν ὑπὲρ τοῦ πλησίον. Αὕτη γάρ ἐστιν ἡ τελεία ἐλεημοσύνη, ὥσπερ ὁ Χριστὸς ὑπὲρ ἡμῶν τὸν θάνατον ὑπέμεινε, πᾶσι τεθεικὼς ὑπογραμμὸν[18] *καὶ τύπον, ἵνα ὑπὲρ ἀλλήλων ἀποθάνωμεν· οὐ μόνον δὲ ὑπὲρ τῶν φίλων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐχθρῶν, καιροῦ καλοῦντος.*

Οὐκ ἔστι δὲ ἀναγκαῖον τὸ ἔχειν πρᾶγμα πρὸς τὸ ἐλεεῖν δῆθεν. Τοῦτο μᾶλλον μεγάλη ἀσθένειά ἐστιν, ἀλλ᾽ ἵνα μηδ᾽ ὅλως ἔχων τι ἐλεεῖν, σπλάγχνα ἔχῃ πρὸς πάντας. Καὶ ἐξ ὧν δύναται βοηθῆσαι τοῖς χρῄζουσιν, ἀπροσπαθὴς μὲν πρὸς τὰ τοῦ βίου πράγματα γινόμενος, πρὸς δὲ τοὺς ἀνθρώπους προσπάθειαν ἔχων. Ἀλλ᾽ οὔτε διδάσκειν χρή, κενοδοξίας χάριν, τὸν μὴ ἔργῳ πρῶτον ἐπιδειξάμενον, ὡς δῆθεν ὠφελῶν ψυχὰς ἀσθενούντων, αὐτὸς δὲ μᾶλλον ὑπὲρ οὓς δοκεῖ ὠφελῆσαι ἀσθενέστερος ὤν. Ἐπειδὴ πᾶν πρᾶγμα καιροῦ δέεται καὶ διακρίσεως, ἵνα μὴ παρὰ τὸν καιρὸν ἢ παρὰ τὴν χρῆσιν γένηταί τι· τῷ γὰρ ἀσθενεῖ κρεῖττον ἡ φυγὴ ἐν πᾶσι· καὶ ἡ ἀκτημοσύνη

δίνει ὄχι μόνο τὰ δικά του, ἀλλὰ καὶ τὴν ἴδια του τὴν ψυχὴ γιὰ τὸν πλησίον. Διότι αὐτὴ εἶναι ἡ τέλεια ἐλεημοσύνη, ὅπως ἀκριβῶς ὁ Χριστὸς ὑπέμεινε τὸ θάνατο γιὰ χάρι μας, μὲ τὸ νὰ θέσῃ σὲ ὅλους ὑπόδειγμα καὶ τύπον [τὸν ἑαυτό Του], ὥστε νὰ πεθαίνωμε ὁ ἕνας γιὰ τὸν ἄλλον· ὄχι μόνο γιὰ τοὺς φίλους, ἀλλὰ καὶ γιὰ τοὺς ἐχθρούς, ἂν ἡ περίστασι τὸ καλέσῃ.

Δὲν εἶναι δὲ ἀνάγκη νὰ κατέχῃ πράγματα, δῆθεν γιὰ νὰ ἐλεῇ. [Διότι] αὐτὸ μᾶλλον εἶναι μεγάλη ἀσθένεια, ἀλλὰ [καὶ] χωρὶς νὰ ἔχῃ κάτι [γιὰ] νὰ ἐλεῇ, νὰ εἶναι εὐσπλαχνικὸς πρὸς ὅλους. Καὶ μὲ ὅ,τι μπορεῖ νὰ βοηθήσῃ αὐτοὺς ποὺ ἔχουν ἀνάγκη, ὥστε νὰ μὴν προσκολλᾶται στὰ βιοτικὰ πράγματα, ἀλλὰ [νὰ γίνῃ] συμπαθὴς πρὸς τοὺς ἀνθρώπους. Ἀλλὰ οὔτε ἐπιτρέπεται νὰ διδάσκῃ ἀπὸ κενοδοξία, αὐτὸς ποὺ δὲν ἀπέδειξε πρῶτα [τὴν δύναμι τῶν λόγων του] μὲ τὰ ἔργα του, [νομίζοντας] ὅτι δῆθεν ὠφελεῖ τὶς ψυχὲς αὐτῶν ποὺ ἀσθενοῦν, ἐνῶ ὁ ἴδιος εἶναι μᾶλλον περισσὸτερο ἀσθενής, ἀπὸ αὐτοὺς ποὺ νομίζει ὅτι θὰ ὠφελήσῃ. Γιατὶ κάθε πρᾶγμα χρειάζεται τὴν [κατὰλληλη] περίστασι καὶ διάκρισι, γιὰ νὰ μὴ γίνῃ κάτι παράκαιρα ἢ πέρα ἀπὸ τὴ σωστή του χρῆσι· διότι [ὅπως] γιὰ τὸν ἀδύνατο εἶναι καλύτερη ἡ φυγὴ ἀπὸ ὅλα, [ἔτσι] καὶ ἡ ἀκτημοσύνη [εἶναι]

καθ᾽ ὑπερβολὴν κρείττων τῆς ἐλεημοσύνης. **[17.]** *Διὰ δὲ τῆς ἀπροσπαθείας καταξιοῦται τῆς ἕκτης ἐντολῆς, ὡς φησὶν ὁ Κύριος. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ*[19]*, τοῦτ᾽ ἔστιν οἱ πᾶσαν ἀρετὴν κατορθώσαντες κατὰ ἁγίους διαλογισμοὺς καὶ φθάσαντες εἰς τὸ βλέπειν κατὰ φύσιν τὰ πράγματα.* **[18.]** *Καὶ οὕτω εἰς τὴν εἰρήνην τῶν λογισμῶν ἐξέρχεταί τις. Μακάριοι φησίν, οἱ εἰρηνοποιοί*[20]*, τοῦτ᾽ ἔστιν οἱ εἰρηνοποιοῦντες τὴν ψυχὴν καὶ τὸ σῶμα ἐν τῷ ὑποτάξαι τὴν σάρκα τῷ πνεύματι· ἵνα μηκέτι ἐπιθυμῇ ἡ σὰρξ κατὰ τοῦ πνεύματος*[21]*, ἀλλ᾽ ἡ χάρις τοῦ Ἁγίου Πνεύματος βασιλεύσῃ [recte: βασιλεύῃ]*[δ']* ἐν τῇ ψυχῇ καὶ ἄγῃ αὐτὴν ὡς βούλεται, δωρησαμένη τὴν θείαν γνῶσιν· δι᾽ ἧς δύναται ὁ τοιοῦτος ὑπομένειν τὸν διωγμόν, ὀνειδισμόν τε καὶ κάκωσιν, ἕνεκεν δικαιοσύνης*[22]*· καὶ χαίρει ὅτι ὁ μισθὸς αὐτοῦ πολὺς ἐν τοῖς οὐρανοῖς*[23]*.* **[19.]** *Πάντες γὰρ οἱ μακαρισμοί, Θεὸν κατὰ Χάριν ποιοῦσι τὸν ἄνθρωπον, πρᾷον γενόμενον, πᾶσαν δικαιοσύνην ποθοῦντα, ἐλεήμονα, ἀπαθῆ, εἰρηνοποιόν, ὑπομένοντα πᾶ-*

ὑπερβολικὰ ἀνώτερη ἀπὸ τὴν ἐλεημοσύνη.

17. Διότι μὲ τὴν ἀπροσπάθειά του [μὴ προσκόλλησι στὰ πάθη] καταξιώνεται [νὰ ἐκπληρώσῃ] τὴν ἕκτη ἐντολή, ὅπως λέγει ὁ Κύριος· «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ», δηλαδὴ ἐκεῖνοι ποὺ κατόρθωσαν κάθε ἀρετὴ σύμφωνα μὲ τοὺς ἁγίους λογισμούς [τους] καὶ ἔφθασαν νὰ βλέπουν τὰ πράγματα [ὅπως εἶναι] στὴ φύσι τους.

18. Καὶ ἔτσι φθάνει κανεὶς στὴν εἰρήνη τῶν λογισμῶν. Λέγει· «Μακάριοι οἱ εἰρηνοποιοί», δηλαδὴ ἐκεῖνοι ποὺ εἰρηνεύουν τὴν ψυχὴ καὶ τὸ σῶμα, μὲ τὴν ὑποταγὴ τῆς σάρκας στὸ πνεῦμα· γιὰ νὰ μὴν ἐπιθυμῇ πλέον «ἡ σάρκα κατὰ τοῦ πνεύματος», ἀλλὰ ἡ Χάρις τοῦ Ἁγίου Πνεύματος νὰ βασιλεύῃ στὴν ψυχὴ καὶ νὰ τὴν ὁδηγῇ κατὰ τὸ θέλημά Του, ἀφοῦ [τῆς] δώρισε [πρῶτα] τὴν θεία γνῶσι· μὲ τὴν ὁποία μπορεῖ [ὁ ἄνθρωπος] αὐτὸς νὰ ὑπομένῃ τὸν διωγμό, τὸν ὀνειδισμὸ καὶ τὴν κακοπάθεια, «ἕνεκεν δικαιοσύνης» [σύνολης ἀρετῆς] καὶ νὰ χαίρεται, διότι «ὁ μισθὸς αὐτοῦ [θὰ εἶναι] πολὺς εἰς τοὺς οὐρανούς».

19. Διότι ὅλοι οἱ Μακαρισμοὶ κάνουν τὸν ἄνθρωπο κατὰ Χάριν Θεό, μὲ τὸ νὰ γίνῃ πρᾶος, νὰ ποθῇ ὅλη τὴν δικαιοσύνη [ἀρετή], [νὰ εἶναι] ἐλεήμων, ἀπαθής, εἰρηνοποιὸς καὶ νὰ ὑπομένῃ κάθε

σαν ὀδύνην μετὰ χαρᾶς διὰ τὴν ἀγάπην τοῦ Θεοῦ καὶ τοῦ πλησίον. Ὥστε δῶρά εἰσι Θεοῦ καὶ ὀφείλομεν μεγάλως εὐχαριστεῖν αὐτῷ ἕνεκα τούτων, καὶ διὰ τὰ τιθέμενα ἔπαθλα, ἤτοι βασιλείαν οὐρανῶν ἐν τῷ μέλλοντι, καὶ παράκλησιν ὧδε, καὶ πλησμονὴν παντὸς ἀγαθοῦ καὶ ἐλέους παρὰ Θεῷ· καὶ ἐμφάνειαν Θεοῦ, διὰ τῆς θεωρίας τῶν κεκρυμένων μυστηρίων τῶν ἐν ταῖς θείαις Γραφαῖς καὶ πᾶσι τοῖς κτίσμασιν αὐτοῦ καὶ πολὺν μισθὸν ἐν τοῖς οὐρανοῖς. Μίμημα Χριστοῦ γενόμενος ἐπὶ τῆς γῆς καὶ μακαρισμὸς ἑκάστης ἐντολῆς, ἤγουν τὸ ἀκρότατον τῶν ἀγαθῶν, ἤτοι τῶν ὀρεκτῶν τὸ ἔσχατον. Ἐπειδή, κατὰ τὸν Ἀπόστολον, αὐτὸς ὁ Θεὸς μόνος ἐστὶ μακάριος, ὁ φῶς οἰκῶν ἀπρόσιτον[24]· ἀλλ᾽ εἰ καὶ χρέος ἔχομεν τοῦ φυλάξαι, μᾶλλον δὲ τοῦ φυλαχθῆναι ὑπὸ τῶν ἐντολῶν, ἀλλ᾽ ὁ φιλάνθρωπος Θεὸς τὰ ἔπαθλα ὧδε καὶ ἐκεῖ χαρίσεται ἀπὸ τῆς ἐντολῆς τῷ πιστεύοντι αὐτῷ.

[20.] Πάντα δὲ ταῦτα ὑπὸ τοῦ μακαρίου πένθους γινόμενα, λαμβάνει ὁ νοῦς κουφισμὸν τῶν παθῶν, καταλλασ-

πόνο μὲ χαρά, γιὰ τὴν ἀγάπη τοῦ Θεοῦ καὶ τοῦ πλησίον. Ἄρα εἶναι δῶρα Θεοῦ καὶ ὀφείλομε πολὺ νὰ Τὸν εὐχαριστοῦμε γιὰ ὅλα αὐτά, [ὅπως] καὶ γιὰ τὰ ἔπαθλα ποὺ θέτουν [βραβεῖα ποὺ ὑπόσχονται αὐτά], δηλαδὴ τὴν βασιλεία τῶν οὐρανῶν στὸν μέλλοντα [αἰῶνα] καὶ παρηγορία ἐδῶ [στὸν παρόντα] καὶ ἀφθονία κάθε ἀγαθοῦ καὶ τὸ παρὰ τοῦ Θεοῦ ἔλεος· καὶ φανέρωσι τοῦ Θεοῦ, μὲ τὴν θεωρία τῶν κρυμμένων μυστηρίων στὶς θεῖες Γραφὲς καὶ σ᾽ ὅλα τὰ κτίσματα Αὐτοῦ καὶ «πολὺν μισθὸν εἰς τοὺς οὐρανούς». [Καὶ ὅλα αὐτὰ θὰ ἀπολαύση κάποιος], ἐπειδὴ φάνηκε μιμητὴς τοῦ Χριστοῦ, πάνω στὴ γῆ καὶ «Μακάριος» τῆς κάθε ἐντολῆς, δηλαδὴ τὸ ἀκρότατο ἀπὸ τὰ ἀγαθά, τὸ [όποῖο εἶναι] ὑψηλότερο, ἀπὸ ὅ,τι μπορεῖ νὰ ἐπιθυμήση [ὁ ἄνθρωπος]. Ἐπειδή, κατὰ τὸν Ἀπόστολο, μακάριος εἶναι μόνον ὁ ἴδιος ὁ Θεός, «ὁ Ὁποῖος κατοικεῖ σὲ φῶς ἀπρόσιτο»· ἀλλὰ ἂν καὶ ἔχωμε χρέος νὰ φυλάξωμε [τὶς ἐντολές], μᾶλλον δὲ ἐμεῖς νὰ φυλαχθοῦμε ἀπὸ αὐτές, ἀλλ᾽ ὁ φιλάνθρωπος Θεὸς θὰ χαρίση καὶ ἐδῶ καὶ ἐκεῖ τὰ ἔπαθλα γιὰ τὴν [τήρησι] τῆς ἐντολῆς, σ᾽ ἐκεῖνον ποὺ πιστεύει σὲ Αὐτόν.

20. [Μὲ] ὅλα αὐτά, ποὺ προέρχονται ἀπὸ τὸ μακάριο πένθος, παίρνει ὁ νοῦς ἀνακούφισι ἀπὸ τὰ πάθη, γιατὶ συμφιλιώνεται μὲ

σόμενος τῷ Θεῷ περὶ τῶν ἁμαρτιῶν αὐτοῦ διὰ τῶν πικρῶν καὶ πολλῶν δακρύων· συσταυροῦται μὲν τῷ Χριστῷ νοερῶς διὰ τῆς ἠθικῆς πράξεως, δηλαδὴ τῆς τηρήσεως τῶν ἐντολῶν, ὡς εἴρηται· καὶ φυλακῆς τῶν πέντε αἰσθήσεων, ἵνα μὴ παρὰ τὴν χρῆσίν τι ποιοῦσιν ὅλως.

[21.] Κατέχων δὲ τὰς ἀλόγους ὁρμὰς ὁ νοῦς, ἄρχεται ἡνιοχεῖν τὰ περὶ αὐτὸν πάθη, λέγω δὴ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν. Καὶ νῦν μὲν τὸν θυμὸν ἀγριαινόμενον καταπαύει τῇ τῆς ἐπιθυμίας μαλακότητι, νῦν δὲ τῇ αὐστηρότητι τοῦ θυμοῦ, κατευνάζει τὴν ἐπιθυμίαν. [22.] Καὶ εἰς ἑαυτὸν ἐλθὼν ὁ νοῦς, γινώσκει τὸ οἰκεῖον ἀξίωμα, ὅτι αὐτοκράτωρ ἐστί· καὶ λαμβάνει τὸ βλέπειν τὰ πράγματα κατὰ φύσιν. Ἀνοίγεται γὰρ ὁ εὐώνυμος ὀφθαλμός, ὃν ἐτύφλωσεν ὁ διάβολος τῇ ἐπικρατείᾳ τῶν παθῶν· καὶ καταξιοῦται ὁ ἄνθρωπος τοῦ συνταφῆναι τῷ Χριστῷ νοερῶς ἀπὸ τῶν τοῦ κόσμου πραγμάτων καὶ οὐκ ἔτι κλέπτεται τῇ ἔξωθεν εὐμορφίᾳ, ἀλλὰ βλέπει τὸν χρυσόν, τὸν ἄργυρον, τοὺς

τὸ Θεὸ γιὰ τὶς ἁμαρτίες του μὲ τὰ πικρὰ καὶ πολλά [του] δάκρυα· καὶ σταυρώνεται μαζὶ μὲ τὸ Χριστὸ νοερὰ μὲ τὴν ἠθικὴ πρακτικὴ ζωή, δηλαδὴ μὲ τὴν τήρησι τῶν ἐντολῶν, ὅπως ἔχει λεχθῆ· καὶ μὲ τὴν φυλακὴ τῶν πέντε αἰσθήσεων, [ἐννοῶ τὸ νὰ μὴν ἐπιτρέπῃ σ᾽ αὐτὲς] νὰ κάνουν τίποτε ἀπολύτως πέρα ἀπὸ τὴ σωστή τους χρῆσι.

21. [Καὶ ἔτσι] μὲ τὸ νὰ ἐξουσιάζῃ ὁ νοῦς τὶς παράλογες ὁρμές του, ἀρχίζει νὰ χαλιναγωγῇ τὰ πάθη του, δηλαδὴ τὸν θυμὸ καὶ τὴν ἐπιθυμία. Καὶ ἄλλοτε μέν, τὸν ἀγριεμένο θυμὸ καταστέλλει, μὲ τὴν ἠπιότητα τῆς ἐπιθυμίας, ἄλλοτε δέ, μὲ τὴν αὐστηρότητα τοῦ θυμοῦ, κατευνάζει τὴν ἐπιθυμία. 22. Καὶ ἔτσι, ἀφοῦ συνέλθῃ ὁ νοῦς, ἀναγνωρίζει τὸ [ἀρχικό του] ἀξίωμα, ὅτι [δηλαδὴ] αὐτὸς εἶναι ὁ κύριος [τοῦ ἑαυτοῦ του]· καὶ ἀποκτᾶ [τὴν ἱκανότητα] νὰ βλέπῃ τὰ πράγματα, [ὅπως εἶναι] στὴ φύσι τους. Γιατὶ [ἔτσι] ἀνοίγεται τὸ ἀριστερὸ μάτι, τὸ ὁποῖο τύφλωσε ὁ διάβολος, μὲ τὴν ἐπικράτησι τῶν παθῶν· καὶ καταξιώνεται ὁ ἄνθρωπος, νὰ ταφῇ μαζὶ μὲ τὸ Χριστὸ νοερά, ὅσον ἀφορᾶ τὰ πράγματα τοῦ κόσμου καὶ δὲν ἐξαπατᾶται πλέον ἀπὸ τὴν ἐξωτερικὴ ὀμορφιά, ἀλλὰ βλέπει τὸν χρυσό, τὸν ἄργυρο, τοὺς πολυ-

τιμίους λίθους, καὶ γινώσκει ὅτι ἐκ τῆς γῆς εἰσιν, ὡς τὰ λοιπὰ ἄψυχα, ξύλα τε καὶ λίθοι· καὶ τὸν ἄνθρωπον ὁμοίως ὡς σαπρίαν καὶ μικρὸν χοῦν ἐν τάφῳ μετὰ θάνατον ὄντα· καὶ πάντα τὰ τοῦ βίου τερπνά, ὡς οὐδὲν λογιζόμενος, τὰς ἀλλοιώσεις αὐτῶν βλέπει ἀεί, μετὰ πολλῆς βουλῆς τῆς ἀπὸ τῆς γνώσεως γινομένης. Καὶ γίνεται νεκρὸς τῷ κόσμῳ καὶ ὁ κόσμος νεκροῦται αὐτῷ μετὰ χαρᾶς, καὶ οὐκ ἔτι (οὐκ) ἔχει βίαν, ἀλλὰ μᾶλλον ἀνάπαυσιν καὶ ἀπροσπάθειαν.

[23.] Καὶ οὕτω διὰ τῆς καθαρότητος τῆς ψυχῆς καταξιοῦται τοῦ ἀναστῆναι σὺν Χριστῷ νοερῶς. Καὶ λαμβάνει ἰσχὺν εἰς τὸ βλέπειν ἀπαθῶς καὶ τὰ ἔξωθεν κάλλη τῶν πραγμάτων καὶ δοξάζει [recte: δοξάζειν][ε´] δι᾽ αὐτῶν τὸν ποιήσαντα τὰ πάντα. Καὶ τὰ ἐν τοῖς αἰσθητοῖς κτίσμασι θεωρῶν, δύναμίν τε καὶ πρόνοιαν τοῦ Θεοῦ, ἀγαθότητά τε καὶ σοφίαν, κατὰ τὸν Ἀπόστολον[25], καὶ τὰ κεκρυμμένα ἐν ταῖς θείαις Γραφαῖς μυστήρια ὁρῶν, καταξιοῦται τῆς ἀναλήψεως ὁ νοῦς σὺν Χριστῷ, διὰ τῆς θεωρίας τῶν νο-

τίμους λίθους καὶ ἀναγνωρίζει ὅτι [καὶ αὐτὰ] εἶναι ἀπὸ τὴ γῆ, ὅπως ὅλα τὰ ὑπόλοιπα ἄψυχα, τὰ ξύλα καὶ οἱ πέτρες· [ἀναγνωρίζει] ἐπίσης, ὅτι ὁ ἄνθρωπος εἶναι σὰν σαπίλα καὶ λίγο χῶμα στὸν τάφο, μετὰ τὸν θάνατό [του]. Καὶ μὲ τὸ νὰ θεωρῇ ὅλα τὰ εὐχάριστα τοῦ βίου ὡς ἕνα τίποτα, βλέπει πάντοτε τὶς ἀλλοιώσεις αὐτῶν μὲ πολλὴ περίσκεψι, ἡ ὁποία προέρχεται ἀπὸ τὴν γνῶσι. Καὶ μὲ χαρὰ γίνεται νεκρὸς γιὰ τὸν κόσμο καὶ ὁ κόσμος νεκρώνεται γι᾽ αὐτὸν καὶ δὲν ἔχει πλέον καμμία ἐπιτακτικὴ ἀνάγκη, ἀλλὰ μᾶλλον ἀνάπαυσι καὶ ἀπροσπάθεια [μὴ προσκόλλησι στὰ πράγματα].

23. Καὶ ἔτσι, μὲ τὴν καθαρότητα τῆς ψυχῆς, καταξιώνεται νὰ ἀναστηθῇ νοερὰ μαζὶ μὲ τὸν Χριστό. Καὶ ἐνισχύεται νὰ βλέπῃ μὲ ἀπάθεια τὰ ἐξωτερικὰ κάλλη τῶν πραγμάτων καὶ νὰ δοξάζῃ μέσῳ αὐτῶν Ἐκεῖνον, ὁ Ὁποῖος ἐδημιούργησε τὰ πάντα. Καὶ θεωρώντας στὰ αἰσθητὰ κτίσματα, «τὴν δύναμι καὶ τὴν πρόνοια τοῦ Θεοῦ, τὴν ἀγαθότητα καὶ τὴν σοφία», κατὰ τὸν Ἀπόστολο, καὶ βλέποντας τὰ κρυμμένα στὶς θεῖες Γραφὲς μυστήρια, καταξιώνεται ὁ νοῦς νὰ ἀναληφθῇ μαζὶ μὲ τὸν Χριστό, καὶ μὲ τὴν θεωρία τῶν νο-

ητῶν κτισμάτων, τοῦτ᾽ ἔστι τῆς γνώσεως τῶν νοερῶν δυνάμεων. Καὶ συνιεὶς ἐκ τῶν πολλῶν δακρύων τῆς συνέσεως καὶ τῆς χαρᾶς, ἐκ τῶν ὁρωμένων τὰ ἀόρατα[26] *καὶ ἐκ τῶν προσκαίρων τὰ αἰώνια λογίζεται, ὅτι εἰ ὁ πρόσκαιρος κόσμος οὗτος, ὁ ἐξορία καὶ καταδίκη τῶν παραβάντων τὴν ἐντολὴν τοῦ Θεοῦ λεγόμενος, τοσοῦτόν ἐστιν ὡραῖος, πόσῳ μᾶλλον τὰ αἰώνια καὶ ἀκατανόητα ἀγαθά, ἃ ὁ Θεὸς ἡτοίμασε τοῖς ἀγαπῶσιν αὐτόν*[27]*; Καὶ εἰ ἐκεῖνα τὰ ἀγαθὰ ἀκατανόητα καθ᾽ ὑπερβολήν, πόσῳ μᾶλλον ὁ τὰ πάντα ποιήσας Θεὸς ἐξ οὐδενός.*

[24.] Ἂν γάρ τις σχολάζῃ ἐκ πάντων καὶ ἐπιμελῆται τῶν σωματικῶν καὶ ψυχικῶν πράξεων, τῶν λεγομένων παρὰ τῶν Πατέρων εὐσέβεια· ἀπιστῇ δὲ πᾶν ὄνειρον καὶ ἴδιον νόημα, μὴ ἔχον μαρτυρίαν ἐκ τῆς Γραφῆς, καὶ φεύγῃ πᾶσαν ἀργὴν συντυχίαν, ἵνα μηδ᾽ ὅλως ἀκούων τι ἢ ἀναγινώσκων ἀργὸν καὶ μάλιστα περὶ αἱρέσεως, πληθύνονται ἐν αὐτῷ τὰ τῆς συνέσεως καὶ τῆς χαρᾶς δάκρυα, ὥστε πίνειν αὐτὰ ἐκ τοῦ πλήθους αὐ-

ητῶν κτισμάτων, δηλαδὴ τὴν γνῶσι τῶν νοερῶν δυνάμεων[3]. Καὶ κατανοώντας, μὲ τὰ πολλὰ δάκρυα τῆς συνέσεως καὶ τῆς χαρᾶς, «ἀπὸ τὰ ὁρατὰ τὰ ἀόρατα» καὶ ἀπὸ τὰ πρόσκαιρα τὰ αἰώνια, διανοεῖται ὅτι, ἐὰν ὁ πρόσκαιρος αὐτὸς κόσμος, ὁ ὁποῖος θεωρεῖται ἐξορία καὶ καταδίκη, γιὰ ὅσους παρέβησαν τὴν ἐντολὴν τοῦ Θεοῦ, εἶναι τόσο ὡραῖος, πόσο περισσότερο [θὰ εἶναι ὡραῖα] τὰ αἰώνια καὶ ἀκατανόητα ἀγαθά, «τὰ ὁποῖα ὁ Θεὸς ἑτοίμασε γι᾽ αὐτοὺς ποὺ Τὸν ἀγαποῦν»; Καὶ ἂν ἐκεῖνα τὰ ἀγαθὰ εἶναι καθ᾽ ὑπερβολὴν ἀκατανόητα [στὸν ἀνθρώπινο νοῦ], πόσο μᾶλλον δύναται νὰ κατανοηθῇ ὁ Θεός, ὁ Ὁποῖος ἐδημιούργησε τὰ πάντα ἐκ τοῦ μηδενός;

24. Ἂν λοιπὸν κανεὶς σχολάζῃ ἀπὸ ὅλα καὶ φροντίζῃ γιὰ τὶς σωματικὲς καὶ ψυχικὲς πράξεις, ποὺ ὀνομάζονται ἀπὸ τοὺς Πατέρες εὐσέβεια· δὲν ἐμπιστεύεται ὅμως κανένα ὄραμα καὶ [κανένα] δικό του νόημα, τὸ ὁποῖο δὲν ἔχει τὴν μαρτυρία ἀπὸ τὴν Γραφή, καὶ ἀποφεύγει κάθε περιττὴ συνάντησι, γιὰ νὰ μὴν ἀκούῃ καθόλου ἢ νὰ διαβάζῃ ἀργὸ λόγο καὶ μάλιστα περὶ αἱρέσεως, πληθαίνουν σ᾽ αὐτὸν [τόσο πολὺ] τὰ δάκρυα τῆς χαρᾶς καὶ τῆς συνέσεως [ἀνώδυνα καὶ μὲ ἐπίγνωσι], ὥστε ἀπὸ τὸ πλῆθος τους νὰ τὰ καταπίνῃ.

τῶν. Καὶ ἔρχεται εἰς τὴν ἄλλην εὐχὴν τὴν καθαράν, τὴν πρέπουσαν τῷ θεωρητικῷ. Ὥσπερ γὰρ ἄλλα ἀναγνώσματα ὀφείλει ἔχειν τότε καὶ ἄλλα δάκρυα καὶ εὐχήν, οὕτω καὶ νῦν. Ἐπειδὴ εἰς θεωρίας πνευματικὰς ἦλθεν ὁ νοῦς, διὰ τοῦτο ἀπ᾽ ἄρτι ἀναγινώσκειν ὀφείλει ἐν πάσαις ταῖς θείαις Γραφαῖς, ὡς μὴ φοβούμενος τῶν δυσδιακρίτων ῥημάτων τῆς Γραφῆς, ὥσπερ οἱ πρακτικοὶ ἔτι καὶ ἀσθενεῖς διὰ τὴν ἄνοιαν. Διὰ γὰρ τὸ ἐγχρονίσαι αὐτὸν καὶ ἀγωνίσασθαι περὶ τῶν σωματικῶν τε καὶ ἠθικῶν πράξεων, συνεσταυρώθη τῷ Χριστῷ καὶ συνετάφη διὰ τῆς γνώσεως τῶν πραγμάτων, κατά τε τὴν φύσιν καὶ ἀλλοίωσιν, συνηγέρθη δὲ δι᾽ ἀπαθείας καὶ γνώσεως τῶν τοῦ Θεοῦ μυστηρίων, τῶν ἐν τοῖς αἰσθητοῖς αὐτοῦ κτίσμασιν. Ἐξ ἧς σὺν αὐτῷ εἰς τὰ ὑπερκόσμια ἀνέβη διὰ τῆς τῶν νοητῶν γνώσεως καὶ τῶν ἐν ταῖς θείαις Γραφαῖς κεκρυμμένων μυστηρίων. Ἀπὸ τοῦ φόβου εἰς εὐσέβειαν, ἐξ ἧς ἡ γνῶσις· δι᾽ ἧς ἡ βουλή, ἤτοι ἡ διάκρισις· ἐξ ἧς ἡ ἰσχύς, δι᾽ ἧς ἡ σύ-

Καὶ φθάνει τότε στὴν ἄλλη προσευχὴ τὴν καθαρά, τὴν πρέπουσα στὸν θεωρητικό. Γιατὶ ὅπως ὀφείλει τότε νὰ ἔχῃ ἄλλα ἀναγνώσματα καὶ ἄλλα δάκρυα καὶ προσευχή, ἔτσι καὶ τώρα. Ἐπειδὴ ἔφθασε ὁ νοῦς σὲ πνευματικὲς θεωρίες, γι᾽ αὐτὸ ἀπὸ τώρα ὀφείλει νὰ μελετᾷ [ὅσα περιέχονται] σὲ ὅλες τὶς θεῖες Γραφές, ἐπειδὴ [πλέον] δὲν ἔχει φόβο [κινδύνου] ἀπὸ τὰ δυσνόητα λόγια τῆς Γραφῆς, ὅπως οἱ πρακτικοί [αὐτοὶ ποὺ ἀσχολοῦνται μόνο μὲ σωματικὲς πράξεις] ἀκόμη, καὶ [εἶναι] ἀδύνατοι στὴ διάνοια [δηλαδὴ στὰ πνευματικά]. Γιατί, ἐπειδὴ χρόνισε στὸν ἀγῶνα γιὰ τὶς σωματικὲς καὶ ἠθικὲς πράξεις, σταυρώθηκε καὶ τάφηκε μαζὶ μὲ τὸν Χριστό, μέσῳ τῆς γνώσεως τῶν πραγμάτων καὶ κατὰ τὴν φύσι [τους] καὶ κατὰ τὴν ἀλλοίωσί [τους], ἀναστήθηκε δὲ [μαζί Του], μὲ τὴν ἀπάθεια καὶ τὴν γνῶσι τῶν μυστηρίων τοῦ Θεοῦ, ποὺ [βρίσκονται] στὰ αἰσθητὰ κτίσματά Του. Καὶ ἀπὸ αὐτὴν ἀνέβηκε μαζὶ μὲ Αὐτὸν στὰ ὑπερκόσμια, μὲ τὴν γνῶσι τῶν νοητῶν καὶ τῶν μυστηρίων τῶν κρυμμένων στὶς θεῖες Γραφές. Ἀπὸ τὸ φόβο [ἀνεβαίνει κανεὶς] στὴν εὐσέβεια, ἀπὸ τὴν ὁποία [προέρχεται] ἡ γνῶσι. Ἀπὸ αὐτὴν [προέρχεται] ἡ βουλή, δηλαδὴ ἡ διάκρισι· ἀπὸ τὴν ὁποία [πηγάζει] ἡ δύναμι, μέσω τῆς ὁποίας [προκαλεῖται] ἡ σύ-

νεσις, καὶ ἔρχεται εἰς τὴν σοφίαν[28]*. [25.] Διὰ πάντων γὰρ τῶν προειρημένων πράξεων καὶ θεωριῶν, καταξιοῦται τῆς καθαρᾶς καὶ τελείας προσευχῆς, τῆς ἀπὸ τῆς εἰρήνης καὶ ἀγάπης τοῦ Θεοῦ γενομένης, καὶ τῆς τοῦ Ἁγίου Πνεύματος ἐνοικήσεως. Καὶ τοῦτό ἐστι τὸ λεγόμενον, κτῆσαι Θεὸν ἐν ἑαυτῷ· καὶ τὴν ἐμφάνειαν καὶ τὴν ἐνοίκησιν τοῦ Θεοῦ, καθὼς ἔφη ὁ Χρυσόστομος, ἐν τῷ γενέσθαι σῶμα καὶ ψυχήν, κατὰ τὸ δυνατόν, ὥσπερ τοῦ Χριστοῦ, ἀναμάρτητα· καὶ νοῦν ἔχειν διὰ Χριστὸν νοοῦντα τῇ τοῦ Πνεύματος [addendum: χάριτι]*[στ'] *καὶ σοφίᾳ, ἥτις ἐστὶ γνῶσις θείων καὶ ἀνθρωπίνων πραγμάτων*[29]*.*

νεσι καὶ [ἔτσι κανεὶς] φθάνει στὴ σοφία.

25. Μὲ ὅλες λοιπὸν τὶς προηγούμενες πράξεις καὶ θεωρίες, καταξιώνεται [νὰ φθάσῃ] στὴν καθαρὰ καὶ τέλεια προσευχή, ἡ ὁποία ἀποκτᾶται ἀπὸ τὴν εἰρήνη καὶ τὴν ἀγάπη τοῦ Θεοῦ καὶ τὴν ἐνοίκησι τοῦ Ἁγίου Πνεύματος. Καὶ αὐτὸ εἶναι ἐκεῖνο ποὺ λέγεται: «ἀπόκτησε τὸ Θεὸ μέσα σου»· δηλαδὴ τὴν ἐμφάνεια καὶ τὴν ἐνοίκησι τοῦ Θεοῦ [μέσα σου], καθὼς εἶπε ὁ Χρυσόστομος[γ'], μὲ τὸ νὰ γίνῃ τὸ σῶμα καὶ ἡ ψυχὴ [σου], κατὰ τὸ δυνατόν, ὅπως τοῦ Χριστοῦ, ἀναμάρτητα· καὶ νὰ ἔχῃ [κανεὶς] νοῦ, ποὺ νὰ ἐννοῇ τὰ τοῦ Χριστοῦ, μὲ τὴν Χάρι καὶ τὴ σοφία τοῦ [Ἁγίου] Πνεύματος, ἡ ὁποία εἶναι γνῶσι τῶν θείων καὶ ἀνθρωπίνων πραγμάτων.

ΠΕΡΙ ΤΩΝ ΤΕΣΣΑΡΩΝ ΑΡΕΤΩΝ ΤΗΣ ΨΥΧΗΣ

[26.] Ἰδέαι δὲ τῆς σοφίας καθεστήκασι τέσσαρες. Φρόνησις, ἤτοι γνῶσις τῶν τε ποιητέων καὶ οὐ ποιητέων, καὶ ἐγρήγορσις τοῦ νοός. Σωφροσύνη, τοῦτ᾽ ἔστι τὸ σῶον γενέσθαι τὸ φρόνημα, ὥστε κατέχειν δυνηθῇ ἑαυτὸν ἐκτὸς

26. Τὰ εἴδη[4] τῆς σοφίας εἶναι τέσσερα. Ἡ φρόνησι, δηλαδὴ ἡ γνῶσι αὐτῶν ποὺ πρέπει νὰ γίνωνται καὶ αὐτῶν ποὺ δὲν πρέπει νὰ γίνωνται, [ὡς] καὶ ἡ ἐγρήγορσι τοῦ νοῦ. Ἡ σωφροσύνη, δηλαδὴ νὰ γίνῃ σωστὸ τὸ φρόνημα [τοῦ ἀνθρώπου], ὥστε νὰ μπορέσῃ νὰ κρατήσῃ τὸν ἑαυτό του μακριὰ ἀπὸ [κάθε]


ἔργου, λογισμοῦ τε καὶ λόγου μὴ ἀρέσκοντος τῷ Θεῷ. Ἀνδρία [recte: ἀνδρεία], ἤτοι ἰσχὺς καὶ καρτερία ἐν τοῖς κατὰ Θεὸν πόνοις καὶ πειρασμοῖς. Δικαιοσύνη, τοῦτ᾽ ἔστι διανομή, τὸ ἴσον παρέχουσα πᾶσι τούτοις. [27.] Αὗται δὲ αἱ τέσσαρες γενικαὶ ἀρεταὶ γεννῶνται μὲν ἐκ τῶν τριῶν δυνάμεων τῆς ψυχῆς οὕτως. Ἐκ μὲν τοῦ λογισμοῦ, ἤγουν τοῦ νοός, δύω, φρόνησις καὶ δικαιοσύνη, ἤγουν διάκρισις. Ἐκ δὲ τοῦ ἐπιθυμητικοῦ σωφροσύνη καὶ ἐκ τοῦ θυμικοῦ ἀνδρεία. Μεσολαβεῖ δὲ ἑκάστη ὑπὸ δύω παθῶν παρὰ φύσιν· ἡ φρόνησις, ἄνω μὲν ἀπὸ τοῦ ὑπερφρονεῖν, κάτω δὲ ὑπὸ ἀφροσύνης. Ἡ σωφροσύνη, ἄνω μὲν ὑπὸ ἠλιθιότητος, κάτω δὲ ἀπὸ ἀκολασίας. Ἡ ἀνδρεία, ἄνω μὲν ἀπὸ θρασύτητος, κάτω δὲ ἀπὸ δειλίας. Ἡ δικαιοσύνη, ἄνω μὲν ἀπὸ μειονεξίας, κάτω δὲ ἀπὸ πλεονεξίας. Καὶ αἱ μὲν τέσσαρες εἰκὼν εἰσι τοῦ ἐπουρανίου, αἱ δὲ ὀκτὼ τοῦ χοϊκοῦ[30]. Ταῦτα δὲ πάντα ἀκριβῶς μὲν ὁ Θεὸς γινώσκει, ὥσπερ τὰ προγεγονότα, ἐνεστῶτά τε καὶ μέλλοντα, ἐκ μέρους δέ, ὁ κατὰ χά-

ἔργο, λογισμὸ καὶ λόγο, ποὺ δὲν εἶναι ἀρεστὰ στὸν Θεό. Ἡ ἀνδρεία, δηλαδὴ ἡ δύναμι καὶ ἡ καρτερία στοὺς κατὰ Θεὸν κόπους καὶ πειρασμούς. Ἡ δικαιοσύνη, δηλαδὴ ἡ διανομή, ποὺ παρέχει τὰ ἴσα [ἐξασφαλίζει τὴν ἰσορροπία] σ᾽ ὅλα αὐτά.

27. Αὐτὲς οἱ τέσσερις γενικὲς ἀρετές, γεννιῶνται ἀπὸ τὶς τρεῖς δυνάμεις τῆς ψυχῆς ὡς ἑξῆς. Ἀπὸ μὲν τὸ λογιστικό, ἐννοῶ ἀπὸ τὸν νοῦν [γεννιῶνται] δύο, ἡ φρόνησι καὶ ἡ δικαιοσύνη, δηλαδὴ ἡ διάκρισι. Ἀπὸ δὲ τὸ ἐπιθυμητικὸ [γεννιέται] ἡ σωφροσύνη καὶ ἀπὸ τὸ θυμικὸ ἡ ἀνδρεία. Κάθε μία ἀπ᾽ αὐτὲς βρίσκεται ἀνάμεσα σὲ δύο παρὰ φύσιν πάθη· ἡ φρόνησι [ἔχει] πάνω ἀπὸ αὐτὴν τὴν ὑψηλοφροσύνη καὶ κάτω [ἀπὸ αὐτὴν] τὴν ἀνοησία. Ἡ σωφροσύνη [ἔχει] πάνω ἀπὸ αὐτήν τὴν μαλθακότητα καὶ κάτω τὴν ἀκολασία. Ἡ ἀνδρεία [ἔχει] πάνω τὴ θρασύτητα καὶ κάτω τὴ δειλία. Ἡ δικαιοσύνη [ἔχει] πάνω ἀπὸ αὐτὴν τὴ μειονεξία καὶ κάτω τὴν πλεονεξία. Καὶ οἱ μὲν τέσσερις [ἀρετὲς] εἶναι εἰκόνα τοῦ ἐπουρανίου[5], οἱ δὲ ὀκτὼ [ἐμπαθεῖς καταστάσεις, εἶναι εἰκόνα] τοῦ χοϊκοῦ[6]. Ὅλα αὐτὰ τὰ γνωρίζει ὁ Θεὸς μὲ ἀκρίβεια, ὅπως τὰ περασμένα, τὰ παρόντα καὶ τὰ μέλλοντα, ὅμως ἐν μέρει [τὰ γνωρίζει] καὶ ἐκεῖνος, ποὺ κατὰ Χάριν

ριν Θεοῦ, ἔργα μαθὼν παρ᾽ αὐτοῦ, καὶ ἀξιωθεὶς κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν[31] αὐτοῦ γενέσθαι. [28.] Ἐξ ἀκοῆς γὰρ μόνης ὁ λέγων εἰδέναι ὡς δεῖ[32], ἐψεύσατο. Διότι, ὁ νοῦς τοῦ ἀνθρώπου οὐ δύναται ἐκτὸς τοῦ χειραγωγοῦ εἰς τὸν οὐρανὸν ἀνελθεῖν ποτέ· οὐδὲ πάλιν μὴ ἀνελθὼν καὶ θεασάμενος, εἰπεῖν τι, ὃ οὐκ εἶδεν. Ἀλλ᾽ εἴ τι παρὰ τῆς Γραφῆς ἀκούων, ἐκεῖνο μόνον ὀφείλει λέγειν ἐξ ἀκοῆς μετὰ εὐγνωμοσύνης καὶ ὁμολογεῖν τὸν Πατέρα τοῦ Λόγου, ὡς ἔφη ὁ μέγας Βασίλειος· καὶ μὴ οἰόμενος γνῶσιν ἔχειν, μένειν ἀγνώστου χείρων. Τὸ γὰρ οἴεσθαι οὐκ ἐᾷ γενέσθαι τὸ οἰόμενον, φησὶν ὁ ἅγιος Μάξιμος. Ἔστι γὰρ ἀγνωσία ἐπαινετή, ὥς φησὶν ὁ Χρυσόστομος· οἷον ὅταν τις ἐν γνώσει γινώσκῃ, ὅτι ἀγνοεῖ. Καὶ ἔστιν ἀγνωσία, ἐπέκεινα πάσης ἀγνωσίας, ὅταν μὴ γινώσκῃ τις, ὅτι ἀγνοεῖ. Ἔστι μὲν οὖν καὶ γνῶσις ψευδώνυμος, ὅταν δοκῇ τις εἰδέναι, μηδὲν εἰδώς[33], κατὰ τὸν Ἀπόστολον.

Θεοῦ, ἔμαθε ἀπὸ Αὐτὸν τὰ ἔργα Του καὶ ὁ ὁποῖος ἀξιώθηκε νὰ γίνῃ «κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν Αὐτοῦ». 28. Γιατὶ ἐκεῖνος ποὺ λέγει, ὅτι ἀπὸ ἀκοὴ μόνον «γνωρίζει, ὅπως πρέπει», ψεύδεται. Διότι ὁ νοῦς τοῦ ἀνθρώπου, δὲν μπορεῖ ποτὲ χωρὶς τὸν χειραγωγὸ νὰ ἀνέβῃ στὸν οὐρανό· οὔτε πάλι, ἐνῶ δὲν ἀνέβηκε καὶ δὲν εἶδε, μπορεῖ νὰ πῇ κάτι τὸ ὁποῖο δὲν εἶδε. Ἀλλά, ἂν κάτι ἀκούῃ ἀπὸ τὴν Γραφή, ἐκεῖνο μόνο ὀφείλει νὰ λέγῃ, ὅτι ἐξ ἀκοῆς [τὸ γνωρίζει] καὶ μὲ εὐγνωμοσύνη νὰ ὁμολογῇ τὸν Πατέρα τοῦ Λόγου, ὅπως εἶπε ὁ Μέγας Βασίλειος[δ']· καὶ ἐπειδὴ νομίζει ὅτι ἔχει γνῶσι, νὰ μὴ μένῃ χειρότερος ἀπὸ ἐκεῖνον ποὺ δὲν ἔχει. Διότι τὸ νὰ θεωρῇ κανεὶς [ὅτι ἔχει γνῶσι αὐτοῦ ποὺ πρέπει νὰ γίνῃ], δὲν τὸν ἀφήνει νὰ προχωρήσῃ [στὴν ἀληθινὴ γνῶσι] αὐτοῦ ποὺ θεωρεῖται ὀρθὸν νὰ γίνῃ, λέγει ὁ Ἅγιος Μάξιμος[ε']. Διότι ὑπάρχει ἀγνωσία ἐπαινετή, ὅπως λέγει ὁ Χρυσόστομος· δηλαδὴ ὅταν κάποιος μὲ ἐπίγνωσι ἀναγνωρίζει, ὅτι δὲν ξέρει τίποτε, καὶ ὑπάρχει καὶ ἀγνωσία πέραν κάθε ἀγνωσίας, ὅταν δὲν γνωρίζῃ κανεὶς [συνειδητὰ] ὅτι ἀγνοεῖ. Ὑπάρχει λοιπὸν καὶ γνῶσι ψευδώνυμη, «ὅταν νομίζῃ κανεὶς ὅτι γνωρίζει, ἐνῶ δὲν γνωρίζει τίποτε», σύμφωνα μὲ τὸν Ἀπόστολο.



ΠΕΡΙ ΕΜΠΡΑΚΤΟΥ ΓΝΩΣΕΩΣ

[29.] Ἔστι δὲ γνῶσις ἀληθὴς καὶ ἔστιν ἀγνωσία καθόλου· κρείττων δὲ πάντων, ἡ ἔμπρακτος γνῶσις. Ἐπειδὴ τί ὠφελεῖται ἄνθρωπος, ἐὰν πᾶσαν γνῶσιν ἔχων, μᾶλλον δὲ λαβὼν ἀπὸ Θεοῦ κατὰ χάριν, ὡς ὁ Σολομών[34], ὅπερ ἀμήχανον τοιοῦτον ἕτερον γενέσθαι ποτέ, καὶ εἰς τὴν αἰώνιον κόλασιν ἀπελθεῖν; Μὴ ἐξ ἔργων καὶ πίστεως βεβαίας πληροφορίαν λαβὼν διὰ τοῦ μαρτυρίου τῆς συνειδήσεως, ὅτι ἐλευθεροῦται τῆς μελλούσης κολάσεως ἐν τῷ μὴ καταγινώσκειν ἑαυτόν, ὅτι ἠμέλησέ τι τῶν ὀφειλομένων κατὰ τὸ δυνατὸν αὐτῷ, ὥς φησιν ὁ Ἅγιος Ἰωάννης ὁ Θεολόγος; Ἐὰν μὴ ἡ καρδία ἡμῶν καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν Θεόν[35]. Ἀλλὰ μήν, ὥς φησιν ὁ Ἅγιος Νεῖλος, ὅτι καὶ αὐτὴ ἡ συνείδησις ἐψεύσατο, διὰ τῆς τῶν παθῶν σκοτώσεως κακίσασα, ὥς φησιν ὁ τῆς Κλίμακος. Εἰ γὰρ μόνη πονηρία σκοτίζειν

29. Ὑπάρχει λοιπὸν γνῶσι ἀληθινὴ καὶ ὑπάρχει ἀγνωσία καθολική, ὅμως ἀνώτερη ἀπὸ ὅλες, [εἶναι] ἡ ἔμπρακτη γνῶσι. Γιατὶ τί ὠφελεῖται ὁ ἄνθρωπος, ἂν ἔχῃ ὅλη τὴ γνῶσι, μᾶλλον δέ, ἀφοῦ τὴν πῆρε κατὰ Χάριν Θεοῦ, ὅπως ὁ Σολομών – τὸ ὁποῖο εἶναι ἀδύνατο νὰ ξαναγίνῃ ἄλλο ὅμοιό του ποτέ – καὶ νὰ πάῃ στὴν αἰώνια κόλασι; [Τὶ ὠφελεῖται] ἐὰν δὲν λάβῃ ἀπὸ τὰ ἔργα καὶ τὴ βεβαία πίστη μὲ τὴν μαρτυρία τῆς συνειδήσεώς [του], ὅτι ἐλευθερώνεται ἀπὸ τὴν μέλλουσα κόλασι, μὲ τὸ νὰ μὴν τὸν κατηγορῇ [ἡ συνείδησί του], ὅτι παραμέλησε κάτι ἀπὸ ὅσα ὤφειλε [νὰ κάνῃ] κατὰ τὴν δύναμί του, ὅπως λέγει ὁ Ἅγιος Ἰωάννης ὁ Θεολόγος; «Ἂν ἡ καρδία μας δὲν μᾶς κατηγορῇ, ἔχομε παρρησία πρὸς τὸν Θεό». Ἀλλὰ βεβαίως, ὅπως λέγει ὁ Ἅγιος Νεῖλος[ς'], ὅτι καὶ ἡ ἴδια ἡ συνείδησι [μπορεῖ νὰ] ψεύδεται, ὅταν σκοτίζεται ἀπὸ τὰ πάθη καὶ πέφτῃ στὴν κακία, ὅπως λέγει ὁ [Ἰωάννης] τῆς Κλίμακος[στ']. Γιατί, ἂν μόνη ἡ πονηρία σκοτίζῃ

τὸν νοῦν πέφυκε, φησὶν ὁ μέγας Βασίλειος, καὶ οἴησις τυφλὸν ἐμποιεῖ καὶ οὐκ ἐᾷ γενέσθαι τὸ οἰόμενον. Τί λοιπὸν εἴπωμεν περὶ τῶν δουλευόντων τοῖς πάθεσιν, ἂν δοκῶσι καθαρὰν συνείδησιν ἔχειν, καὶ μάλιστα ὁρῶντες τὸν Ἀπόστολον Παῦλον, τὸν ἔχοντα ἐν ἑαυτῷ τὸν Χριστόν, ἔργῳ καὶ λόγῳ εἰρηκότα, ὅτι οὐδὲν ἐμαυτῷ σύνοιδα, πταίοντι δηλονότι, ἀλλ' οὐκ ἐν τούτῳ, δεδικαίωμαι[36]*; Ἐκ γὰρ ἀναισθησίας πολλῆς δοκοῦμεν οἱ πολλοί, ὅτι ἐσμεν τί, μηδὲν ὄντες· ἀλλ' ὅταν, φησὶν ὁ Ἀπόστολος, λέγωσιν εἰρήνην, τότε αὐτοῖς ὁ ὄλεθρος ἔρχεται*[37]*, διότι οὐκ εἶχον εἰρήνην, ἀλλ' ἔλεγον νομίζοντες εἰρήνην ἔχειν, φησὶν ὁ Χρυσόστομος, ἐκ πολλῆς ἀναισθησίας. Καὶ ὥς φησιν ὁ Ἅγιος Ἰάκωβος ὁ ἀδελφόθεος περὶ τῶν τοιούτων, ὅτι ἐπιλήσμονες γενόμενοι*[38] *τῶν ἑαυτῶν ἁμαρτιῶν, ἔλαθον ἑαυτοὺς ὑπερηφάνων πλεῖστοι, φησὶν ὁ τῆς Κλίμακος, ἀπάθειαν οἰόμενοι ἔχειν. Κἀγὼ τοίνυν τοὺς τρεῖς γίγαντας τοῦ διαβόλου τρέμων, περὶ ὧν ἔγραψεν ὁ Ἅγιος Μᾶρκος ὁ ἀσκητής, ἤγουν τὴν ῥαθυμίαν,*

τὸν νοῦν ἐκ φύσεως, λέγει ὁ Μέγας Βασίλειος, καὶ ἡ ἀλαζονεία τὸν τυφλώνῃ, τότε δὲν ἀφήνει νὰ γίνῃ αὐτό, ποὺ θεωρεῖται [ὀρθὸν] νὰ γίνῃ. Τί λοιπὸν μποροῦμε νὰ ποῦμε γι' αὐτούς, ποὺ εἶναι δοῦλοι στὰ πάθη, ἂν νομίζουν ὅτι ἔχουν καθαρὴ συνείδησι καὶ μάλιστα, ἐνῶ βλέπουν τὸν Ἀπόστολο Παῦλο, ὁ ὁποῖος εἶχε μέσα του τὸν Χριστό, μὲ ἔργα καὶ λόγια, νὰ λέγῃ, «ὅτι δὲν μὲ ἐλέγχει ἡ συνείδησί μου γιὰ τίποτε [γιὰ κανένα μου πταῖσμα δηλαδή], ἀλλὰ μὲ αὐτό δὲν ἔχω δικαιωθεῖ»; Γιατὶ ἀπὸ μεγάλη ἀναισθησία νομίζομε πολλοὶ ὅτι εἴμαστε κάτι, ἐνῶ δὲν εἴμαστε τίποτε. Ἀλλὰ λέγει, ὁ Ἀπόστολος, [ὅταν οἱ ἄνθρωποι] «λέγουν [ὅτι ἔχομε] εἰρήνη, τότε ἔρχεται σ' αὐτοὺς ἡ καταστροφή», γιατὶ δὲν εἶχαν εἰρήνη, ἀλλὰ τὸ ἔλεγαν, ἐπειδὴ νόμιζαν ὅτι ἔχουν εἰρήνη, ἀπὸ τὴν πολλὴ ἀναισθησία τους, λέγει ὁ [Ἅγιος] Χρυσόστομος. Καὶ ὅπως λέγει ὁ Ἅγιος Ἰάκωβος ὁ Ἀδελφόθεος γιὰ [τοὺς ἀνθρώπους] αὐτούς, ὅτι πάρα πολλοὶ ἀπὸ τοὺς ὑπερηφάνους, ἐπειδὴ «ξέχασαν τὶς ἁμαρτίες τους», ἔχασαν [τὴν ἀλήθεια] τοῦ ἑαυτοῦ τους, νομίζοντας ὅτι ἔχουν ἀπάθεια, [ὅπως] λέγει [καὶ ὁ Ἰωάννης] τῆς Κλίμακος[ζ']. Καὶ ἐγὼ λοιπόν, ἐπειδὴ τρέμω τοὺς τρεῖς γίγαντες τοῦ διαβόλου, γιὰ τοὺς ὁποίους ἔγραψε ὁ Ἅγιος Μᾶρκος ὁ Ἀσκητής[η'], δηλαδὴ τὴ ραθυμία,

τὴν λήθην τε καὶ ἄγνοιαν, ὡς ὑπ᾽ αὐτῶν κατεχόμενος ἀεὶ καὶ φοβούμενος, μήπως, ἀγνοήσας τὸ ἴδιον μέτρον, εὑρεθήσομαι ἔξω τῆς εὐθείας ὁδοῦ, ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ, τὴν παροῦσαν συλλογὴν ἔγραψα. Ὁ γὰρ μισῶν ἔλεγχον, δῆλον ὅτι τὸ πάθος ἐσήμανε τῆς ὑπερηφανίας, φησὶν ὁ τῆς Κλίμακος. Ὁ δὲ προστρέχων τοῦ δεσμοῦ λέλυται. Καὶ ὁ Σολομών, ἀνοήτῳ ἐπερωτῶντι σοφίας, σοφία αὐτῷ λογισθήσεται[39]*. Διὰ τοῦτο καὶ τὰ ὀνόματα τῶν βιβλίων καὶ τῶν ἁγίων εἰς τὴν ἀρχὴν τέθεικα, ἵνα μὴ καθ᾽ ἕκαστον ῥῆμα λέγων τίνος ἐστί, μηκύνεται ὁ λόγος. Καὶ γὰρ οἱ ἅγιοι Πατέρες, τὰ τῶν θείων Γραφῶν ῥήματα καθὼς κεῖνται πολλάκις ἔγραψαν, ὡς ὁ Θεολόγος Γρηγόριος, τὰ τοῦ Σολομῶντος, καὶ οἱ λοιποί. Καὶ ὡς ὁ Λογοθέτης Συμεὼν ὁ Μεταφραστὴς ἔφη περὶ τοῦ Χρυσοστόμου, ὅτι οὐκ εὐθείας ἐστὶ τὰ ἐκείνου ῥήματα καταλιπεῖν, λέγειν τὰ ἐμά, καίπερ ἠδύνατο· ἐκ τοῦ αὐτοῦ γὰρ Πνεύματος Ἁγίου οἱ πάντες ἔλαβον. Ἀλλὰ τὰ μὲν ὀνομάζουσι τίνος ἐστὶ τὸ ῥητόν, ὡς*

τὴ λήθη καὶ τὴν ἄγνοια, γιατὶ κατέχομαι ἀπὸ αὐτὲς πάντοτε, καὶ ἐπειδὴ φοβοῦμαι, μήπως ἂν ἀγνοήσω τὰ δικά μου μέτρα, θὰ βρεθῶ ἔξω ἀπὸ τὴν εὐθεία ὁδό, ὅπως λέγει ὁ Ἅγιος Ἰσαάκ, ἔγραψα τὴν παροῦσα συλλογή. Γιατὶ ὅποιος μισεῖ τὸν ἔλεγχο, εἶναι φανερὸ ὅτι ἔδειξε τὸ πάθος τῆς ὑπερηφανείας του, λέγει ὁ [Ἰωάννης] τῆς Κλίμακος[θ'], ὅποιος ὅμως προστρέχει [στὸν ἔλεγχο], ἔχει λυθῆ ἀπὸ τὸ δεσμό. Καὶ ὁ Σολομὼν [λέγει] «στὸν ἀνόητο ποὺ ρωτᾶ γιὰ σοφία, θὰ τοῦ ὑπολογισθῆ σὰν σοφία». Γι᾽ αὐτὸ καὶ ἐτοποθέτησα στὴν ἀρχὴ [ὅλα] τὰ ὀνόματα τῶν βιβλίων καὶ τῶν ἁγίων, γιὰ νὰ μὴν μακραίνῃ ὁ λόγος, ἀναφέροντας τίνος εἶναι τὸ κάθε ρητό. Γιατὶ οἱ Ἅγιοι Πατέρες ἔγραψαν πολλὲς φορὲς τοὺς λόγους τῶν θείων Γραφῶν, ὅπως [ἀκριβῶς] βρίσκονται [στὰ κείμενα], ὅπως ὁ Θεολόγος Γρηγόριος ἀπὸ τὰ [ἔργα] τοῦ Σολομῶντος καὶ οἱ ἄλλοι. Καὶ ὅπως ὁ Λογοθέτης Συμεὼν ὁ Μεταφραστής[ι'] εἶπε γιὰ τὸν Χρυσόστομο, ὅτι δὲν εἶναι σωστὸ νὰ ἀφήσω τὰ λόγια ἐκείνου καὶ νὰ λέγω τὰ δικά μου, ἂν καὶ τοῦ ἦταν δυνατόν· διότι ὅλοι τὰ ἔλαβαν ἐκ τοῦ αὐτοῦ [ἑνὸς] Ἁγίου Πνεύματος. Ἀλλά, ἄλλοτε μὲν κατονομάζουν τίνος εἶναι τὸ ρητό, ἐπειδὴ

ἐγκαλλωπιζόμενοι, ταπεινώσεως χάριν, προτιμῶντες τὰ τῶν Γραφῶν ῥήματα. Τὰ δὲ ἀνώνυμα, καταλιπόντες διὰ τὸ πλῆθος, ἵνα μὴ εἰς μῆκος πολὺ ἔρχηται τὸ λεγόμενον.

ἀπὸ ταπείνωσι ἀρέσκονται νὰ προτιμοῦν τὰ λόγια τῶν Γραφῶν· καὶ ἄλλοτε τὰ ἀφήνουν ἀνώνυμα, ἐξ αἰτίας τοῦ πλήθους αὐτῶν, γιὰ νὰ μὴν μακραίνη πολὺ ὁ λόγος.

ΟΤΙ ΑΙ ΣΩΜΑΤΙΚΑΙ ΑΡΕΤΑΙ ΕΡΓΑΛΕΙΑ ΕΙΣΙ ΤΩΝ ΨΥΧΙΚΩΝ

ΟΤΙ ΟΙ ΣΩΜΑΤΙΚΕΣ ΑΡΕΤΕΣ ΕΙΝΑΙ ΕΡΓΑΛΕΙΑ ΤΩΝ ΨΥΧΙΚΩΝ

[30.] Ἀλλ᾽ ἐπειδὴ κρείττων ἐστὶν ἡ πυκνοτέρα ὑπόμνησις, ἰδοὺ τὰ πλεῖστα τῶν εἰρημένων ἄρξομαι. Καὶ ὅτι οὐκ ἐμά ἐστι ταῦτα, ἀλλὰ τῶν θείων Γραφῶν τε καὶ Ἁγίων ἀνδρῶν ῥῆματα καὶ διακρίσεις· λέγει γὰρ ὁ ἐκ Δαμασκοῦ, ὅτι αἱ σωματικαὶ ἀρεταί, μᾶλλον δὲ ἀρετῶν ἐργαλεῖα, ἀναγκαῖαι μέν εἰσιν, ὅταν τις ἐν ταπεινώσει καὶ γνώσει πνευματικῇ αὐτὰς μετέρχεται [recte: μετέρχηται][ϛʹ]. Διότι τούτων δίχα, οὐδὲ αἱ ψυχικαὶ ἀρεταὶ γίνονται· εἰ δὲ μὴ οὕτως, ἀλλὰ καθ᾽ ἑαυτάς, οὐδὲν ὠφελοῦσιν, ὡς οὐδὲ τὰ φυτὰ δίχα τῶν καρπῶν. Οὐδὲ σχολῆς καὶ θελημάτων ἐκκοπῆς ἐκτός, δύναταί τις ἐπιστημόνως καὶ ἀσφαλῶς τέχνην τινὰ μαθεῖν

30. Ἀλλὰ ἐπειδὴ εἶναι καλύτερη ἡ συχνότερη ὑπενθύμησι, νὰ [τώρα], θὰ ἀρχίσω [νὰ ἐξηγῶ] τὰ περισσότερα ἀπὸ ὅσα ἔχουν λεχθῆ. Ἂν καὶ δὲν εἶναι δικά μου αὐτά, ἀλλὰ τῶν θείων Γραφῶν καὶ ἁγίων ἀνδρῶν, λόγοι καὶ διακρίσεις· γιατὶ λέγει ὁ ἐκ Δαμασκοῦ [ὁ Ἰ. Δαμασκηνός][ιαʹ], ὅτι οἱ σωματικὲς ἀρετὲς ἢ μᾶλλον τὰ ἐργαλεῖα τῶν ἀρετῶν, εἶναι μὲν ἀναγκαῖες, ὅταν [ὅμως] τὶς ἐργάζεται κανείς, μὲ ταπείνωσι καὶ γνῶσι πνευματική. Γιατὶ χωρὶς αὐτές, οὔτε οἱ ψυχικὲς ἀρετὲς μποροῦν νὰ γίνουν· ἂν ὅμως δὲν [γίνωνται] ἔτσι, ἀλλὰ μόνες τους [σὰν αὐτοσκοπός], καθόλου δὲν ὠφελοῦν, ὅπως οὔτε τὰ φυτά, χωρὶς τοὺς καρπούς. Οὔτε χωρὶς σπουδὴ [ἐπιμέλεια] καὶ ἀπάρνησι τῶν θελημάτων [του], μπορεῖ ποτὲ κανεὶς ἐπιστημονικὰ

πώποτε. [31.] Διὰ τοῦτο οὖν μετὰ τὴν πρᾶξιν χρῄζομεν καὶ τὴν γνῶσιν, καὶ διὰ πάντων τὴν κατὰ Θεὸν σχολὴν ἐκ πάντων, καὶ ἐπιμέλειαν τῶν θείων Γραφῶν, ἧς χωρὶς οὐδεὶς δύναται κτήσασθαί ποτε ἀρετήν. Καὶ ὁ μὲν καταξιωθεὶς ὁλοκλήρως καὶ ἀείποτε σχολάζων, τοῦ ἀκροτάτου ἀγαθοῦ ἐπέτυχεν· ὁ δὲ μὴ οὕτως, κἂν ἐκ μέρους μὴ ἀμελήσειεν. Ἀλλὰ μακάριοί εἰσιν οἱ ὁλοκλήρως σχολάζοντες, εἴτε ἐν τῷ ὑποταγῆναί τινι πρακτικῷ καὶ ἡσυχάζοντι κατὰ τὸν λόγον, εἴτε ἐν ἡσυχίᾳ καὶ ἀμεριμνίᾳ ἐκ πάντων, ἐν τῷ ὑποταγῆναι τῷ θείῳ θελήματι, μετὰ ἀκριβείας, καὶ συμβουλῆς τῶν ἐμπείρων εἰς πᾶν ἐγχείρημα, λόγων τε καὶ νοημάτων. Οἱ θέλοντες μάλιστα ἀκόπως φθάσαι πρὸς ἀπάθειαν καὶ γνῶσιν πνευματικήν, διὰ τῆς ὁλοκλήρου καὶ κατὰ Θεὸν σχολῆς, ὡς αὐτὸς ἔφη διὰ τοῦ Προφήτου[40]· Σχολάσατε, καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός.

[32.] Οἱ δὲ βιωτικοὶ ἄνθρωποι, οἱ κατὰ κόσμον φημί, καὶ οἱ δῆθεν Μοναχοί, κἂν ἐκ μέρους σχολάσωμεν, ὡς οἱ πάλαι

καὶ μὲ ἀσφάλεια, νὰ μάθῃ κάποια τέχνη.

31. Γι' αὐτὸ λοιπὸν μετὰ τὴν πρᾶξι, χρειαζόμαστε καὶ τὴν γνῶσι καὶ προπάντων τὴν κατὰ Θεὸν ἡσυχία ἀπὸ ὅλα καὶ τὴν ἐπιμέλεια [στὴν μελέτη] τῶν θείων Γραφῶν, χωρὶς τὴν ὁποία κανεὶς δὲν μπορεῖ ποτὲ νὰ ἀποκτήσῃ τὴν ἀρετή. Καὶ ἐκεῖνος, ὁ ὁποῖος καταξιώθηκε ὁλοκληρωτικὰ καὶ πάντοτε νὰ ἡσυχάζῃ [κατὰ Θεόν], ἐπέτυχε τὸ ὑπέρτατο ἀγαθό· ἐκεῖνος δέ, ποὺ δὲν ἀξιώθηκε ἔτσι, ἂς μὴν ἀμελήσῃ [νὰ ἐργάζεται], ἔστω καὶ ἐν μέρει. Ἀλλὰ μακάριοι εἶναι ἐκεῖνοι, οἱ ὁποῖοι ὁλοκληρωτικὰ ἀφιερώνονται [στὸν κατὰ Θεὸν βίο] εἴτε μὲ τὴν ὑποταγὴ σὲ κάποιον πρακτικό, ποὺ ἐξασκεῖ τὴν ἡσυχία, ὅπως πρέπει, εἴτε [διάγοντας] μὲ ἡσυχία καὶ ἀμεριμνησία ἀπὸ ὅλα, μὲ τὸ νὰ ὑποτάσσωνται στὸ θέλημα τοῦ Θεοῦ μὲ ἀκρίβεια· καὶ μὲ τὸ νὰ συμβουλεύωνται τοὺς ἐμπείρους σὲ κάθε τι, ποὺ θέλουν νὰ ἐπιχειρήσουν, [ὅσον ἀφορᾶ] τοὺς λόγους καὶ τοὺς λογισμούς τους. Ὅσοι, μάλιστα, θέλουν νὰ φθάσουν χωρὶς κόπο στὴν ἀπάθεια καὶ στὴν πνευματικὴ γνῶσι, [θὰ τὸ ἐπιτύχουν] μὲ τὴν ὁλοκληρωτικὴ κατὰ Θεὸν κατάπαυσι, ὅπως ὁ Ἴδιος εἶπε μέσῳ τοῦ Προφήτου· «καταπαύσετε καὶ μάθετε ὅτι ἐγὼ εἶμαι ὁ Θεός».

32. Οἱ δὲ βιοτικοὶ ἄνθρωποι, οἱ κοσμικοὶ λέγω, καὶ οἱ δῆθεν Μοναχοί, ἂς ἡσυχάσωμε, ἔστω καὶ ἐν μέρει, ὅπως οἱ παλαιοὶ Δίκαιοι, γιὰ

δίκαιοι, πρὸς τὸ ἐρευνᾶν τὴν ἀθλίαν ψυχὴν πρὶν τοῦ θανάτου καὶ διόρθωσιν ἢ ταπείνωσιν αὐτῇ προξενῆσαι καὶ μὴ τελείαν ἀπώλειαν διὰ τῆς καθόλου ἀγνωσίας, καὶ τῶν κατὰ ἄγνοιαν καὶ γνῶσιν πταισμάτων. Καὶ γὰρ ὁ Δαβίδ βασιλεύς ὑπῆρχεν, ἀλλὰ καθ' ἑκάστην νύκτα τὴν στρωμνὴν αὐτοῦ καὶ κλίνην ἔβρεχε τοῖς δάκρυσιν[41]*, ἐκ τῆς αἰσθήσεως τοῦ θείου, ὥς φησιν ὁ Ἰώβ, ἔφριξάν μου αἱ τρίχες*[42]*, καὶ τὰ ἑξῆς. Καὶ ἡμεῖς οὖν κἂν μέρος τι τῆς ἡμέρας καὶ τῆς νυκτός, ὥσπερ οἱ βιωτικοί, σχολάσωμεν καὶ ἴδωμεν, τί μέλλομεν ἀπολογήσασθαι τῷ δικαίῳ Κριτῇ ἐν τῇ φρικτῇ ἡμέρᾳ τῆς κρίσεως. Καὶ μεριμνήσωμεν περὶ τούτου μᾶλλον, ὡς ἀναγκαῖον διὰ τὸν φόβον τῆς αἰωνίου κολάσεως καὶ μὴ περὶ τοῦ πῶς ζῆσαι ἔχουσιν οἱ πτωχοὶ καὶ πλουτῆσαι οἱ φιλάνθρωποι καὶ ὅλην ἡμῶν τὴν μέριμναν ἐν τοῖς βιωτικοῖς πράγμασι ποιῶμεν ἀφρόνως, ὥς φησιν ὁ θεῖος Χρυσόστομος, ὅτι ἐργάσασθαι μὲν δεῖ, οὐ μέντοι δὲ μεριμνᾶν καὶ τυρβάζειν περὶ πολλῶν*[43]*, ὡς ἔφη ὁ Κύριος πρὸς τὴν Μάρθαν.*

νὰ [μπορέσωμε νὰ] ἐξετάσωμε τὴν ἀθλία ψυχή μας πρὶν ἀπὸ τὸν θάνατο, καὶ νὰ τῆς προσφέρωμε διόρθωσι ἢ ταπείνωσι καὶ [ἔτσι νὰ μὴν φθάσῃ] στὴν ἀπώλεια, μὲ τὴν καθολικὴ ἀγνωσία καὶ τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ [συνειδητὰ ἢ ἀσυνείδητα] ἁμαρτήματα. Γιατὶ καὶ ὁ Δαβὶδ ἦταν βασιλιάς, ἀλλὰ κάθε νύχτα «ἔβρεχε μὲ δάκρυα τὸ στρῶμα καὶ τὸ κρεββάτι του» [καὶ] ὅπως λέγει ὁ Ἰώβ, «ἀπὸ τὴν αἴσθησι τοῦ θείου, μοῦ ἀνασηκώθηκαν οἱ τρίχες» καὶ τὰ ἑξῆς. Καὶ ἐμεῖς, λοιπόν, ἕνα μέρος τοὐλάχιστον τῆς ἡμέρας καὶ τῆς νύχτας, ὅπως ἀκριβῶς οἱ κοσμικοί, ἂς ἡσυχάσωμε καὶ ἂς δοῦμε τί πρόκειται νὰ ἀπολογηθοῦμε στὸν δίκαιο Κριτή, κατὰ τὴ φρικτὴ ἡμέρα τῆς Κρίσεως. Καὶ ἂς φροντίσωμε περισσότερο γιὰ αὐτό, ὡς [τὸ πλέον] ἀναγκαῖο ζήτημα, λόγῳ τοῦ φόβου τῆς αἰωνίας κολάσεως καὶ ὄχι [νὰ ἀσχολούμεθα], γιὰ τὸ πῶς μποροῦν νὰ ζήσουν οἱ φτωχοὶ καὶ νὰ πλουτήσουν οἱ φιλάνθρωποι καὶ ὅλη μας τὴ φροντίδα, ἂς μὴν τὴν ἔχωμε ἀσύνετα [μόνο] στὰ βιοτικὰ πράγματα, ὅπως λέγει ὁ θεῖος Χρυσόστομος[ιβ'], ὅτι πρέπει νὰ ἐργαζώμαστε, ὄχι ὅμως «νὰ μεριμνοῦμε καὶ νὰ ἀγωνιοῦμε γιὰ πολλά», ὅπως εἶπε ὁ Κύριος στὴ Μάρθα.

Διότι καὶ ἡ μέριμνα τοῦ βίου οὐκ ἐᾷ τινα μεριμνᾶν περὶ τῆς ἰδίας ψυχῆς καὶ γινώσκειν πῶς ἔχει, ὥσπερ ὁ σχολάζων καὶ προσέχων ἑαυτῷ, ὥς φησιν ἐν τῷ νόμῳ. Πρόσεχε σεαυτῷ[44]*, καὶ τὰ ἑξῆς. Καὶ περὶ μὲν τοῦ ῥητοῦ τούτου, ἔγραψεν ὁ Μέγας Βασίλειος λόγον ἀξιάγαστον καὶ πάσης σοφίας μεστόν.*

Διότι καὶ ἡ μέριμνα τοῦ βίου δὲν ἀφήνει κάποιον νὰ φροντίζῃ γιὰ τὴν ψυχή του καὶ νὰ γνωρίζῃ πῶς βρίσκεται [ἡ κατάστασί του], ὅπως ἐκεῖνος ὁ ὁποῖος ἡσυχάζει καὶ προσέχει τὸν ἑαυτό του, ὅπως λέγει στὸν νόμο, «Πρόσεχε τὸν ἑαυτό σου» καὶ τὰ ἑξῆς. Καὶ γιὰ τὸ ρητὸ αὐτὸ ἔγραψε ὁ Μέγας Βασίλειος[ιγ'] λόγον ἀξιοθαύμαστον καὶ γεμάτο ἀπὸ κάθε σοφία.

ΟΤΙ ΑΔΥΝΑΤΟΝ ΑΛΛΩΣ ΣΩΘΗΝΑΙ ΕΙΜΗ ΔΙΑ ΠΡΟΣΟΧΗΣ ΑΚΡΙΒΟΥΣ ΚΑΙ ΤΗΡΗΣΕΩΣ ΤΟΥ ΝΟΟΣ

ΟΤΙ ΕΙΝΑΙ ΑΔΥΝΑΤΟΝ ΝΑ ΣΩΘΟΥΜΕ ΔΙΑΦΟΡΕΤΙΚΑ ΠΑΡΑ ΜΟΝΟ ΜΕ ΑΚΡΙΒΗ ΠΡΟΣΟΧΗ ΚΑΙ ΦΥΛΑΞΙ ΤΟΥ ΝΟΥ

[33.] Χωρὶς δὲ προσοχῆς καὶ ἐγρηγόρσεως τοῦ νοὸς ἀδύνατον σωθῆναι ἡμᾶς καὶ ῥυσθῆναι ἐκ τοῦ διαβόλου, ὡς λέοντος ὠρυομένου περιπατοῦντος καὶ ζητοῦντος καταπιεῖν τινα[45]*, ὥς φησιν ὁ Δαμασκηνός. Διὰ τοῦτο συχνοτέρως πρὸς τοὺς μαθητὰς αὐτοῦ ὁ Κύριος ἔλεγε· Γρηγορεῖτε καὶ προσεύχεσθε, ὅτι οὐκ οἴδατε*[46]*, καὶ τὰ ἑξῆς. Περὶ τῆς μνήμης τοῦ θανάτου πᾶσι δι᾽ ἐκείνων προκαταγγέλων, ἵνα ἕτοιμοι ὦμεν πρὸς ἀπολογίαν δεκτήν,*

33. Χωρὶς προσοχὴ καὶ ἐγρήγορσι τοῦ νοῦ, εἶναι ἀδύνατον νὰ σωθοῦμε ἐμεῖς καὶ νὰ λυτρωθοῦμε ἀπὸ τὸν διάβολο, «ὁ ὁποῖος περπατᾶ σὰν λιοντάρι καὶ ζητεῖ ποιὸν νὰ καταπιῇ», ὅπως λέγει ὁ Δαμασκηνός[ιδ']. Γι᾽ αὐτὸ συχνότατα ὁ Κύριος, ἔλεγε πρὸς τοὺς μαθητές Του· «Ἀγρυπνεῖτε καὶ προσεύχεσθε, γιατὶ δὲν ξέρετε» καὶ τὰ ἑξῆς. Προαναγγέλοντας μὲ αὐτὰ σ᾽ ὅλους τὰ περὶ τῆς μνήμης τοῦ θανάτου, ὥστε νὰ εἴμαστε ἕτοιμοι γιὰ εὐπρόσδεκτη ἀπολογία, ἡ

τὴν ἐξ ἔργων καὶ προσοχῆς γινομένην. Διότι οἱ μὲν δαίμονες, ὥς φησιν ὁ Ἅγιος Ἰλαρίων, ἄϋλοι, ἄϋπνοι, καὶ πᾶσαν τὴν μέριμναν ἔχοντες εἰς τὸ πολεμεῖν ἡμᾶς καὶ ἀπολέσαι ἡμῶν τὰς ψυχὰς διὰ λόγου, ἔργου τε καὶ λογισμοῦ· ἡμεῖς δὲ οὐχ οὕτως. Ἀλλὰ ποτὲ μὲν περὶ τρυφῆς μεριμνῶμεν καὶ δόξης παρερχομένης, ποτὲ δὲ περὶ βιωτικῶν πραγμάτων καὶ περὶ ἄλλων πολλῶν ἀείποτε. Καὶ οὐδὲ κἂν μέρος τι θέλομεν ἔχειν, πρὸς τὸ ἐρευνᾶν ἡμῶν τὸν βίον, ἵνα ἐκ τούτου συνήθειαν λαβεῖν δυνηθῇ ὁ νοῦς, καὶ δίχα σχολῆς πολλάκις προσέχειν ἑαυτῷ, φησὶν ὁ Σολομών. Ὅτι μέσον πολλῶν παγίδων διαβαίνεις[47]*· περὶ ὧν ὁ Χρυσόστομος ἔγραψε, σαφηνίζων τί εἰσιν αὗται, μετὰ πολλῆς ἀκριβείας καὶ σοφίας πληρεστάτης. Ὁ δὲ Κύριος, πᾶσαν μέριμναν περικόψαι βουλόμενος, καὶ αὐτὴν τὴν τροφήν, καὶ τὴν ἐνδυμασίαν καταφρονεῖν ἡμᾶς ἐκέλευσεν, ἵνα μίαν μέριμναν ἔχωμεν, τὸ πῶς σωθῆναι ὡς δορκὰς ἐκ βρόχου καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος*[48]*· καὶ ἵνα*

ὁποία γίνεται [ἐπιτυγχάνεται] μὲ τὰ ἔργα καὶ τὴν προσοχή. Διότι οἱ μὲν δαίμονες, ὅπως λέγει ὁ Ἅγιος Ἰλαρίων[ιε΄], [εἶναι] ἄϋλοι, ἄυπνοι καὶ ἔχουν ὅλη τους τὴν φροντίδα στὸ νὰ μᾶς πολεμοῦν καὶ στὸ νὰ ὁδηγήσουν σὲ ἀπώλεια τὶς ψυχές μας μὲ λόγο, ἔργο καὶ λογισμό, ἐμεῖς ὅμως δὲν εἴμαστε ἔτσι. Ἀλλὰ ἄλλοτε μὲν φροντίζομε γιὰ ἀπόλαυσι, ἄλλοτε γιὰ δόξα ποὺ παρέρχεται, ἄλλοτε γιὰ βιοτικὰ πράγματα καὶ πάντοτε γιὰ ἄλλα ἀκόμη περισσότερα. Καὶ δὲν θέλομε οὔτε λίγο νὰ ἀσχοληθοῦμε μὲ τὴν ἐξέτασι τοῦ βίου μας [ἔρευνα συνειδήσεως], ὥστε νὰ μπορέσῃ ὁ νοῦς ἀπὸ αὐτό, νὰ συνηθίσῃ νὰ προσέχῃ τὸν ἑαυτό του καὶ πολλὲς φορὲς χωρὶς [ἰδιαίτερη προσπάθεια], [ὅπως] λέγει ὁ Σολομών, «διότι περνᾶς ἀνάμεσα σὲ πολλὲς παγίδες»· περὶ τῶν ὁποίων ἔγραψε ὁ Χρυσόστομος, ἐξηγώντας τί εἶναι αὐτές, μὲ μεγάλη ἀκρίβεια καὶ πάρα πολλὴ σοφία. Ὁ Κύριος ὅμως, ἐπειδὴ ἤθελε νὰ περικόψῃ κάθε μας μέριμνα, διέταξε νὰ περιφρονοῦμε καὶ αὐτὴν τὴν τροφὴ καὶ τὴν ἐνδυμασία, γιὰ νὰ ἔχωμε μία μόνον φροντίδα, πῶς δηλαδὴ νὰ λυτρωθοῦμε σὰν «ζαρκάδι ἀπὸ τὴ θηλειὰ καὶ σὰν ὄρνεο ἀπὸ τὴν παγίδα»· ὥστε νὰ

φθάσωμεν εἰς τὴν τοῦ ζώου τούτου ὀξυδερκίαν καὶ τὴν ὀρνέου ὑψιπέτειαν διὰ τῆς ἀμεριμνίας. Καὶ τὸ δὴ θαυμαστόν, ὅτι βασιλεύς πέλων ὁ Σολομὼν ταῦτα ἔλεγε· καὶ ὁ τούτου Πατὴρ ὡσαύτως λέγων καὶ ποιῶν καὶ μετὰ τοσαύτης προσοχῆς καὶ ἀγώνων πολλῶν ἐν πάσῃ σοφίᾳ τε καὶ ἀρετῇ ὄντες, μετά τοσαῦτα χαρίσματα καὶ ἐμφάνειαν Θεοῦ, ὑπὸ τῆς ἁμαρτίας, φεῦ, ἐνικήθησαν. Ὥστε ὁ μὲν ἐφάπαξ μοιχείαν καὶ φόνον ἐθρήνησεν[49], ὁ δὲ ἐν τοσούτοις δεινοῖς περιέπεσεν[50]. Ἆρα οὐκ ἔστι τοῦτο τρόμου γέμον καὶ φρίκης τοῖς γε νοῦν ἔχουσιν; ὥς φασιν ὅ τε τῆς Κλίμακος καὶ ὁ Ἀσκητὴς Φιλήμων. Πῶς ἄρα οὐ φρίσσομεν καὶ φεύγομεν τὸν περισπασμὸν τοῦ βίου, διὰ τὴν ἀσθένειαν ἡμῶν, οἱ μηδὲν ὄντες, ἀλλ᾽ ὡς ἄλογα ἀναισθητοῦμεν; Καὶ εἴθε, ὡς τὰ ἄλογα, τὴν φύσιν ὁ ἄθλιος ἐφύλαξα, ὅτι ὁ κύων κρείττων μου ἐστί, καὶ τὰ ἑξῆς.

φθάσωμε στὴν ὀξυδέρκεια τοῦ ζώου αὐτοῦ καὶ στὸ ὑψηλὸ πέταγμα τοῦ ὀρνέου μὲ τὴν ἀμεριμνησία. Καὶ τὸ θαυμαστὸ [εἶναι], ὅτι ὁ Σολομὼν ἔλεγε αὐτά, ἂν καὶ ἦταν βασιλιάς· καὶ ὁ πατέρας του ἐπίσης [ὁ Δαβὶδ] τὰ ἴδια ἔλεγε καὶ ἔκανε· καὶ ἐνῶ μὲ τόσο μεγάλη προσοχὴ καὶ πολλοὺς ἀγῶνες, εἶχαν ἀποκτήσει ὅλη τὴν σοφία καὶ τὴν ἀρετή, ὕστερα ἀπὸ τόσο μεγάλα χαρίσματα καὶ ἐμφάνεια Θεοῦ, νικήθηκαν, ἀλοίμονο, ἀπὸ τὴν ἁμαρτία, ὥστε ὁ μὲν ἕνας [ὁ Δαβίδ] ἐθρήνησε συγχρόνως γιὰ μοιχεία καὶ φόνο, ὁ δὲ [Σολομών], περιέπεσε σὲ τόσα μεγάλα δεινά. Δὲν εἶναι λοιπὸν [αὐτὸ] γεμάτο ἀπὸ τρόμο καὶ φρίκη γι᾽ αὐτοὺς ποὺ ἔχουν νοῦν; ὅπως λένε καὶ ὁ [Ἰωάννης] τῆς Κλίμακος καὶ ὁ Ἀσκητὴς Φιλήμων[ιστ']. Πῶς λοιπὸν δὲν φρίττομε καὶ δὲν ἀποφεύγομε τὸν περισπασμὸ τοῦ βίου, ἐξ αἰτίας τῆς ἀσθενείας μας, ἐμεῖς ποὺ δὲν εἴμαστε τίποτε, ἀλλὰ μένομε ἀναίσθητοι σὰν τὰ ἄλογα ζῶα; Καὶ μακάρι, ἐγὼ ὁ ἄθλιος νὰ φύλαγα τὴ φύσι μου, ὅπως [κάνουν] τὰ ἄλογα ζῶα, διότι ὁ σκύλος [ἀκόμη καὶ σ᾽ αὐτὸ] εἶναι καλλίτερος ἀπὸ μένα, καὶ τὰ λοιπά.

ΟΤΙ ΟΙ ΒΟΥΛΟΜΕΝΟΙ ΙΔΕΙΝ ΕΑΥΤΟΥΣ ΕΝ ΠΟΙΩ ΤΡΟΠΩ ΕΙΣΙΝ, ΟΥΚ ΑΛΛΩΣ, ΑΛΛ' Ἢ ΔΙΑ ΤΗΣ ΦΥΓΗΣ ΤΩΝ ΟΙΚΕΙΩΝ ΘΕΛΗΜΑΤΩΝ ΚΑΙ ΔΙ' ΥΠΟΤΑΓΗΣ ΚΑΙ ΗΣΥΧΙΑΣ, ΚΑΙ ΜΑΛΙΣΤΑ ΟΙ ΕΜΠΑΘΕΙΣ.

ΟΤΙ ΑΥΤΟΙ ΠΟΥ ΘΕΛΟΥΝ ΝΑ ΙΔΟΥΝ ΤΟΥΣ ΕΑΥΤΟΥΣ ΤΩΝ ΣΕ ΠΟΙΑ ΚΑΤΑΣΤΑΣΙ ΕΥΡΙΣΚΟΝΤΑΙ, ΔΕΝ ΜΠΟΡΟΥΝ ΜΕ ΑΛΛΟ ΤΡΟΠΟ, ΠΑΡΑ ΜΟΝΟΝ ΜΕ ΤΗΝ ΑΠΟΦΥΓΗ ΤΩΝ ΘΕΛΗΜΑΤΩΝ ΤΟΥΣ ΚΑΙ ΔΙ' ΥΠΟΤΑΓΗΣ ΚΑΙ ΗΣΥΧΙΑΣ, ΚΑΙ ΜΑΛΙΣΤΑ ΟΙ ΕΜΠΑΘΕΙΣ

[34.] Εἰ οὖν βουλόμεθα ἰδεῖν ἑαυτούς, ἐν ποίῳ θανατηφόρῳ τρόπῳ ἐσμέν, φύγωμεν τὰ οἰκεῖα θελήματα καὶ τὰ τοῦ βίου πράγματα. Καὶ διὰ τῆς φυγῆς τῶν πάντων σχολάσωμεν ἐμπόνως εἰς τὴν μακαρίαν καὶ κατὰ Θεὸν σχολήν, ζητοῦντες τὴν ἑαυτῶν ψυχὴν ἕκαστος ἐν τῇ μελέτῃ τῶν θείων Γραφῶν, εἴτε ἐν ὑποταγῇ τελείᾳ ψυχῆς τε καὶ σώματος, εἴτε εἰς τὴν πανύμνητον διαγωγὴν τῶν Ἀγγέλων ἡσυχίαν, οἱ ἔτι ἐμπαθεῖς μάλιστα καὶ οἱ ἀκρατεῖς ὄντες περὶ τὰς οἰκείας ὀρέξεις μικράς τε καὶ μεγάλας.

[35.] Κάθου, φησίν, εἰς τὸ κελλίον σου, καὶ αὐτό σε πάντα διδάξει. Καὶ πάλιν· ἡσυχία ἐστὶν ἀρχὴ καθάρσεως ψυχῆς, ὥς φησιν ὁ Μέγας Βασίλειος. Καὶ ὁ Σολομών· περισπασμὸν πονηρὸν ἔδωκεν ὁ

34. Ἂν λοιπὸν θέλωμε νὰ δοῦμε τοὺς ἑαυτούς μας, σὲ ποιὰ θανατηφόρα κατάστασι εἴμαστε, ἂς ἀποφύγωμε τὰ δικά μας θελήματα καὶ τὰ βιοτικὰ πράγματα. Καὶ μὲ τὴν φυγὴ ἀπὸ ὅλα, ἂς ἀφοσιωθοῦμε ἐμπόνως στὴν μακαρία καὶ κατὰ Θεὸν ἀφιέρωσι, ζητώντας ὁ καθένας τὴν δική του ψυχὴ μέσα στὴ μελέτη τῶν θείων Γραφῶν, εἴτε στὴν τέλεια ὑποταγὴ τῆς ψυχῆς καὶ τοῦ σώματος, εἴτε στὸν πανύμνητο Ἀγγελικὸ βίο, δηλαδὴ τὴν ἡσυχία, ὅσοι εἴμαστε ἀκόμη πολὺ ἐμπαθεῖς καὶ ἀκράτητοι στὶς δικές μας ὀρέξεις, στὶς μικρὲς καὶ στὶς μεγάλες.

35. Λέγει «κάθισε στὸ κελλί σου καὶ αὐτὸ θὰ σὲ διδάξῃ τὰ πάντα»[ιζ']. Καὶ πάλι, ἡ ἡσυχία εἶναι ἡ ἀρχὴ τῆς καθάρσεως τῆς ψυχῆς[ιη'], ὅπως λέγει ὁ Μέγας Βασίλειος. Καὶ ὁ Σολομὼν λέγει· «πονηρὸν περισπασμὸν ἔδωκε ὁ

Θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων, φησί, τὸ περισπᾶσθαι ἐν τοῖς ματαίοις[51], ἵνα μὴ ἐκ τῆς ἀλόγου καὶ ἐμπαθοῦς ἀργίας ἐκκλίνωσιν εἰς τὰ χείρονα, δηλαδή. Ὁ δὲ τῶν ἀμφοτέρων κρημνῶν, Θεοῦ χάριτι, ῥυσθείς, καὶ Μοναχὸς γενέσθαι καταξιωθείς, φέρων τε τὸ ἀγγελοειδὲς σχῆμα καὶ μοναδικόν, ὥστε ἐκ τούτου μίμημα Θεοῦ τοῦ μόνου, κατὰ τὸ δυνατόν, ἔργῳ καὶ λόγῳ φανῆναι, ὥς φησιν ὁ Μέγας Διονύσιος, πῶς οὐκ ὀφείλει σχολάζειν ἀεὶ καὶ τῷ νῷ προσέχειν ἐν παντὶ ἐπιτηδεύματι, καὶ ἔχειν μελέτην τινὰ διηνεκῆ κατὰ Θεόν, πρὸς τὴν κατάστασιν ἣν ἔφθασεν; ὥς φασιν οἱ ἅγιοι Πατέρες, ὅ τε Ἐφραὶμ καὶ οἱ λοιποί, πρὸς τοὺς ἀρχαρίους. Ὁ μὲν τὸν ψαλμὸν ἔχειν ἐπὶ τὰ χείλη, ὁ δὲ τὸν στίχον· καὶ ἕτεροι τῷ νῷ ἐν τοῖς ψαλμοῖς καὶ τροπαρίοις προσέχειν, φάσκοντες, τοὺς μήπω καταξιωθέντας ἔτι ἐλθεῖν εἰς θεωρίαν τινά, ἤγουν γνῶσιν· ἵνα μηδόλως ἐκτὸς μελέτης τινὸς εὑρίσκηταί τις, εἴτε ἐργαζόμενος, εἴτε ὁδεύων, εἴτε ἀνακλινόμενος, πρὸ τοῦ ὑπνῶσαι· ἀλλ᾽ ἅμα τῷ πλη-

Θεὸς στοὺς υἱοὺς τῶν ἀνθρώπων, νὰ περισπῶνται στὰ μάταια», δηλαδὴ [τοὺς ἔδωσε πολλοὺς περισπασμούς]· γιὰ νὰ μὴν στρέφωνται στὰ χειρότερα, μὲ τὴν ἄλογη καὶ γεμάτη ἐμπάθεια ἀπραξία. Ἐκεῖνος ὅμως, ὁ ὁποῖος μὲ τὴν Χάρι τοῦ Θεοῦ, σώθηκε καὶ ἀπὸ τοὺς δύο γκρεμοὺς [ἀφ᾽ ἑνὸς τὸν περισπασμὸ καὶ ἀφ᾽ ἑτέρου τὴν ἐμπαθῆ ἀπραξία] καὶ καταξιώθηκε νὰ γίνῃ Μοναχός, φέροντας τὸ Ἀγγελικὸ καὶ μοναδικὸ σχῆμα, ὥστε ἀπὸ αὐτὸ νὰ φανῇ μιμητὴς τοῦ μόνου Θεοῦ, κατὰ τὸ δυνατόν, μὲ ἔργο καὶ λόγο, ὅπως λέγει ὁ Μέγας Διονύσιος, πῶς μπορεῖ νὰ μὴν ἀμεριμνῇ πάντοτε καὶ νὰ κρατᾷ τὸν νοῦ του προσεκτικὸ σὲ κάθε του ἔργο καὶ νὰ ἔχῃ κάποια συνεχῆ κατὰ Θεὸν μελέτη, σύμφωνα μὲ τὴν κατάστασι ποὺ ἔφθασε; Ὅπως λένε οἱ Ἅγιοι Πατέρες, τόσον ὁ Ἐφραὶμ καὶ οἱ λοιποὶ πρὸς τοὺς ἀρχαρίους. Ἄλλος λένε, νὰ ἔχῃ τὸν ψαλμὸν στὰ χείλη, ἄλλος τὸν στίχο· καὶ ἄλλοι νὰ [παρακολουθοῦν] προσεκτικὰ μὲ τὸν νοῦ τοὺς ψαλμοὺς καὶ τὰ τροπάρια, ὅσοι δὲν καταξιώθηκαν ἀκόμη νὰ φθάσουν σὲ κάποια θεωρία[7], δηλαδὴ στὴ γνῶσι, γιὰ νὰ μὴ βρίσκεται κανεὶς μακριὰ ἀπὸ κάποια μελέτη [τῶν θείων], εἴτε ὅταν ἐργάζεται, εἴτε βαδίζῃ, εἴτε ξαπλώνῃ, λίγο πρὶν νὰ κοιμηθῇ· ἀλλὰ μὲ τὸ ποὺ θὰ συμπληρώσῃ

ρῶσαι τὸν ὡρισμένον αὐτῷ κανόνα, εὐθὺς τὸν νοῦν εἴς τινα μελέτην κλεῖσαι δεῖ· ἵνα μὴ ἀργὸν ἐκ θείας μνήμης εὑρὼν ὁ ἐχθρός, προσβάλῃ τὰ αὐτὰ δεινά. Καὶ ταῦτα μὲν πρὸς πάντας εἴρηται. Ὅταν δέ τις διὰ πολλῶν ἀγώνων, σωματικῶν τε ἀρετῶν φημι καὶ ψυχικῶν, εἰς ἐργασίαν πνευματικήν, ἤγουν νοητήν, χάριτι Χριστοῦ, ἀνελθεῖν δυνηθῇ νοερῶς, πρὸς τὸ πενθῆσαι τὴν ἑαυτοῦ ψυχήν, ὀφείλει τὴν φέρουσαν τὰ ἐπίπονα δάκρυα ἔννοιαν, ὡς κόρην ὀφθαλμοῦ φυλάττειν, ὥς φησιν ὁ τῆς Κλίμακος, ἄχρις ἂν τὸ πῦρ καὶ τὸ ὕδωρ ἀναχωρῇ οἰκονομικῶς, διὰ τὴν ἔπαρσιν δηλαδή. Τὸ μὲν πῦρ ἐστιν ὁ καρδιακὸς πόνος καὶ ἡ θερμὴ πίστις· τὸ δὲ ὕδωρ τὰ δάκρυα. Οὐ πᾶσι δὲ ταῦτα δέδοται, φησὶν ὁ Μέγας Ἀθανάσιος, ἀλλὰ τοῖς ὁρᾶν καταξιωθεῖσι τὰ πρὸ θανάτου καὶ μετὰ θάνατον δεινά, διὰ τῆς περὶ τῶν τοιούτων διηνεκοῦς μνήμης ἐν ἡσυχίᾳ, ὥς φησιν Ἡσαΐας, τὸ οὖς ἡσυχαστοῦ ἀκούει ἐξαίσια[52]· καὶ πάλιν, σχολάσατε καὶ γνῶτε[53].

[36.] Αὕτη γὰρ μόνη τὴν

τὸν διορισμένο γι᾽ αὐτὸν κανόνα, ἀμέσως πρέπει νὰ περιορίσῃ τὸν νοῦ του σὲ κάποια [θεία] μελέτη· γιὰ νὰ μὴν τὸν βρῇ ὁ ἐχθρὸς ἀργὸ ἀπὸ τὴ μνήμη τοῦ Θεοῦ καὶ τὸν προσβάλλῃ μὲ τὰ ἴδια δεινά. Καὶ αὐτὰ μὲν πρὸς ὅλους ἔχουν λεχθῆ. Ὅταν ὅμως κάποιος, διὰ πολλῶν ἀγώνων μὲ σωματικὲς καὶ ψυχικὲς ἀρετές, λέγω, μπορέσῃ μὲ τὴν Χάρι τοῦ Χριστοῦ, νὰ ἀνέβῃ νοερὰ σὲ ἐργασία πνευματική, δηλαδὴ νοητή, γιὰ νὰ πενθήσῃ τὴν ψυχή του, ὀφείλει νὰ φυλάσσῃ σὰν κόρη ὀφθαλμοῦ [ἐκεῖνο] τὸν λογισμό, ὁ ὁποῖος τοῦ φέρνει τὰ ἐπίπονα δάκρυα, ὅπως λέγει ὁ [Ἰωάννης] τῆς Κλίμακος[ιθ'], ἕως ὅτου ἡ φωτιὰ καὶ τὸ νερό, κατ᾽ οἰκονομίαν ὑποχωρήσῃ, δηλαδὴ [νὰ ἀποφύγῃ] τὴν ἔπαρσι. Ἡ μὲν φωτιὰ εἶναι ὁ πόνος τῆς καρδίας καὶ ἡ θερμὴ πίστι· τὸ δὲ νερὸ τὰ δάκρυα. Αὐτὰ ὅμως δὲν ἔχουν δοθῆ σὲ ὅλους, λέγει ὁ Μέγας Ἀθανάσιος[κζ'], ἀλλὰ σὲ ὅσους ἀξιώθηκαν νὰ δοῦν τὰ πρὶν καὶ τὰ μετὰ τὸν θάνατο δεινά, μὲ τὴν συνεχῆ [τους] ἐνθύμησι [ἐνῶ εἶναι] στὴν ἡσυχία, ὅπως λέγει ὁ Ἡσαΐας, «τὸ αὐτὶ τοῦ ἡσυχαστῆ ἀκούει ἐξαίσια» [συλλαμβάνει τὰ ὑπερφυσικὰ] καὶ πάλιν «σχολάσατε καὶ γνωρίσατε».

36. Διότι αὐτὴ [ἡ ἡσυχία] μόνη

γνῶσιν τοῦ Θεοῦ γεννᾶν πέφυκεν, ὡς μάλιστα βοηθῆσαι δυναμένη καὶ τοῖς λίαν ἐμπαθέσι καὶ ἀσθενεστέροις, διὰ τῆς ἀπερισπάστου διαγωγῆς καὶ φυγῆς τῶν ἀνθρώπων καὶ τῶν σκοτιζουσῶν τὸν νοῦν συντυχιῶν καὶ μεριμνῶν, οὐ μόνων τῶν βιωτικῶν, ἀλλὰ καὶ τῶν μηδαμινῶν καὶ τῶν δοκουμένων ἀναμαρτήτων· ὥς φησιν ὁ τῆς Κλίμακος, μικρὰ θρὶξ ἐτάραξεν ὀφθαλμόν, καὶ τὰ ἑξῆς. Καὶ ὁ Ἅγιος Ἰσαάκ· μὴ νομίζῃς ὅτι τὸ ἔχειν χρυσίον ἢ ἀργύριον μόνον ἐστὶ φιλαργυρία, ἀλλ' εἴ τινα [recte: ἀλλ' εἰ εἴς τινα][η'] δι' ἂν ὁ λογισμὸς πρόσκειται. Καὶ ὁ Κύριος φησίν· Ὅπου ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν[54]· εἴτε ἐν τοῖς θείοις, εἴτε ἐν τοῖς γηΐνοις πράγμασι καὶ νοήμασι. [37.] Διά τοι τοῦτο πᾶσι μὲν προσήκει ἡ ἀμεριμνία καὶ τὸ κατὰ Θεὸν σχολάζειν· εἴτε ἐκ μέρους οἱ βιωτικοί, ὡς εἴρηται, ἵνα κατὰ μικρὸν ἔλθωσιν εἰς φρόνησιν καὶ γνῶσιν πνευματικήν· εἴτε οἱ δυνάμενοι ὁλοκλήρως σχολάζειν καὶ πᾶσαν μέριμναν ἔχειν, εὐαρεστῆσαι Θεῷ· ἵνα ἴδῃ ὁ Θεὸς τὴν προαίρεσιν αὐ-

της ἀπὸ τὴ φύσι της, γεννᾶ τὴν γνῶσι τοῦ Θεοῦ, ἐπειδὴ μπορεῖ νὰ βοηθήσῃ οὐσιαστικὰ καὶ τοὺς πολὺ ἐμπαθεῖς καὶ τοὺς πιὸ ἀδύνατους, μὲ τὸν ἀπερίσπαστο βίο καὶ τὴν ἀποφυγὴ τῶν ἀνθρώπων καὶ τῶν συναναστροφῶν καὶ φροντίδων, οἱ ὁποῖες σκοτίζουν τὸν νοῦ, ὄχι μόνο γιὰ τὰ βιοτικά, ἀλλὰ καὶ γιὰ τὰ πιὸ μικρὰ καὶ γιὰ αὐτὰ [ἀκόμη] ποὺ μᾶς φαίνονται ὅτι δὲν εἶναι ἁμαρτωλά· ὅπως λέγει ὁ [Ἰωάννης] τῆς Κλίμακος[κ'], [ὅτι] μιὰ μικρὴ τρίχα ἐρεθίζει τὸ μάτι καὶ τὰ λοιπά. Καὶ ὁ Ἅγιος Ἰσαάκ[κα']· μὴ νομίζῃς ὅτι φιλαργυρία εἶναι μόνον τὸ νὰ ἔχῃ κάποιος χρυσὸ ἢ ἀσήμι, ἀλλὰ σὲ ὁτιδήποτε προσκολλᾶται ὁ λογισμός. Καὶ ὁ Κύριος λέγει, «ὅπου ὁ θησαυρός σας, ἐκεῖ εἶναι καὶ ἡ καρδία σας», εἴτε [εἶναι] στὰ θεῖα, εἴτε στὰ γήϊνα πράγματα καὶ νοήματα.

37. Γι' αὐτὸ λοιπόν, σ' ὅλους ἁρμόζει ἡ ἀμεριμνησία καὶ ἡ κατὰ Θεὸν ἡσυχία· εἴτε ἐν μέρει στοὺς κοσμικούς, ὅπως ἔχει λεχθῆ, γιὰ νὰ ἔρθουν σιγὰ σιγὰ σὲ φρόνησι καὶ πνευματικὴ γνῶσι· εἴτε σ' ἐκείνους, οἱ ὁποῖοι ἐξ ὁλοκλήρου μποροῦν νὰ ἀφοσιώνωνται στὸ Θεὸ καὶ νὰ καταβάλλουν κάθε τους φροντίδα στὸ νὰ εὐαρεστήσουν τὸν Θεό. Γιὰ νὰ ἰδῇ ὁ Θεὸς τὴν προαίρεσιν αὐτῶν καὶ

τῶν καὶ χαρίσηται αὐτοῖς τὴν ἀνάπαυσιν διὰ τῆς πνευματικῆς γνώσεως καὶ φθάσαι αὐτοὺς ποιήσῃ εἰς τὸ μελετᾶν τὴν πρώτην θεωρίαν, πρὸς τὸ κτήσασθαι συντριμμὸν ψυχῆς ἀμύθητον καὶ γενέσθαι τῷ πνεύματι πτωχοί[55]*. Καὶ οὕτω κατὰ μικρὸν εἰς τὰς λοιπὰς θεωρίας ἀνάγων αὐτούς, τῆς τῶν μακαρισμῶν φυλακῆς καταξιώσει αὐτούς, ἄχρις ἂν εἰς τὴν εἰρήνην τῶν λογισμῶν φθάσωσιν, ἥτις ἐστὶ τόπος Θεοῦ, φησὶν ὁ Ἅγιος Νεῖλος, λαβὼν τὴν χρῆσιν ἐκ τοῦ ψαλτηρίου. Καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ*[56]*.*

νὰ χαρίσῃ σ᾽ αὐτοὺς τὴν ἀνάπαυσι, μὲ τὴν πνευματικὴ γνῶσι καὶ νὰ τοὺς καταστήσῃ [ἀξίους] νὰ φθάσουν στὴ μελέτη τῆς πρώτης θεωρίας, γιὰ νὰ ἀποκτήσουν ἀνέκφραστη συντριβὴ ψυχῆς καὶ νὰ γίνουν «πτωχοὶ τῷ πνεύματι». Καὶ ἔτσι σιγὰ σιγά, ἀνεβάζοντας αὐτοὺς στὶς λοιπὲς θεωρίες, θὰ τοὺς ἀξιώσῃ νὰ φυλάξουν τοὺς Μακαρισμούς, ἕως ὅτου φθάσουν στὴν εἰρήνη τῶν λογισμῶν, ἡ ὁποία εἶναι ὁ τόπος τοῦ Θεοῦ, [ὅπως] λέγει ὁ Ἅγιος Νεῖλος[κβ'], ἀφοῦ χρησιμοποιήσουν [συμβολικὰ τοὺς λόγους] τοῦ Ψαλτηρίου· «καὶ ὁ τόπος [διαμονὴ] αὐτοῦ ἦταν στὴν εἰρήνη».

ΠΕΡΙ ΤΩΝ ΟΚΤΩ ΝΟΗΤΩΝ ΘΕΩΡΙΩΝ

[38.] Αἱ δὲ πνευματικαὶ θεωρίαι, ὡς οἶμαι, ὀκτώ εἰσι. Καὶ αἱ μὲν ἑπτά, τοῦ αἰῶνος τούτου εἰσίν, ἡ δὲ ὀγδόη, τοῦ μέλλοντος αἰῶνος ἐστιν ἐργασία, ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ. [39.] Πρώτη οὖν ἐστὶν ἡ γνῶσις τῶν τοῦ βίου τούτου θλίψεων καὶ πειρασμῶν, ὥς φησιν ὁ Ἅγιος Δωρόθεος, καὶ πᾶσαν λυπεῖται ζημίαν, ἣν ἔπαθεν ἡ ἀν-

38. Οἱ πνευματικὲς θεωρίες, κατὰ τὴ γνώμη μου, εἶναι ὀκτώ. Καὶ οἱ μὲν ἑπτὰ εἶναι τοῦ παρόντος αἰῶνος· ἡ δὲ ὀγδόη εἶναι ἐργασία τοῦ μέλλοντος αἰῶνος, ὅπως λέγει ὁ Ἅγιος Ἰσαάκ[κγ'].

39. Πρώτη λοιπὸν εἶναι ἡ γνῶσις τῶν θλίψεων καὶ τῶν πειρασμῶν τῆς παρούσης ζωῆς, ὅπως λέγει ὁ Ἅγιος Δωρόθεος[κδ'] καὶ ἡ λύπη γιὰ ὅλη τὴ βλάβη, τὴν ὁποία ὑπέστη ἡ ἀνθρώπι-

θρώπινος φύσις ἀπὸ τῆς ἁμαρτίας.

[40.] Δευτέρα, ἡ γνῶσις τῶν ἡμετέρων πταισμάτων καὶ τῶν τοῦ Θεοῦ εὐεργεσιῶν, ὥς φησιν ὁ τῆς Κλίμακος, ὁ Ἅγιος Ἰσαὰκ καὶ ἄλλοι πολλοὶ τῶν πατέρων.

[41.] Τρίτη, ἡ γνῶσις τῶν πρὸ τοῦ θανάτου καὶ μετὰ θάνατον δεινῶν, ὡς ἐν ταῖς θείαις Γραφαῖς.

[42.] Τετάρτη, ἡ κατανόησις τῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διαγωγῆς ἐν τῷ κόσμῳ τούτῳ καὶ τῶν μαθητῶν αὐτοῦ καὶ τῶν λοιπῶν ἁγίων μαρτύρων τε καὶ ὁσίων πατέρων τὰ ἔργα καὶ λόγια.

[43.] Πέμπτη, ἡ γνῶσις τῶν πραγμάτων φύσεώς τε καὶ ἀλλοιώσεως, ὥς φασιν οἱ ἅγιοι πατέρες, ὅ τε Γρηγόριος καὶ ὁ Δαμασκηνός.

[44.] Ἕκτη, ἡ θεωρία τῶν ὄντων, δηλαδὴ ἡ γνῶσις καὶ κατανόησις τῶν αἰσθητῶν κτισμάτων τοῦ Θεοῦ.

[45.] Ἑβδόμη, ἡ κατανόησις τῶν νοητῶν κτισμάτων τοῦ Θεοῦ.

[46.] Ὀγδόη, ἡ περὶ Θεοῦ γνῶσις, ἡ λεγομένη Θεολογία.

[47.] Αὗται οὖν αἱ ὀκτὼ θε-

νη φύσι ἀπὸ τὴν ἁμαρτία.

40. Δευτέρα [εἶναι] ἡ γνῶσις τῶν δικῶν μας ἁμαρτημάτων καὶ τῶν εὐεργεσιῶν τοῦ Θεοῦ, ὅπως λέγει ὁ [Ἰωάννης] τῆς Κλίμακος[κε'], ὁ Ἅγιος Ἰσαὰκ[κστ'] καὶ ἄλλοι πολλοὶ ἀπὸ τοὺς Πατέρες.

41. Τρίτη [εἶναι] ἡ γνῶσις τῶν δεινῶν, τῶν πρὶν καὶ [τῶν] μετὰ θάνατον, ὅπως [ἀναφέρονται] στὶς θεῖες Γραφές.

42. Τετάρτη [εἶναι] ἡ κατανόησις [μελέτη] τοῦ βίου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς τὸν κόσμο αὐτόν, [καθὼς] καὶ τῶν μαθητῶν Του, καὶ τὰ ἔργα καὶ οἱ λόγοι τῶν μετέπειτα ἁγίων καὶ τῶν μαρτύρων καὶ τῶν ὁσίων Πατέρων.

43. Πέμπτη [εἶναι] ἡ γνῶσις τῆς φύσεως καὶ τῆς ἀλλοιώσεως τῶν πραγμάτων [τοῦ κόσμου], ὅπως λέγουν οἱ Ἅγιοι Πατέρες καὶ ὁ Γρηγόριος καὶ ὁ Δαμασκηνός.

44. Ἕκτη [εἶναι] ἡ θεωρία τῶν ὄντων, δηλαδὴ ἡ γνῶσις καὶ [ἡ] ἀντίληψις τῶν αἰσθητῶν κτισμάτων τοῦ Θεοῦ.

45. Ἑβδόμη [εἶναι] ἡ κατανόησις τῶν νοητῶν κτισμάτων τοῦ Θεοῦ.

46. Ὀγδόη ἡ περὶ Θεοῦ γνῶσις, ἡ ὁποία ὀνομάζεται Θεολογία.

47. Αὐτὲς λοιπὸν εἶναι οἱ ὀκτὼ

ωρίαι. Αἱ μὲν τρεῖς πρέπουσι τῷ ἔτι πρακτικῷ, ἵνα διὰ πολλῶν δακρύων καὶ πικρῶν καθάραι τὴν ἑαυτοῦ ψυχὴν ἐκ πάντων τῶν παθῶν δυνηθῇ· καὶ κατὰ χάριν δέχεται παρὰ Θεοῦ τὰς λοιπάς.

[48.] Αἱ δὲ πέντε τῷ θεωρητικῷ, ἤτοι γνωστικῷ, διὰ τὸ καλῶς τάς τε σωματικὰς πράξεις καὶ ἠθικάς, δηλαδὴ ψυχικάς, φυλάττειν καὶ ποιεῖν ἀεί· ἐξ ὧν τῆς τῶν τοιούτων αἰσθήσεως ἐναργῶς καταξιοῦται καὶ νοερῶς. Ἀπὸ γὰρ τῆς πρώτης λαμβάνει τὴν ἀρχὴν τῆς γνώσεως ὁ πρακτικός, καὶ ὅσον ἔκτοτε ἐπιμελεῖται τὴν ἐργασίαν καὶ ἐν τοῖς διδομένοις αὐτῷ νοήμασι μελετᾷ καὶ προκόπτει ἐν αὐτοῖς· ἄχρις ἂν εἰς ἕξιν τῶν τοιούτων ἔλθοι καὶ οὕτως αὐτομάτως ἡ ἄλλη γνῶσις ἔρχεται ἐν τῷ νοΐ. Ὡσαύτως καὶ αἱ λοιπαί.

Ἀλλ᾽ ἵνα εὔδηλον γένηται τὸ λεγόμενον, ἐκ μέρους ἐρῶ, εἰ καὶ οὐ δύναμαι λέγειν, περὶ ἑκάστης θεωρίας· καὶ τί εἰσι τὰ κατανοούμενα καὶ λεγόμενα, ἵνα ἀφορμὴν εὕρωμεν πρὸς τὸ γνῶναι ἡμᾶς, τὸ πῶς ὀφείλομεν ποιεῖν, ὅταν ἡ χάρις ἄρχηται ἀνοίγειν τοὺς ὀφθαλμοὺς

θεωρίες. Οἱ μὲν τρεῖς ἁρμόζουν σ᾽ αὐτόν, [ποὺ εἶναι] ἀκόμα πρακτικός, γιὰ νὰ μπορέσῃ μὲ πολλὰ καὶ πικρὰ δάκρυα νὰ καθαρίσῃ τὴν ψυχή του ἀπὸ ὅλα τὰ πάθη. Καὶ [ἔτσι] νὰ δέχεται τὶς ὑπόλοιπες κατὰ Χάρι, [ἀπ᾽ εὐθείας] ἀπὸ τὸν Θεό.

48. Οἱ δὲ ἄλλες πέντε [ἁρμόζουν] στὸν θεωρητικό, δηλαδὴ τὸν γνωστικό, διότι φυλάσσει καὶ ἐκτελεῖ πάντοτε καλῶς καὶ τὶς σωματικὲς καὶ τὶς ἠθικὲς πράξεις, δηλαδὴ τὶς ψυχικές· ἐκ τῶν ὁποίων καταξιώνεται νὰ συναισθανθῇ νοερῶς καὶ μὲ σαφήνεια [τὶς πέντε θεωρίες]. Διότι ἀπὸ τὴν πρώτη, ὁ πρακτικὸς παίρνει τὴν ἀρχὴ τῆς γνώσεως καὶ ὅσο εἰς τὸ ἑξῆς ἐπιμελεῖται τὴν ἐργασία καὶ μελετᾶ τὰ νοήματα, τὰ ὁποῖα δίδονται σ᾽ αὐτὸν [ἀπὸ τὴν Χάρι τοῦ Θεοῦ], [τόσον] προκόπτει σ᾽ αὐτά· μέχρις ὅτου φθάσῃ νὰ τὰ [οἰκειοποιηθῇ] μὲ τήν συνήθεια κι ἔτσι αὐτομάτως ἔρχεται στὸ νοῦ ἡ ἄλλη γνῶσι. Κατὰ τὸν ἴδιο τρόπο [ἀποκτῶνται] καὶ οἱ λοιπὲς [θεωρίες].

Γιὰ νὰ γίνῃ πιὸ φανερὸ αὐτὸ ποὺ λέγω, ἂν καὶ δὲν ἔχω τὴν δύναμι τοῦ λόγου, θὰ μιλήσω [ἔστω καὶ] ἐν μέρει γιὰ κάθε θεωρία [χωριστά]· καὶ [θὰ ἀναφέρω] ποιὰ εἶναι αὐτὰ ποὺ κατανοοῦνται καὶ λέγονται, γιὰ νὰ βροῦμε ἀφορμὴ νὰ μάθωμε, πῶς ὀφείλομε νὰ ἐνεργοῦμε, ὅταν ἡ Χάρις ἀρχίζῃ νὰ διανοίγῃ τοὺς ὀφθαλμοὺς τῆς ψυ-

τῆς ψυχῆς εἰς τὸ κατανοεῖν καὶ ἐκπλήττεσθαι ἐκ τῶν νοημάτων καὶ ῥημάτων τῶν δυναμένων οἰκῆσαι [recte: οἰκίσαι][θ'] *ἐν ἡμῖν τὸν φόβον, ὡς προείρηται, ἤτοι τὸν συντριμμὸν τῆς ψυχῆς.*

χῆς, [εἰς τὸ] νὰ κατανοῇ καὶ νὰ θαυμάζῃ ἀπὸ τὰ νοήματα καὶ τοὺς λόγους, ποὺ ἔχουν τὴν δύναμι νὰ ἑδραιώσουν μέσα μας τὸν φόβο τοῦ Θεοῦ, δηλαδὴ τὴν συντριβὴ τῆς ψυχῆς, ὅπως προείπαμε.

ΠΕΡΙ ΤΗΣ ΠΡΩΤΗΣ ΓΝΩΣΕΩΣ ΑΝΑΓΚΑΙΑ ΔΗΛΩΣΙΣ ΚΑΙ ΟΠΩΣ ΔΕΙ ΑΡΞΑΣΘΑΙ ΤΑΥΤΗΣ

ΠΕΡΙ ΤΗΣ ΠΡΩΤΗΣ ΓΝΩΣΕΩΣ ΑΝΑΓΚΑΙΑ ΔΗΛΩΣΙΣ ΚΑΙ ΟΠΩΣ ΠΡΕΠΕΙ ΝΑ ΑΡΧΙΖΩΜΕ ΑΥΤΗΝ

[49.] Πρώτη γνῶσις, δι᾽ ἧς δίδονται αἱ λοιπαὶ τῷ προαιρουμένῳ. Ὁ οὖν καταξιωθεὶς εἰς ταύτην ἐλθεῖν, οὕτω ποιεῖν ὀφείλει. Καθίσαι κατὰ ἀνατολάς, ὥσπερ ποτὲ ὁ Ἀδάμ, καὶ μελετᾶν οὕτως. Ἐκάθισεν Ἀδὰμ τότε καὶ ἔκλαυσεν ἀπέναντι τῆς τρυφῆς τοῦ Παραδείσου, χερσὶ τύπτων τὰς ὄψεις καὶ ἔλεγεν· ἐλεῆμον, ἐλέησόν με τὸν παραπεσόντα. Ὡσαύτως καὶ τὸν ἄλλον οἶκον· Ἰδὼν Ἀδὰμ τὸν Ἄγγελον ὠθήσαντα καὶ κλείσαντα τὴν τοῦ θείου κήπου θύραν, ἀνεστέναξε μέγα καὶ ἔλεγεν· ἐλεῆμον, ἐλέησόν με τὸν παραπεσόντα. Ἔπειτα κατανοῶν τὰ γινόμενα, τότε ἄρχεται τὸν θρῆνον οὕτω, στενάζων ἐξ ὅλης ψυχῆς, καὶ σείων τὴν κεφαλὴν αὐτοῦ, λέ-

49. Πρώτη γνῶσις [εἶναι] ἐκείνη, μέσῳ τῆς ὁποίας δίδονται οἱ λοιπὲς σὲ ὅποιον ἔχει τὴν προαίρεσι. Αὐτὸς λοιπὸν ποὺ ἀξιώθηκε νὰ φθάσῃ σ᾽ αὐτήν, μ᾽ αὐτὸν τὸν τρόπο ὀφείλει νὰ ἐνεργῇ· νὰ καθίσῃ δηλαδή, ὅπως κάποτε ὁ Ἀδάμ, στραμμένος πρὸς τὴν ἀνατολὴ καὶ νὰ μελετᾷ ὡς ἑξῆς: «Ἐκάθισε τότε ὁ Ἀδὰμ ἀπέναντι ἀπὸ τὴν τρυφὴ τοῦ παραδείσου καὶ ἔκλαψε, χτυπώντας τὸ πρόσωπό του μὲ τὰ χέρια του καὶ ἔλεγε: Ἐλεῆμον, ἐλέησόν με τὸν παραπεσόντα»[κζ']. Ἐπίσης καὶ τὰ ὑπόλοιπα ἀπὸ τὸν Οἶκον[κη']. «Ὅταν ὁ Ἀδὰμ εἶδε τὸν Ἄγγελο, ὁ ὁποῖος ἔσπρωξε καὶ ἔκλεισε τὴν θύρα τοῦ θείου κήπου [τοῦ Παραδείσου], ἀναστέναξε βαθιὰ καὶ ἔλεγε: Ἐλεῆμον, ἐλέησόν με τὸν παραπεσόντα». Ἔπειτα, ἀφοῦ συναισθανθῇ ὅσα ἔγιναν, ἀρχίζει τότε τὸν θρῆνο μὲ αὐτὸν τὸν τρόπο, στενάζοντας ἐκ βάθους ψυχῆς καὶ κινώντας τὸ κεφάλι του,

γει μετὰ πόνου καρδίας.

[50.] Οἴμοι τῷ ἁμαρτωλῷ, τί ἔπαθον; οἴμοι, τί ἤμην καὶ τί γέγονα; οἴμοι, τί ἀπώλεσα καὶ τί εὗρον; ἀντὶ τοῦ Παραδείσου τὸν φθαρτὸν τοῦτον κόσμον. Ἀντὶ τοῦ Θεοῦ καὶ τῆς μετὰ Ἀγγέλων διαγωγῆς, τὸν διάβολον καὶ τοὺς ἀκαθάρτους δαίμονας. Ἀντὶ τῆς ἀναπαύσεως, τὸν κόπον· ἀντὶ τῆς ἀπολαύσεως καὶ τῆς χαρᾶς, τὴν τοῦ κόσμου θλῖψιν καὶ λύπην· ἀντὶ τῆς εἰρήνης καὶ ἀλήκτου εὐφροσύνης, τὸν φόβον καὶ τὰ ἐπίπονα δάκρυα· ἀντὶ τῶν ἀρετῶν καὶ τῆς δικαιοσύνης, τὰς ἀδικίας καὶ τὰς ἁμαρτίας· ἀντὶ τῆς ἀγαθότητος καὶ τῆς ἀπαθείας, τὴν πονηρίαν καὶ τὰ πάθη· ἀντὶ τῆς σοφίας καὶ τῆς εἰς Θεὸν οἰκειώσεως, τὴν ἀγνωσίαν καὶ τὴν ἐξορίαν· ἀντὶ τῆς ἀμεριμνίας καὶ ἐλευθερίας, τὴν πολυμέριμνον ζωὴν καὶ κακίστην δουλείαν. Οἴμοι, οἴμοι. Πῶς βασιλεὺς ἐκτίσθην καὶ δοῦλος τοῖς πάθεσιν ἐν τῇ ἀφροσύνῃ μου γέγονα· οὐαί μοι τῷ ἀθλίῳ, πῶς ἀντὶ ζωῆς τὸν θάνατον ἐσπασάμην διὰ τῆς παρακοῆς· αἴ, αἴ· οἴμοι, οἴμοι· τί ἔπαθον ὁ ταλαίπωρος τῇ ἀβουλίᾳ· τί

λέγει μὲ πόνο καρδίας.

50. Ἀλλοίμονο σὲ μένα τὸν ἁμαρτωλό, τὶ ἔπαθα; Ἀλλοίμονο τί ἤμουν καὶ τί ἔχω γίνει; Ἀλλοίμονο τί ἔχασα καὶ τί βρῆκα; Ἀντὶ τοῦ Παραδείσου [βρῆκα] τὸν φθαρτὸ τοῦτο κόσμο· ἀντὶ τοῦ Θεοῦ καὶ τῆς συναναστροφῆς μὲ τοὺς Ἀγγέλους, [βρῆκα] τὸν διάβολο καὶ τοὺς ἀκαθάρτους δαίμονες· ἀντὶ τῆς ἀναπαύσεως, τὸν κόπο· ἀντὶ τῆς ἀπολαύσεως καὶ τῆς χαρᾶς, τὴν θλῖψι καὶ τὴν λύπη τοῦ κόσμου· ἀντὶ τῆς εἰρήνης καὶ τῆς ἀτελευτήτου εὐφροσύνης, τὸν φόβο καὶ τὰ ἐπίπονα δάκρυα· ἀντὶ τῶν ἀρετῶν καὶ τῆς δικαιοσύνης, τὶς ἀδικίες καὶ τὶς ἁμαρτίες· ἀντὶ τῆς ἀγαθότητος καὶ τῆς ἀπαθείας, τὴν πονηρία καὶ τὰ πάθη· ἀντὶ τῆς σοφίας καὶ τῆς οἰκειότητος μὲ τὸν Θεό, τὴν ἀγνωσία καὶ τὴν ἐξορία· ἀντὶ τῆς ἀμεριμνησίας καὶ ἐλευθερίας, τὴν γεμάτη μέριμνες ζωὴ καὶ τὴν χειρότερη δουλεία. Ἀλλοίμονο, ἀλλοίμονο, πῶς δημιουργήθηκα βασιλεὺς καὶ ἔχω γίνει δοῦλος στὰ πάθη μὲ τὴν ἀνοησία μου. Ἀλλοίμονο σὲ μένα τον ἄθλιο· πῶς ἀντὶ τῆς ζωῆς ἐσύρθηκα βιαίως στὸν θάνατο μὲ τὴν παρακοή [μου]. Ἀχ, ἄχ, ἀλλοίμονο, ἀλλοίμονο· τί ἔπαθα ὁ ταλαίπωρος μὲ τὴν ἀπερισκεψία μου! Τί

ποιήσω; ἔνθεν μάχαι καὶ ἔνθεν ταραχαί· ἔνθεν νοσήματα καὶ ἔνθεν πειρασμοί· ἔνθεν κίνδυνοι καὶ ἔνθεν ναυάγια· ἔνθεν φόβοι καὶ ἔνθεν λύπαι· ἔνθεν πάθη καὶ ἔνθεν ἁμαρτίαι· ἔνθεν πικρίαι καὶ ἔνθεν στενοχωρίαι· οὐαί μοι τῷ ἀθλίῳ, τί ποιήσω; ποῦ φύγω; στενά μοι πάντα[57], ὥς φησιν ἡ Σωσάννα. Τί αἰτήσασθαι οὐκ ἐπίσταμαι· ἂν γὰρ ζωὴν αἰτήσωμαι, φοβοῦμαι τοὺς πειρασμοὺς τοῦ βίου καὶ τὰς αὐτοῦ μεταβολὰς καὶ τὰ συναντήματα. Ὁρῶ τὸν Ἄγγελον σατᾶν, τὸν ὡς πρωῒ ἑωσφόρον ἀνατέλλοντα[58], διάβολον γενόμενον καὶ λεγόμενον· τὸν πρωτόπλαστον, ἐξόριστον[59]· τὸν Κάιν, ἀδελφοκτόνον[60]· τὸν Χαναάν, κεκατηραμένον[61]· τοὺς Σοδομίτας, πυρικαύστους[62]· τὸν Ἡσαῦ, ἔκπτωτον[63]· τοὺς Ἰσραηλίτας, ὀργιζομένους[64]· τὸν Γιεζῆ[65] καὶ Ἰούδαν[66] τὸν Ἀπόστολον, ἐκπτώτους, φιλαργυρίαν νοσήσαντας· τὸν μέγαν Προφήτην καὶ βασιλέα, ἐπὶ δυσὶν ἁμαρτήμασι πενθοῦντα[67]· τὸν Σολομῶντα μετὰ τῆς τοσαύτης σοφίας, ἔκπτωτον[68]· τοὺς ἐκ τῶν ἑπτὰ Διακόνων καὶ τεσσαράκοντα

θὰ κάνω; Ἀπὸ ἐδῶ μάχες καὶ ἀπὸ ἐκεῖ ταραχές· ἀπὸ ἐδῶ ἀρρώστιες καὶ ἀπὸ ἐκεῖ πειρασμοί· ἀπὸ ἐδῶ κίνδυνοι καὶ ἀπὸ ἐκεῖ ναυάγια· ἀπὸ ἐδῶ φόβοι καὶ ἀπὸ ἐκεῖ λύπες· ἀπὸ ἐδῶ πάθη καὶ ἀπὸ ἐκεῖ ἁμαρτίες· ἀπὸ ἐδῶ πίκρες καὶ ἀπὸ ἐκεῖ στενοχώριες· ἀλλοίμονο σὲ μένα τὸν ἄθλιο, τί νὰ κάνω; Ποῦ νὰ φύγω; Ἀπὸ παντοῦ στενά, ὅπως λέγει ἡ Σωσάννα. Δὲν γνωρίζω τί νὰ ζητήσω· γιατὶ ἂν ζητήσω ζωὴ [μακροζωΐα], φοβοῦμαι τοὺς πειρασμοὺς τοῦ βίου καὶ τὶς μεταβολὲς καὶ τὰ ὅσα συναντᾶ κανείς. Βλέπω τὸν ἄγγελο σατανᾶ, ὁ ὁποῖος [ἦταν] σὰν τὸν Αὐγερινό, [ποὺ] ἀνατέλλει τὸ πρωΐ, νὰ γίνεται καὶ νὰ ὀνομάζεται διάβολος· [βλέπω] τὸν πρωτόπλαστο, ἐξόριστο· τὸν Κάϊν, ἀδελφοκτόνο· τὸν Χαναάν, καταραμένο, τοὺς Σοδομίτας, καμένους μὲ φωτιά. Τὸν Ἡσαῦ, ἔκπτωτο, τοὺς Ἰσραηλίτες, στὴν ὀργὴ [τοῦ Θεοῦ], τὸν Γιεζῆ καὶ τὸν Ἰούδα τὸν Ἀπόστολο, [νὰ γίνωνται] ἔκπτωτοι, ἐπειδὴ εἶχαν τὴν νόσο τῆς φιλαργυρίας· τὸν μεγάλο Προφήτη καὶ Βασιλέα [Δαβίδ], νὰ πενθῇ γιὰ δύο ἁμαρτήματα, τὸν Σολομῶντα, μὲ τόση μεγάλη σοφία, ἔκπτωτο· [βλέπω] ἐκπτώτους, [ἕναν] ἀπὸ τοὺς ἑπτὰ διακόνους[κθ΄] καὶ [ἕναν] ἀπὸ τοὺς Σαράντα μάρ-

Μαρτύρων ἐκπτώτους, ὥς φησιν ὁ Μέγας Βασίλειος. Γεγηθὼς ὁ ἀρχέκακος ἥρπασεν ἐκ τῆς δωδεκάδος Ἰούδαν τὸν δείλαιον· ἐκ τῆς Ἐδέμ, τὸν ἄνθρωπον· καὶ τῆς τεσσαρακοντάδος, τὸν ἔκπτωτον. Ὃν θρηνῶν ὁ αὐτὸς πάλιν φησί· ματαιόφρων καὶ θρήνων ἐπάξιος, ὅς τις τῶν ζωῶν ἀμφοτέρων διήμαρτε, διὰ πυρὸς γὰρ λέλυται καὶ πρὸς πῦρ ἐξεδήμησεν ἄσβεστον· καὶ πολλοὺς ἄλλους, ὧν οὐκ ἔστιν ἀριθμός, ἐκπτώτους· οὐ μόνον ἀπίστους, ἀλλὰ καὶ ἀπὸ τῶν Πατέρων πλείονας μετὰ πολλῶν ἱδρώτων. [51.] Τίς γάρ εἰμι ἐγώ, ὁ καὶ πάντων χείρων καὶ ἀναισθητότερος καὶ ἀσθενέστερος; τί εἴπω ἐμαυτὸν ἆρα; Ἐπειδὴ Ἀβραὰμ γῆν εἶναι λέγει ἑαυτὸν καὶ σποδόν[69]· Δαδὶβ, Κύνα τεθνεῶτα[70] καὶ ψιλὸν [recte: ψυλλὸν] ἐν τῷ Ἰσραήλ[71]. Σολομὼν παιδάριον μικρόν, μὴ γινῶσκον δεξιὰ ἢ ἀριστερά[72]· οἱ τρεῖς Παῖδες, αἰσχύνη καὶ ὄνειδος ἐγεννήθημέν[73] φασιν· Ἡσαΐας ὁ Προφήτης, ὢ Τάλας εἰμὶ ἐγώ[74] φησιν· Ἀβακοὺμ ὁ Προφήτης καὶ ἐγώ εἰμι νεώτερός[75] φησιν. Ὁ Ἀπόστολος, πρῶτον εἶ-

τυρες[λ΄], ὅπως λέγει ὁ Μέγας Βασίλειος[λα΄]· καὶ [βλέπω πῶς] μὲ χαρὰ ἅρπαξε ὁ ἀρχέκακος [διάβολος] ἀπὸ τοὺς δώδεκα, τὸν Ἰούδα τὸν ταλαίπωρο· ἀπὸ τὴν Ἐδέμ, τὸν ἄνθρωπο καὶ ἀπὸ τοὺς Σαράντα [μάρτυρες], τὸν ἔκπτωτο· τὸν ὁποῖο πάλι θρηνώντας ὁ ἴδιος λέγει: ὁ ἀνόητος καὶ ἀξιοθρήνητος, ὁ ὁποῖος ἔχασε καὶ τὶς δύο ζωὲς [καὶ τὴν παροῦσα καὶ τὴν μέλλουσα], διότι μὲ τὴν [ἐδῶ] φωτιὰ ἔχει διαλυθῆ [τὸ σῶμα του], καὶ [ἡ ψυχή του] ἀπεδήμησε στὸ ἄσβεστο [αἰώνιο] πῦρ· καὶ πολλοὺς ἄλλους ἀναριθμήτους [βλέπω], οἱ ὁποῖοι ἐξέπεσαν· ὄχι μόνο [ἀπὸ τοὺς] ἀπίστους, ἀλλὰ καὶ πάρα πολλοὺς ἀπὸ τούς, μὲ πολλοὺς ἱδρῶτες, Πατέρες.

51. Διότι ποιὸς εἶμαι ἐγώ, ὁ χειρότερος ἀπὸ ὅλους καὶ ὁ πιὸ ἀναίσθητος καὶ πιὸ ἀδύνατος; Ἆραγε τί νὰ πῶ γιὰ τὸν ἑαυτόν μου; Ἐνῶ ὁ Ἀβραὰμ λέγει γιὰ τὸν ἑαυτόν του, ὅτι εἶναι «χῶμα καὶ στάχτη»· ὁ Δαβὶδ [λέγει ὅτι εἶναι], ψόφιος «σκύλος καὶ ψύλλος μέσα στὸ Ἰσραήλ»· ὁ Σολομών, «μικρὸ παιδὶ τὸ ὁποῖο δὲν γνωρίζει [τί εἶναι ἡ] δεξιὰ καὶ τί [ἡ] ἀριστερά»· οἱ τρεῖς Παῖδες λέγουν, [ὅτι] «γίναμε ντροπὴ καὶ ὄνειδος»· ὁ Ἠσαΐας ὁ Προφήτης λέγει: «τί ταλαίπωρος εἶμαι ἐγώ», ὁ Προφήτης Ἀββακοὺμ λέγει: «ἐγὼ εἶμαι ὁ πιὸ νέος [στὴν ἡλικία]». Ὁ Ἀπόστολος [Παῦλος] λέγει γιὰ τὸν ἑαυτόν του, ὅτι «εἶ-

ναι, λέγει, ἁμαρτωλῶν, ἑαυτόν[76]*· οἱ δὲ λοιποὶ πάντες, μηδὲν εἶναί φασι. Τί οὖν ἐγὼ ποιήσω; ποῦ κρυβήσομαι ἀπὸ τῶν πολλῶν μου κακῶν; τί γένωμαι ὁ μηδὲν ὤν; καὶ τοῦ μηδαμοῦ μηδὲν ὄντος χείρων; Τὸ γὰρ μηδὲν ὂν οὐχ ἥμαρτεν, ἀλλ᾽ οὐδὲ εὐηργετήθη, ὥσπερ ἐγώ. Οἴμοι· πῶς ἔχω ἀνύσαι τὸν ὑπόλοιπον τῆς ζωῆς μου χρόνον; ἢ πῶς ἄρα ἔχω φυγεῖν τὰς τοῦ διαβόλου παγίδας; Οἱ γὰρ δαίμονες ἄϋπνοι καὶ ἄϋλοι, ὁ δὲ θάνατος ἐγγύς, κἀγὼ ἀσθενής. Κύριε, βοήθει μοι, μὴ ἐάσῃς τὸ πλάσμα σου ἀπολεσθῆναι, ὅτι σοὶ μέλει περὶ ἐμοῦ τοῦ ἀθλίου. Γνώρισόν μοι Κύριε ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου*[77]*· μὴ ἐγκαταλίπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου*[78]*. [52.] Καὶ οὕτω συντρίβεται ἡ ψυχὴ ἐκ τῶν τοιούτων ῥημάτων, εἴπερ αἴσθησιν ἔχῃ ποσῶς. Ἐγχρονίζοντος δὲ αὐτοῦ ἐν τούτοις καὶ ἐν ἕξει γινομένου τοῦ θείου φόβου, ἄρχεται ὁ νοῦς τὰ τῆς δευτέρας θεωρίας κατανοεῖν καὶ μελετᾶν ῥήματα, ἅτινά εἰσι ταῦτα.*

ναι πρῶτος μεταξὺ τῶν ἁμαρτωλῶν»· [καὶ] ὅλοι οἱ ἄλλοι λέγουν, ὅτι εἶναι ἕνα τίποτα. Λοιπὸν ἐγὼ τί θὰ κάνω; Ποῦ θὰ κρυφθῶ ἀπὸ τὰ πολλά μου κακά; Τί θὰ γίνω ἐγώ, ποὺ εἶμαι ἕνα μηδέν; Καὶ ἀπὸ τὸ ἀνύπαρκτο μηδὲν [ἀκόμη], εἶμαι χειρότερος; Διότι αὐτὸ ποὺ εἶναι μηδὲν δὲν ἁμάρτησε, ἀλλὰ οὔτε εὐεργετήθηκε, ὅπως ἐγώ. Ἀλλοίμονο, πῶς μπορῶ νὰ διανύσω τὸν ὑπόλοιπο χρόνο τῆς ζωῆς μου; Ἢ πῶς λοιπὸν μπορῶ νὰ ἀποφύγω τὶς παγίδες τοῦ διαβόλου; Διότι οἱ δαίμονες εἶναι ἄϋπνοι καὶ ἄϋλοι, ὁ δὲ θάνατος [εἶναι] πλησίον [μου] καὶ ἐγὼ εἶμαι ἀσθενής. Κύριε, βοήθησέ με, μὴν ἀφήσῃς νὰ χαθῇ τὸ πλάσμα Σου, διότι Ἐσὺ φροντίζεις γιὰ μένα τὸν ἄθλιο. Κάνε μου γνωστὸ Κύριε τὸν δρόμο, στὸν ὁποῖον [θέλεις] νὰ βαδίσω, διότι σὲ Ἐσένα ὕψωσα τὴν ψυχή μου. Μὴ μὲ ἐγκαταλείπῃς Κύριε [καὶ] Θεέ μου, μὴν ἀπομακρυνθῇς ἀπὸ ἐμένα, σπεῦσε στὴ βοήθειά μου Κύριε, [ὁ Ὁποῖος εἶσαι] ἡ σωτηρία μου.

52. Καὶ ἔτσι συντρίβεται ἡ ψυχὴ ἀπὸ τέτοια λόγια, ἐὰν βέβαια ἔχῃ κάποια συναίσθησι. Καὶ ὅταν αὐτὸς ἀσχοληθῇ γιὰ πολὺ χρόνο μὲ αὐτὰ καὶ συνηθίσῃ τὸν θεῖο φόβο, ἀρχίζει ὁ νοῦς νὰ κατανοῇ καὶ νὰ μελετᾷ τὰ λόγια τῆς δευτέρας θεωρίας, τὰ ὁποῖα εἶναι τὰ ἑξῆς.

[53.] Οἴμοι τῷ ἀθλίῳ, τί ποιήσω; τί γένωμαι; πολλὰ ἥμαρτον· πολλὰ εὐεργετοῦμαι· πολλὰ ἀσθενῶ. Οἱ πειρασμοὶ πολλοί, ἡ ῥᾳθυμία συνέχει με. Ἡ λήθη σκοτίζει με, καὶ οὐκ ἐᾷ με ἰδεῖν ἐμαυτὸν καὶ τὸ πλῆθος τῶν κακῶν μου. Ἡ ἄγνοια κακή, ἡ ἐν γνώσει παράβασις χείρων, ἡ ἀρετὴ δυσκατόρθωτος, τὰ πάθη πολλά, οἱ δαίμονες πανοῦργοι, ἡ ἁμαρτία πρόχειρος, ὁ θάνατος ἐγγύς, τὸ λογοθέσιον πικρόν, οὐαί μοι, τί ποιήσω; ποῦ φύγω ἀπ᾽ ἐμαυτοῦ; Ἐπειδὴ ἐγώ εἰμι ἡ αἰτία τῆς ἐμῆς ἀπωλείας. Αὐτεξουσιότητι γὰρ τετίμημαι καὶ οὐδεὶς βιάσαι με δύναται. Ἐγὼ ἥμαρτον καὶ ἁμαρτάνω ἀεὶ καὶ ἀμελῶς διάγω εἰς πᾶν ἔργον ἀγαθόν, ὁ δὲ βιάζων οὐχ εὑρίσκεται. Τίνα ἔχω αἰτιάσασθαι; Ὁ Θεός, ἀγαθὸς καὶ φιλάνθρωπος, ἀεὶ ποθῶν τὴν πρὸς αὐτὸν ἐπιστροφὴν καὶ μετάνοιαν· οἱ Ἄγγελοι, ἀγαπῶσι με καὶ φυλάττουσιν· οἱ ἄνθρωποι, ὡσαύτως τὴν προκοπήν μου θέλουσιν· οἱ δαίμονες, οὐ δύνανται βιάσαι τινὰ μὴ θέλοντα ἀπολέσθαι, εἴτε ἐξ ἀμελείας, εἴτε ἐξ ἀπογνώσεως. Τίς ἐστι λοιπὸν ὁ

53. Ἀλλοίμονο [σ᾽ ἐμένα] τὸν ἄθλιο, τί νὰ κάνω; Τί νὰ γίνω; Πολὺ ἁμάρτησα· πολὺ εὐεργετοῦμαι, πολὺ ἀδύνατος εἶμαι. Οἱ πειρασμοὶ πολλοί, ἡ ραθυμία μὲ κατέχει, ἡ λήθη μὲ σκοτίζει καὶ δὲν μὲ ἀφήνει νὰ δῶ τὸν ἑαυτόν μου καὶ τὸ πλῆθος τῶν κακῶν μου. Ἡ ἄγνοια [εἶναι] κακή, [ἀλλὰ καὶ] ἡ ἐν γνώσει παράβασι [τοῦ νόμου τοῦ Θεοῦ], χειρότερη, ἡ ἀρετὴ δυσκολοκατόρθωτη, τὰ πάθη πολλά, οἱ δαίμονες πανοῦργοι, ἡ ἁμαρτία πρόχειρη, ὁ θάνατος πλησίον, ἡ ἀπολογία πικρή, ἀλλοίμονό μου, τί νὰ κάνω; Ποῦ νὰ ξεφύγω ἀπὸ τὸν [ἴδιο τὸν] ἑαυτόν μου; Ἐπειδὴ ἐγὼ εἶμαι ἡ αἰτία τῆς ἀπωλείας μου. Διότι ἔχω τιμηθῆ μὲ τὸ αὐτεξούσιο καὶ κανεὶς δὲν μπορεῖ νὰ μὲ ἐξαναγκάσῃ. Ἐγὼ ἁμάρτησα καὶ πάντοτε ἁμαρτάνω καὶ ζῶ μὲ ἀμέλεια γιὰ κάθε καλὸ ἔργο· [καὶ] δὲν ὑπάρχει κανείς, [ποὺ] νὰ μὲ βιάζῃ [πρὸς τὸ κακό]· ποιὸν μπορῶ νὰ κατηγορήσω; Ὁ Θεὸς [εἶναι] ἀγαθὸς καὶ φιλάνθρωπος καὶ πάντοτε ποθεῖ τὴν ἐπιστροφή [μας] σ᾽ Αὐτὸν καὶ τὴν μετάνοια· οἱ Ἄγγελοι μὲ ἀγαποῦν καὶ μὲ προφυλάσσουν· οἱ ἄνθρωποι ἐπίσης θέλουν τὴν προκοπή μου. Οἱ δαίμονες δὲν μποροῦν νὰ ἐξαναγκάσουν κανένα νὰ χαθῇ χωρὶς νὰ τὸ θέλῃ, εἴτε ἀπὸ ἀμέλεια, εἴτε ἀπὸ ἀπελπισία· ποιὸς λοιπὸν εἶναι ὁ

αἴτιος; εἰμὴ αὐτὸς ἐγὼ ὁ ταλαίπωρος. Ἰδοὺ μικρὸν ἔγνων, ὅτι ἀπόλλυταί μου ἡ ψυχή, καὶ οὐ θέλω ἀρχὴν εὐσεβείας βαλεῖν. Διατί ψυχή μου ἀμελεῖς σαυτήν; Διατί οὐκ αἰσχύνῃ ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν Ἀγγέλων αὐτοῦ ἁμαρτάνουσα, ὥσπερ αἰσχύνῃ τοὺς ἀνθρώπους; [54.] Οἴμοι τῷ ἀθλίῳ, οἴμοι, οἴμοι, ὅτι οὐδὲ ὡς ἄνθρωπον αἰσχύνομαι τὸν Ποιητήν μου καὶ Δεσπότην. Ἐνώπιον γὰρ ἑνὸς ἀνθρώπου, οὐ δύναμαι ἁμαρτάνειν, ἀλλὰ πᾶσαν μηχανὴν ποιῶ, ἵνα ἐπιδεικνύω ἐμαυτὸν δικαιοπραγοῦντα. Καὶ ἐνώπιον Θεοῦ ἱστάμενος, τὰ πονηρὰ λογίζομαι καὶ λέγειν πολλάκις οὐκ αἰσχύνομαι, ὢ τῆς ἀφροσύνης μου! Τὸ κακὸν πράττων, τὸν Θεὸν ὁρῶντα οὐ φοβοῦμαι καὶ ἀνθρώπῳ ἑνὶ λέγειν τὰ κατ᾽ ἐμὲ πρὸς διόρθωσιν, οὐ δύναμαι. Οὐαί μοι, οὐαί μοι ὅτι τὴν κόλασιν γινώσκω καὶ μετανοεῖν οὐ βούλομαι. Τὴν οὐράνιον Βασιλείαν ἀγαπῶ καὶ ἀρετὴν οὐ κέκτημαι. Τὸν Θεὸ πιστεύω καὶ τὰς ἐντολὰς αὐτοῦ παρακούω ἀεί. Τὸν διάβολον μισῶ καὶ τὰ ἀρέσκοντα αὐτῷ ποιεῖν οὐ παύομαι. Ἂν εὔχωμαι, ἀμελῶ καὶ

αἴτιος; [Κανεὶς ἄλλος] παρὰ μόνον ἐγὼ ὁ ἴδιος ὁ ταλαίπωρος. Ἰδού, μόλις ἀντιλήφθηκα ὅτι χάνεται ἡ ψυχή μου καὶ δὲν θέλω νὰ βάλω ἀρχὴ στὴν εὐσέβεια. Γιατὶ ψυχή μου ἀμελεῖς τὸν ἑαυτόν σου; Γιατὶ δὲν ἐντρέπεσαι, ὅταν ἁμαρτάνῃς ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν Ἀγγέλων Του, ὅπως ἐντρέπεσαι τοὺς ἀνθρώπους;

54. Ἀλλοίμονο, σ᾽ ἐμένα τὸν ἄθλιο, ἀλλοίμονο, ἀλλοίμονο, διότι οὔτε σὰν ἄνθρωπο δὲν ἐντρέπομαι τὸν Δημιουργό μου καὶ Δεσπότη. Ἐπειδὴ μπροστὰ σ᾽ ἕναν ἄνθρωπο, δὲν μπορῶ νὰ ἁμαρτάνω, ἀλλὰ μηχανεύομαι κάθε τέχνασμα, γιὰ νὰ παρουσιάζω τὸν ἑαυτόν μου ὅτι ἐνεργεῖ σωστά. Καὶ ἐνῶ στέκομαι ἐνώπιον τοῦ Θεοῦ, δὲν ἐντρέπομαι [ὄχι μόνον] νὰ σκέπτωμαι πονηρά, [ἀλλὰ] καὶ πολλὲς φορὲς νὰ τὰ λέγω. Ὦ, [μέγεθος] τῆς ἀνοησίας μου! Ἐνῶ κάνω τὸ κακό, τὸν Θεὸ ποὺ μὲ βλέπει δὲν φοβοῦμαι, καὶ οὔτε μπορῶ [ἀπὸ ἐντροπὴ] νὰ ἐξομολογηθῶ τὰ δικά μου [ἁμαρτήματα] σὲ κάποιον ἄνθρωπο γιὰ τὴν διόρθωσί μου. Ἀλλοίμονό μου, ἀλλοίμονό μου, γιατὶ καὶ τὴν κόλασι γνωρίζω καὶ νὰ μετανοήσω δὲν θέλω. Ἀγαπῶ τὴν οὐράνια Βασιλεία καὶ [ὅμως] δὲν ἔχω ἀποκτήσει ἀρετή. Πιστεύω στὸν Θεὸ καὶ πάντοτε παρακούω τὶς ἐντολές Του. Τὸν διάβολο μισῶ καὶ [ὅμως] δὲν παύω νὰ κάνω, ὅσα τοῦ ἀρέσουν. Ἂν προσεύχωμαι, τὸ κάνω μὲ ραθυ-

ὡς ἀναίσθητος διάκειμαι. Ἂν νηστεύω, ἐπαίρομαι καὶ μείζονα κατακέκριμαι. Ἂν ἀγρυπνήσω, δοκῶ ποιεῖν τι, ἵνα μηδὲ τοῦτο χρήσιμον γένηται. Ἂν ἀναγινώσκω, ἓν ἐκ τῶν ἀμφοτέρων κακῶν ποιῶ ὁ ἀναίσθητος· εἴτε χάριν πολυμαθείας καὶ κενοδοξίας τοῦτο ποιῶ, καὶ ἐπὶ πλεῖον σκοτίζομαι, εἴτε γινώσκων καὶ μὴ ποιῶν, μειζόνως κατακέκριμαι. Ἂν τὸ κατ᾽ ἐνέργειαν ἁμαρτάνειν ἴσως, κατὰ χάριν Θεοῦ, παύωμαι, ἀλλὰ διὰ λόγου ἁμαρτάνειν ἀεὶ οὐ παύομαι. Ἂν καὶ ἐκ τούτου ἡ χάρις σκεπάζῃ με, διὰ λογισμῶν τὸν Θεὸν παροργίζω ἀεί ποτε ὁ τάλας. Αἴ, αἴ, τί ἔχω ποιῆσαι; ὅπου δ᾽ ἂν οὐ [delendum] πορεύωμαι, ἁμαρτίας εὑρίσκω. Πανταχοῦ οἱ δαίμονες. Ἡ ἀπόγνωσις χείρων πάντων. Τὸν Θεὸν παρώργισα, τοὺς Ἀγγέλους ὡσαύτως ἐλύπησα, τοὺς ἀνθρώπους ἔβλαψα πολλάκις καὶ ἐσκανδάλισα.

[55.] Ἤθελον δάκρυσιν ἐξαλεῖψαι τῶν ἐμῶν πταισμάτων, Κύριε, τὸ χειρόγραφον καὶ τὸ ὑπόλοιπον τῆς ζωῆς μου διὰ μετανοίας εὐαρεστῆσαί σοι· ἀλλ᾽ ὁ ἐχθρὸς ἀπατᾷ με καὶ

εἰδωλολατρούντων διενηνόχαμεν, φησὶν ὁ Ἅγιος Μάξιμος. Καὶ πάλιν, ἐὰν μισῶμεν αὐτά, ὡς μὴ καλὰ λίαν[145] *γινόμενα, τὸν Θεὸν παροργίζομεν.* ***[106.]*** *Ὁ δὲ Ἀγγελικός, ἡ ἀπαθὴς θεωρία ἐστὶ τῶν πραγμάτων, ἤτοι ἡ ἀληθὴς γνῶσις, ἥτις ἐστὶν ἡ μέση τῶν ἀμφοτέρων κρημνῶν, ἡ φυλάττουσα τὸν νοῦν καὶ χωρίζουσα τὸν ὀρθὸν σκοπὸν ἐκ τῶν περικυκλούντων αὐτὸν ἓξ παγίδων τοῦ διαβόλου. Λέγω δὲ τῆς ἄνωθεν καὶ κάτω, τῆς ἐκ δεξιῶν τε καὶ ἀριστερῶν, τῆς τε ἔσωθεν καὶ ἔξωθεν τοῦ ὀρθοῦ σκοποῦ· τοῦτ᾽ ἔστιν, ἡ μέσον τῶν εἰρημένων ἓξ παγίδων ἱσταμένη, ὥσπερ κέντρον, ἀληθὴς γνῶσις· ἡ παρὰ τοῖς ἐπιγείοις Ἀγγέλοις διδασκομένη τοῖς νεκρώσασιν ἑαυτοὺς τῷ κόσμῳ, ἵνα ἀπαθὴς ὁ νοῦς γένηται, πρὸς τὸ βλέπειν τὰ πράγματα ὡς δεῖ· Καὶ μήτε ἄνωθεν τοῦ ὀρθοῦ σκοποῦ ὑπερβῇ, διὰ τῆς ἐπάρσεως, δοκῶντι καταλαμβάνειν ἐξ ἰδίας φρονήσεως· μήτε πάλιν κάτω, διὰ τῆς ἀγνωσίας, ὡς μὴ δυνάμενος φθάσαι τὸ τέλειον· μήτε δεξιὰ διὰ τῆς ἀποστροφῆς τῶν πραγμάτων καὶ μί-*

φέρομε καθόλου ἀπὸ τοὺς εἰδωλολάτρες, λέγει ὁ Ἅγιος Μάξιμος[ϟβ']. Καὶ πάλιν· ἐὰν μισοῦμε *αὐτά*, διότι δὲν ἔχουν γίνει [κατὰ τὴ γνώμη μας] «καλὰ λίαν», παροργίζομε τὸν Θεό. 106. Ὁ δὲ Ἀγγελικὸς [λογισμός], εἶναι ἡ ἀπαθὴς θεωρία τῶν πραγμάτων, δηλαδὴ ἡ ἀληθινὴ γνῶσι, ποὺ εἶναι στὴ μέση καὶ τῶν δύο [προαναφερθέντων] γκρεμῶν, ἡ ὁποία φυλάσσει τὸν νοῦ καὶ [τὸν κάνῃ] νὰ διαχωρίζῃ τὸν ὀρθό σκοπὸ ἀπὸ τὶς ἕξι παγίδες τοῦ διαβόλου, ποὺ τὸν περικυκλώνουν. Ἐννοῶ [τὶς παγίδες ποὺ εἶναι] ἀπὸ ἐπάνω καὶ ἀπὸ κάτω, ἀπὸ τὰ δεξιὰ καὶ τὰ ἀριστερά, ἀπὸ μέσα καὶ ἀπὸ ἔξω ἀπὸ τὸν ὀρθὸ σκοπό· τοῦτο δὲ εἶναι ἡ ἀληθινὴ γνῶσι, ἡ ὁποία στέκει σὰν κέντρο στὴ μέση τῶν ἕξι παγίδων ποὺ προαναφέραμε. [Καὶ εἶναι αὐτή], ἡ ὁποία διδάσκεται ἀπὸ τοὺς ἐπιγείους Ἀγγέλους [τοὺς ἀληθινοὺς ἡσυχαστές], σ᾽ αὐτοὺς ποὺ νέκρωσαν τοὺς ἑαυτοὺς [των] γιὰ τὸν κόσμο, γιὰ νὰ γίνῃ ὁ νοῦς ἀπαθής, ὥστε νὰ βλέπῃ τὰ πράγματα, ὅπως πρέπει. Καὶ οὔτε νὰ ὑψώνεται πάνω ἀπὸ τὸν ὀρθὸ σκοπὸ [τῶν πραγμάτων] μὲ τὴν ἔπαρσι, νομίζοντας ὅτι τὰ κατανοεῖ μὲ [μόνη] τὴν δική του φρόνησι· μήτε πάλι κάτω [ἀπὸ αὐτὸν] ἀπὸ ἄγνοια, διότι δῆθεν δὲν μπορεῖ νὰ φθάσῃ τὴν τελειότητα· οὔτε [νὰ κλίνῃ] πρὸς τὰ δεξιὰ μὲ τὴν ἀποστροφὴ καὶ τὸ μῖσος τῶν πρα-

σους· μήτε ἀριστερά, διὰ τῆς ἀλόγου φιλίας, ἤτοι προσπαθείας· μήτε πάλιν ἔσωθεν τοῦ ὀρθοῦ σκοποῦ, διὰ τῆς καθόλου ἀγνωσίας καὶ ὀκνηρίας· μήτε ἔξωθεν, διὰ πολυπραγμοσύνης καὶ σπουδῆς ἀλόγου ἐξ ὀλιγωρίας ἢ πονηρίας. Ἀλλὰ τὴν γνῶσιν μεθ' ὑπομονῆς τε καὶ ταπεινοφροσύνης καὶ ἐλπίδος ἀγαθῆς, ἐκ πίστεως βεβαίας δέχεσθαι· ἵνα τὸ μὲν γνῶναί τι ἐκ μέρους, πρὸς ἔρωτα θεῖον ἀνάγηται· διὰ τὸ ἀγνοεῖν ἐν γνώσει ἐξ ἀπορίας, ταπεινοφροσύνην κτήσηται καὶ διὰ τῆς ἐπιμόνου ἐλπίδος τε καὶ πίστεως τὸν σκοπὸν ἐπιτύχῃ τοῦ ζητουμένου πράγματος· καὶ μήτε τι ὅλως μισῶν ὡς κακόν, μήτε πάλιν ἀλόγως φιλῶν· ἀλλὰ τὸν ἄνθρωπον κατανοῇ πρὸς τὸ θαυμάζειν πῶς εἰκών ἐστιν ὁ νοῦς τοῦ ἀοράτου Θεοῦ ἀόριστος; εἰ καὶ ὑπὸ τοῦ σώματος τέως ὁρίζεται, φησὶν ὁ Μέγας Βασίλειος, καὶ πῶς φθάνει μέχρι περάτων τοῦ σχήματος, ὡς ὁ Θεὸς τὸν κόσμον προνοῶν. Καὶ γὰρ ὁ νοῦς εἰς πᾶν πρᾶγμα μετασχηματίζεται καὶ βάφεται πρὸς τὸ εἶδος τοῦ

γμάτων· οὔτε ἀριστερὰ μὲ τὴν παράλογη φιλία, δηλαδὴ τὴν προσήλωσι στὰ πάθη· οὔτε πάλι μέσα στὸν ὀρθό σκοπό, μὲ τὴν ὁλοκληρωτικὴ ἄγνοια καὶ τὴν ὀκνηρία· οὔτε [τέλος] ἔξω ἀπὸ αὐτὸν μὲ τὴν πολυπραγμοσύνη καὶ τὸν ἀσυλόγιστο ζῆλο, ἀπὸ ἀδιαφορία ἢ πονηρία. Ἀλλὰ νὰ δέχεται τὴν γνῶσι μὲ ὑπομονὴ καὶ ταπεινοφροσύνη καὶ ἀγαθὴ ἐλπίδα τὴν [προερχομένη] ἀπὸ τὴν βεβαία πίστι· ὥστε μὲ τὴν μερικὴ [ἔστω] γνῶσι νὰ ἀνυψώνεται πρὸς τὸν θεῖο ἔρωτα· λόγῳ τῆς ἀδυναμίας μὲ τὴν ἐν γνώσει [συνειδητὴ] ἄγνοια νὰ ἀποκτήσῃ ταπεινοφροσύνη καὶ μὲ τὴν ἐπίμονη ἐλπίδα καὶ πίστι νὰ ἐπιτύχῃ τὸν σκοπὸ τοῦ πράγματος, ποὺ ἐπιδιώκει. Καὶ οὔτε γενικὰ νὰ μισῇ κάτι σὰν κακό, οὔτε πάλι παράλογα νὰ τὸ ἀγαπᾷ· ἀλλὰ νὰ μελετᾷ τὸν ἄνθρωπο, ὥστε νὰ θαυμάζῃ, πῶς ὁ νοῦς εἶναι ἀπεριόριστος εἰκόνα τοῦ ἀοράτου Θεοῦ; Ἂν καὶ περιορίζεται γιὰ λίγο χρόνο ἀπὸ τὸ σῶμα, λέγει ὁ Μέγας Βασίλειος καὶ πῶς φθάνει μέχρι τὰ ὅρια [τὴν πλήρη ἀντίληψι] τοῦ σχήματος [τῶν πραγμάτων τοῦ κόσμου], ὅπως ὁ Θεός, ὁ ὁποῖος προνοεῖ γιὰ τὸν κόσμο. Διότι πραγματικὰ ὁ νοῦς μετασχηματίζεται σὲ κάθε πρᾶγμα καὶ χρωματίζεται ἀνάλογα μὲ τὴ μορ-

ἀναλαμβανομένου παρ᾿ αὐτοῦ πράγματος. Ὅταν δὲ καταξιωθῇ ἐν τῷ ἀνειδέῳ καὶ ἀσχηματίστῳ Θεῷ γενέσθαι, τότε ἀνείδεος γίνεται καὶ ἀσχημάτιστος.

[107.] Ἔπειτα θαυμάζει πῶς πᾶσαν ἔννοιαν φυλάττειν δύναται ὁ αὐτὸς καὶ οὐδὲ τὰ ἔσχατα τῶν νοημάτων τὰ πρῶτα ἀλλοιῶσαι δύνανται. Οὐδὲ πάλιν τὰ πρῶτα νοήματα, τὰ ἔσχατα παραβλάψαι ὅλως. Ἀλλ᾿ ὥσπερ θησαυρὸν ἡ διάνοια πάντα κατέχουσα ἀληθαργήτως· καὶ βουλόμενος ὁ νοῦς διὰ τῆς γλώττης ἐμφανίζει τὰ λογιζόμενα οὐ μόνον τὰ πρόσφατα ἀλλὰ καὶ τὰ πρὸ πολλοῦ τεθησαυρισμένα; καὶ πῶς πάλιν ἐξερχόμενα ἀεὶ τὰ λόγια, ὁ αὐτὸς νοῦς ἀνελλιπὴς εὑρίσκεται; καὶ πάλιν κατανοῶν τὸ σῶμα, πῶς οἱ ὀφθαλμοί, ἀκοαί τε καὶ ἡ γλῶσσα δέχονται ἔξωθεν τὴν χρῆσιν πρὸς τὸ βούλημα τῆς ψυχῆς. Οἱ μὲν διὰ τοῦ φωτός, αἱ δὲ διὰ τοῦ ἀέρος, καὶ οὐδεμία τῶν αἰσθήσεων τὴν ἑτέραν παρεμποδίζει, ἢ παρὰ τὸν σκοπὸν τῆς ψυχῆς δύναται ποιεῖν τι, καὶ πῶς τὸ ἄψυχον σῶμα τῇ τοῦ Θεοῦ κελεύ-

φὴ τοῦ πράγματος, τὸ ὁποῖο θέλει νὰ ἀντιληφθῇ. Ὅταν ὅμως καταξιωθῇ νὰ εὑρεθῇ μέσα στὸν ἄμορφο καὶ ἀσχημάτιστο Θεό, τότε γίνεται ἄμορφος καὶ ἀσχημάτιστος [καὶ αὐτός].

107. Ἔπειτα ἀπορεῖ, πῶς μπορεῖ αὐτός, [δηλαδὴ ὁ νοῦς] νὰ συγκρατῇ κάθε ἔννοια καὶ δὲν μποροῦν τὰ τελευταῖα νοήματα νὰ ἀλλοιώσουν τὰ πρῶτα. Οὔτε πάλι [μποροῦν] τὰ πρῶτα νοήματα νὰ βλάψουν καθόλου τὰ τελευταῖα. Ἀλλὰ σὰν θησαυρὸ ἡ διάνοια ὅλα τὰ κατέχει μὲ ἐγρήγορσι. Καὶ ὅταν ὁ νοῦς θέλῃ, ἐμφανίζει μὲ τὴν γλῶσσα αὐτὰ ποὺ σκέπτεται, ὄχι μόνον τὰ πρόσφατα, ἀλλὰ καὶ αὐτὰ τὰ ὁποῖα πρὸ πολλοῦ ἔχει ἀποθηκεύσει; Καὶ πῶς πάλι, ἐνῶ τὰ λόγια ἐξέρχονται διαρκῶς [ἀπὸ τὴν γλῶσσα], ὁ ἴδιος ὁ νοῦς εὑρίσκεται [νὰ παραμένῃ] ἀμείωτος; Καὶ πάλι παρατηρώντας τὸ σῶμα [θαυμάζει] πῶς οἱ ὀφθαλμοί, τὰ ὦτα καὶ ἡ γλῶσσα δέχονται ἀπ᾿ ἔξω [τὸ ἐρέθισμα] γιὰ τὴν χρῆσι τους, σύμφωνα μὲ τὴ θέλησι τῆς ψυχῆς. Οἱ [ὀφθαλμοὶ] διὰ τοῦ φωτός, τὰ ὦτα διὰ τοῦ ἀέρος καὶ καμμία ἀπὸ τὶς αἰσθήσεις δὲν ἐμποδίζει τὴν ἄλλη, οὔτε μπορεῖ νὰ κάνῃ κάτι ἀντίθετα ἀπὸ τὸν σκοπὸ τῆς ψυχῆς. Καὶ πῶς τὸ ἄψυχο σῶμα μὲ τὴν προσταγὴ τοῦ Θεοῦ

σει ἀναμὶξ ἐγένετο τῇ νοερᾷ καὶ λογικῇ ψυχῇ, ἥτις ὑπὸ τοῦ Ἁγίου Πνεύματος ἐδημιουργήθη, ὥς φησιν ὁ Δαμασκηνός, διὰ τοῦ ἐμφυσήματος· εἰ καί τινες ταῦτα ἀγνοοῦσιν, δοκοῦντες ὅτι ἐκ τῆς ὑπερουσίου Θεότητός ἐστιν, ὅπερ ἀμήχανον. Φησὶ γὰρ ὁ Χρυσόστομος· ἵνα μὴ Θεὸν ὁ ἀνθρώπινος νοῦς λογίζηται ἑαυτόν, λήθην καὶ ἄγνοιαν ὁ Θεὸς αὐτῷ καθυπέβαλεν, ἵνα ἐκ τούτου ταπείνωσιν κτήσηται.

*[**108.**] Καὶ πάλιν· βουλομένου τοῦ Δημιουργοῦ, τὴν φυσικὴν ταύτην μίξιν ποιεῖν τὸν χωρισμόν· καὶ ἡ μὲν λογικὴ ψυχή, ὥς φησιν ὁ τῆς Κλίμακος, ἢ ἄνω εἰς τὸν οὐρανὸν δηλαδή, ἢ κάτω εἰς τὸν ᾅδην, φεῦ, ἀπέρχεται· τὸ δὲ γεῶδες σῶμα εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθη, στρέφεται. Καὶ πάλιν, τῇ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ χάριτι, τὰ διεστῶτα ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ συνάπτονται, ἵνα ἕκαστος ἡμῶν ἀπολάβῃ κατὰ τὰ ἔργα αὐτοῦ. Ὢ τοῦ θαύματος! τίς τὸ μυστήριον τοῦτο μικρὸν αἴσθηται καὶ οὐκ ἐκπλήττεται; Ὅτι τὸν ἄνθρωπον ἐγείρει πάλιν ἐκ τῆς γῆς μετὰ τοσαῦτα*

ἀναμείχθηκε μὲ τὴν νοερὰ καὶ λογικὴ ψυχή, ἡ ὁποία δημιουργήθηκε ἀπὸ τὸ Ἅγιο Πνεῦμα, ὅπως λέγει ὁ Δαμασκηνός[λγ'], μὲ τὸ ἐμφύσημα [τοῦ Θεοῦ]· ἂν καὶ μερικοὶ ἀγνοοῦν αὐτά, μὲ τὸ νὰ νομίζουν ὅτι προέρχεται [ἡ ψυχή] ἀπὸ τὴν [οὐσία] τῆς ὑπερουσίου Θεότητος, πρᾶγμα τὸ ὁποῖο εἶναι [ἐντελῶς] ἀδύνατον. Λέγει λοιπὸν ὁ Χρυσόστομος· Γιὰ νὰ μὴ θεωρῇ ὁ ἀνθρώπινος νοῦς τὸν ἑαυτόν του Θεό, τὸν παρέδωσε ὁ Θεὸς σὲ λήθη καὶ ἄγνοια, γιὰ νὰ ἀποκτήσῃ ἀπὸ αὐτὸ ταπείνωσι.

108. Καὶ πάλιν· [λέγει ὁ Χρυσόστομος]: Μὲ τὴν θέλησι τοῦ Δημιουργοῦ, χωρίζεται αὐτὴ ἡ φυσικὴ ἕνωσι, καὶ ἡ μὲν λογικὴ ψυχή, ὅπως λέγει ὁ [Ἰωάννης] τῆς Κλίμακος, ἀπέρχεται ἢ ἄνω εἰς τὸν οὐρανό, ἢ κάτω, ἀλλοίμονο, στὸν Ἅδη· ἐνῶ τὸ γήϊνο σῶμα ἐπιστρέφει εἰς τὴν γῆ, ἀπὸ τὴν ὁποία [καὶ] ἐλήφθῃ. Καὶ πάλι, μὲ τὴν Χάρι τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὰ διεχωρισμένα [μέρη] στὴ Δευτέρα Αὐτοῦ Παρουσία ἑνώνονται, γιὰ νὰ ἀπολαύσῃ ὁ καθένας μας, σύμφωνα μὲ τὰ ἔργα του. Ὢ τοῦ θαύματος! Ποιὸς κατενόησε [ἔστω] καὶ λίγο τὸ μυστήριο αὐτὸ καὶ δὲν ἐκπλήσσεται; [Δηλαδὴ] ὅτι ὁ [Θεὸς] ἐγείρει πάλι τὸν ἄνθρωπο ἀπὸ τὴν γῆ, ὕστερα ἀπὸ τόσα

δεινά, ἅπερ ἔπραξε, καταφρονήσας αὐτοῦ τὰς ἐντολάς, καὶ ἀθανασίαν χαρίζεται, ἣν εἶχε τὸ πρίν, καὶ οὐκ ἐφύλαξε τὴν φυλάττουσαν αὐτὸν ἐντολὴν ἐκ τοῦ θανάτου καὶ τῆς φθορᾶς, ἀλλὰ τραχηλιάσαντα τὸν θάνατον ἐπεσπάσατο.

[109.] Θαυμάζων τοίνυν ταῦτα πάντα περὶ τοῦ ἀνθρώπου, ὑπὸ ἀγγελικῆς κινήσεως νοερῶς διδασκόμενος ὁ ἄνθρωπος, καὶ ἄλλα πολλά, ἐκπλήττεται, καὶ πάλιν θεωρεῖ τοῦ χρυσοῦ τὸ κάλλος, καὶ τὴν χρῆσιν καὶ θαυμάζει πῶς ἐκ τῆς γῆς τοιοῦτος ἐγένετο δι᾽ ἡμᾶς, ἵνα οἱ μὲν ἀσθενεῖς διὰ τῆς ἐλεημοσύνης ἀναλίσκωσι τὰ χρήματα, καὶ οἱ τοῦτο μὴ βουληθέντες, νέμειν διὰ πειρασμῶν τινων ἄκοντες βοηθήσονται [recte: βοηθηθήσονται] εἰς τὸ σωθῆναι, εἴγε εὐχαρίστως ὑπομένουσι τὰ ἐπερχόμενα, καὶ σῴζονται ἀμφότεροι. Οἱ δὲ τὴν ἀκτημοσύνην προτιμῶντες, στεφανωθήσονται, ὡς ὑπὲρ φύσιν ποιοῦντες, καθὼς καὶ οἱ Παρθενίαν ἀσκοῦντες. Καὶ ὡς μὲν φθαρτὸν καὶ γήϊνον πρᾶγμα, οὐ προτιμᾷ τοῦτο τῆς ἐντολῆς τοῦ Θεοῦ, ὡς δὲ ποίημα Θεοῦ

κακά, ποὺ ἔκανε, ἀφοῦ περιεφρόνησε τὶς ἐντολές Του καὶ τοῦ χαρίζει τὴν ἀθανασία, τὴν ὁποία εἶχε ἐξ ἀρχῆς, [σ᾽ αὐτὸν ὁ ὁποῖος] δὲν διεφύλαξε τὴν ἐντολὴ [τοῦ Θεοῦ], ποὺ τὸν προφύλασσε ἀπὸ τὸν θάνατο καὶ τὴν φθορά, ἀλλά, ἀφοῦ [πρῶτα] ὑπερηφανεύθηκε, ἐπέσυρε ἐπάνω του τὸν θάνατο.

109. Θαυμάζοντας λοιπὸν ὅλα αὐτὰ [ὁ νοῦς] γιὰ τὸν ἄνθρωπο, ὁ ὁποῖος διδάσκεται νοερὰ ἀπὸ ἀγγελικὴ νεῦσι, καὶ ἄλλα πολλά, [άκόμη], ἐκπλήσσεται. Καὶ πάλιν παρατηρεῖ τὸ κάλλος καὶ τὴν χρησιμότητα τοῦ χρυσοῦ καὶ θαυμάζει, πῶς [ἐνῶ βγαίνει] ἀπὸ τὴν γῆ ἔγινε γιὰ μᾶς ἔτσι, ὥστε οἱ μὲν ἀδύνατοι νὰ καταναλώνουν μὲ τὴν ἐλεημοσύνη τὰ χρήματα καὶ ἐκεῖνοι, οἱ ὁποῖοι δὲν θέλησαν αὐτό [τὴν ἐλεημοσύνη], νὰ τὰ διαμοιράζουν ὕστερα ἀπὸ κάποιους πειρασμοὺς χωρὶς τὴ θέλησί τους, γιὰ νὰ βοηθηθοῦν στὴ σωτηρία τους, ἂν βέβαια εὐχαρίστως ὑπομένουν τὰ ἐπερχόμενα [δεινά], καὶ σώζονται [ἔτσι] καὶ οἱ δύο. Ἐκεῖνοι ὅμως, οἱ ὁποῖοι ἐπιλέγουν τὴν ἀκτημοσύνη, θὰ στεφανωθοῦν, ἐπειδὴ αὐτὸ ποὺ κάνουν [εἶναι] ὑπὲρ φύσιν, καθὼς καὶ αὐτοί, οἱ ὁποῖοι ἀσκοῦν τὴν παρθενία. Καὶ [ἐπειδὴ τὸ θεωρεῖ] ὡς φθαρτὸ καὶ γήϊνο πρᾶγμα, δὲν τὸ προτιμᾶ βέβαια ἀπὸ τὴν ἐντολὴ τοῦ Θεοῦ· ὡς δημιούργημα ὅμως τοῦ Θεοῦ

καὶ χρήσιμον εἰς τὸ ζῆσαι σωματικῶς καὶ σωθῆναι, οὐ μίσους ἄξιον, ἀλλ᾽ ἐγκρατείας καὶ ἀγάπης. [110.] Καὶ ἁπλῶς παντὸς πράγματος τὸ κάλλος καὶ τὴν χρῆσιν ἀπαθῶς θεωρῶν ὁ φωτιζόμενος, ποθεῖ τὸν ποιητὴν καί, κατανοῶν τὰ αἰσθητὰ πάντα, τὰ ἄνω τε καὶ κάτω κτίσματα, λέγω δὴ τὸν οὐρανόν, τὸν ἥλιον, τὴν σελήνην· τὰ ἄστρα, τὰ νέφη, τοὺς σίφωνας, τοὺς ὄμβρους, τὴν χιόνα, τὴν χάλαζαν, καὶ πῶς ἐν καύσωνι τοσούτῳ πήσσει τὸ ὕδωρ; Εἶτα τὰς βροντάς, τὰς ἀστραπάς, τοὺς ἀνέμους, τὸν ἀέρα, καὶ τὴν τούτων ἐναλλαγήν, τοὺς καιρούς, τοὺς ἐνιαυτούς, τὰς ἡμέρας, τὰς νύκτας, τὰς ὥρας, τὰς στιγμάς, τὴν γῆν, τὴν θάλασσαν, τὰ ἀμέτρητα κτήνη, τὰ τετράποδα ζῷα, θηρία καὶ ἑρπετά, τῶν πετεινῶν τὰ πολλὰ γένη, τὰς πηγὰς καὶ ποταμούς· τῶν φυτῶν καὶ βοτάνων τὰ ἄπειρα γένη, τά τε ἥμερα καὶ ἄγρια. Ὁρᾷ γὰρ ἐν πᾶσι τὴν τάξιν, τὴν κατάστασιν, τὰ μεγέθη, τὰ κάλλη, τὸν ῥυθμόν, τὴν συνάφειαν, τὴν ἁρμονίαν, τὴν χρῆσιν, τὴν ὁμόνοιαν, τὴν ποικιλίαν, τὴν τέρψιν, τὴν στάσιν,

καὶ χρήσιμο στὴ σωματικὴ ζωὴ καὶ στὴ σωτηρία, [τὸ θεωρεῖ ὅτι] εἶναι ἄξιο ὄχι μίσους, ἀλλὰ [ἀφορμὴ] γιὰ ἐγκράτεια καὶ ἀγάπη.

110. Καὶ γενικά, ἐκεῖνος ὁ ὁποῖος φωτίζεται [ἀπὸ τὸν Θεό], ἀφοῦ παρατηρεῖ μὲ ἀπάθεια τὸ κάλλος καὶ τὴ χρησιμότητα κάθε πράγματος, ποθεῖ τὸν Δημιουργὸ καὶ καθὼς κατανοεῖ ὅλα τὰ αἰσθητὰ τὰ ἄνω καὶ τὰ κάτω κτίσματα, δηλαδὴ λέγω τὸν οὐρανό, τὸν ἥλιο, τὴν σελήνη, τὰ ἄστρα, τὰ σύννεφα, τοὺς ἀνεμοστρόβιλους, τὶς βροχές, τὸ χιόνι, τὸ χαλάζι καὶ πῶς σὲ τόσο καύσωνα παγώνει τὸ νερό; Ἔπειτα τὶς βροντές, τὶς ἀστραπές, τοὺς ἀνέμους, τὸν ἀέρα καὶ τὴν ἐναλλαγὴ αὐτῶν, τὶς ἐποχές, τοὺς χρόνους, τὶς ἡμέρες, τὶς νύκτες, τὶς ὧρες, τὶς στιγμές, τὴν γῆ, τὴν θάλασσα, τὰ ἀμέτρητα κτήνη, τὰ τετράποδα ζῶα, θηρία καὶ ἑρπετά, τὰ πολλὰ γένη τῶν πετεινῶν, τὶς πηγὲς καὶ τοὺς ποταμούς· τὰ ἄπειρα γένη τῶν φυτῶν καὶ τῶν βοτάνων, τόσο τὰ ἥμερα ὅσο καὶ τὰ ἄγρια. Διότι βλέπει σὲ ὅλα τὴν τάξι, τὴν κατάστασι, τὰ μεγέθη, τὰ κάλλη, τὸν ρυθμό, τὴν συμφωνία, τὴν ἁρμονία, τὴν χρησιμότητα, τὴν ὁμόνοια, τὴν ποικιλία, τὴν τέρψι, τὴν στάσι, τὴν κί-

τὴν κίνησιν, τὰς χροιάς, τὰ σχήματα, τὰ εἴδη, τὴν εἰς αὐτὰ πάλιν ἐπιστροφήν, τὴν ἐν φθαρτοῖς διαμονήν. Καὶ ἁπλῶς πάντα τὰ αἰσθητὰ κτίσματα κατὰ νοῦν ἐπιφέρων, ἐκπλήττεται μὲν θαυμάζων τὸν Δημιουργόν, πῶς ἐκ μὴ ὄντων, κελεύσει μόνῃ, παρήγαγε τὰ τέσσαρα στοιχεῖα, καὶ πῶς τὰ ἐναντία ὄντα, τῇ τοῦ Θεοῦ σοφίᾳ, ἐξ ἀλλήλων οὐ λυμαίνονται; Καὶ πῶς ἐκ τούτων τὰ πάντα ἐποίησε δι' ἡμᾶς, καὶ ταῦτα μικρὰ ὄντα πρὸς τὴν συγκατάβασιν τοῦ Χριστοῦ, κατὰ τὸν Θεολόγον, καὶ πρὸς τὰ μέλλοντα ἀγαθά. ***[111.]*** *Κατανοῶν δὲ τὴν κεκρυμμένην τοῦ Θεοῦ ἐν τοῖς κτίσμασιν ἀγαθότητα καὶ σοφίαν, δύναμίν τε καὶ πρόνοιαν, ὡς αὐτὸς ἔφη πρὸς τὸν Ἰώβ*[146]*, διὰ τῶν τεχνῶν· ἔπειτα τὴν ἐν λόγοις καὶ γράμμασι, πῶς διὰ τοῦ μικροῦ τούτου καὶ ἀψύχου μέλανος τοσαῦτα καὶ τηλικαῦτα μυστήρια ἀπεκάλυψεν ἡμῖν διὰ τῶν Ἁγίων Γραφῶν· καὶ τὸ δὴ θαυμαστόν, ὅτι οἱ μὲν Ἅγιοι Προφῆται καὶ Ἀπόστολοι μετὰ πολλοῦ κόπου καὶ ἀγάπης τῆς πρὸς τὸν Θεὸν τῶν τοσούτων*

νησι τὰ χρώματα, τὰ σχήματα, τὰ εἴδη, τὴν ἐπιστροφὴ πάλι στὰ ἴδια [ἀφοῦ ξεραθοῦν, ξαναφυτρώνουν], τὴν παραμονή τους μέσα στὰ φθαρτά. Καὶ γενικὰ φέρνοντας στὸ νοῦ του ὅλα τὰ αἰσθητὰ δημιουργήματα, ἐκπλήσσεται μὲν θαυμάζοντας τὸν Δημιουργό, πῶς ἐκ τοῦ μὴ ὄντος [ἀπὸ τὴν ἀνυπαρξία] μὲ μόνη τὴν προσταγή Του παρήγαγε τὰ τέσσερα στοιχεῖα, [γῆ, ἀέρα πῦρ, ὕδωρ] καὶ πῶς αὐτά, τὰ ὁποῖα, ἐνῶ εἶναι ἀντίθετα μεταξύ τους, χάρις στὴ σοφία τοῦ Θεοῦ, δὲν ἀλληλοκαταστρέφονται; Καὶ πῶς ἀπὸ αὐτὰ ἐδημιούργησε τὰ πάντα γιὰ ἐμᾶς, ἂν καὶ αὐτὰ [καθ᾽ ἑαυτὰ] εἶναι μικρά, [συγκρινόμενα] μὲ τὴν συγκατάβασι τοῦ Χριστοῦ [τὴν θεία οἰκονομία], σύμφωνα μὲ τὸν Θεολόγο, καὶ μὲ τὰ μέλλοντα ἀγαθά.

111. [Ἐκπλήσσεται πάλι] ὅταν κατανοῇ τὴν κρυμμένη μέσα στὰ δημιουργήματα ἀγαθότητα καὶ σοφία τοῦ Θεοῦ, τὴν δύναμι καὶ τὴν πρόνοια διὰ τῶν τεχνῶν [τοῦ Παντεχνήμονος Λόγου], ὅπως Αὐτὸς εἶπε στὸν Ἰώβ, ἐπίσης τὴν μέσα στοὺς λόγους καὶ στὰ γραπτὰ [σοφία τοῦ Θεοῦ], πῶς μὲ τὸ ἀσήμαντο αὐτὸ καὶ ἄψυχο μελάνι, τόσα πολλὰ καὶ τόσο μεγάλα μυστήρια ἀπεκάλυψε σὲ μᾶς, διὰ τῶν Ἁγίων Γραφῶν. Καὶ τὸ πιὸ θαυμαστὸ [εἶναι], ὅτι οἱ μὲν Ἅγιοι Προφῆτες καὶ Ἀπόστολοι ἐπέτυχαν τόσο μεγάλα ἀγαθὰ μὲ πολὺ κόπο καὶ ἀγάπη πρὸς

ἐπέτυχον ἀγαθῶν, ἡμεῖς δὲ ἐκ μόνης ἀναγνώσεως μανθάνομεν, ὡς γὰρ λογικαὶ [addendum: αἱ][ιστ´] *γραφαὶ λαλοῦσιν ἡμῖν παραδοξότατα. Καὶ ταῦτα γινώσκων πιστεύει, ὅτι οὐκ ἔστιν ἐν τῇ κτίσει τι πάρεργον, οὐδὲ κακόν, ἀλλὰ τὰ παρὰ τὸ θεῖον θέλημα γινόμενα, εἰς ἀγαθὰ μεταποιεῖ ὁ Θεὸς θαυμασίως· οἷον ἡ πτῶσις τοῦ διαβόλου, θέλημα Θεοῦ οὐκ ἦν, ἀλλ᾽ ἰδοὺ πρὸς ὠφέλειαν τῶν σῳζομένων γέγονε. Παραχωρούμενος γὰρ εἰς τὸ πειράζειν τοὺς προαιρουμένους, πρὸς τὴν ἑκάστου δύναμιν, ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ, ἵνα ἐμπαίζηται ὑπὸ τῶν Ἰσαγγέλων ἀνθρώπων, καὶ νικᾶται τῇ τοῦ Θεοῦ συνεργείᾳ οὐ μόνον ὑπὸ τῶν ἀνδρῶν, ἀλλὰ καὶ γυναικῶν πλείστων, δι᾽ ὑπομονῆς τε καὶ πίστεως πρὸς τὸν ἀγωνοθέτην, ἐξ οὗ τοὺς στεφάνους τῆς ἀφθαρσίας λαμβάνουσι τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ· ἐπεὶ αὐτός ἐστιν ὁ νικήσας καὶ νικῶν τὸν ἀναίσχυντον ὄφιν καὶ ἀνθρωποκτόνον. **[112.]** Καὶ ὁ μὲν λαβὼν χάρισμα γνώσεως πνευματικῆς, γινώσκει ὅτι πάντα καλὰ λίαν*[147]*· ὁ δὲ ἔτι ἀρχὴν*

τὸν Θεό, ἐνῷ ἐμεῖς τὰ μαθαίνομε μόνο ἀπὸ τὴν ἀνάγνωσι· διότι, ὡς λογικές, οἱ Γραφὲς μᾶς ὁμιλοῦν γιὰ πάρα πολὺ παράδοξα πράγματα. Καὶ γνωρίζοντας αὐτὰ πιστεύει, ὅτι δὲν ὑπάρχει στὴν κτίσι τίποτα ἄχρηστο, οὔτε κακό, ἀλλὰ [καὶ] ἐκεῖνα, τὰ ὁποῖα γίνονται ἀντίθετα ἀπὸ τὸ θέλημα τοῦ Θεοῦ, μὲ θαυμαστὸ τρόπο ὁ Θεὸς τὰ μετατρέπει σὲ ἀγαθά· ὅπως λόγου χάριν, ἡ πτῶσι τοῦ διαβόλου δὲν ἦταν θέλημα Θεοῦ, ἀλλὰ ἰδοὺ ἔχει ἀποβῆ πρὸς ὠφέλεια ἐκείνων ποὺ σώζονται. Διότι, παρεχώρησε [ὁ Θεὸς σ᾽ αὐτὸν] νὰ πειράζῃ ἐκείνους, οἱ ὁποῖοι ἔχουν καλὴ προαίρεσι, ἀναλόγως μὲ τὴν δύναμι τοῦ καθενός, ὅπως λέγει ὁ Ἅγιος Ἰσαάκ[ιδ´], ἔτσι ὥστε νὰ ἐμπαίζεται ἀπὸ τοὺς ἰσαγγέλους ἀνθρώπους, καὶ νὰ νικᾶται μὲ τὴν βοήθεια τοῦ Θεοῦ, ὄχι μόνον ἀπὸ τοὺς ἄνδρες, ἀλλὰ καὶ ἀπὸ πάρα πολλὲς γυναῖκες, μὲ τὴν ὑπομονή τους καὶ τὴν πίστι πρὸς τὸν Ἀγωνοθέτη, ἀπὸ τὸν Ὁποῖο λαμβάνουν τοὺς στεφάνους τῆς ἀφθαρσίας μὲ τὴ δική Του Χάρι καὶ φιλανθρωπία. Διότι Αὐτὸς εἶναι, ὁ Ὁποῖος ἐνίκησε καὶ νικᾶ [συνεχῶς] τὸ ἀναίσχυντο φίδι καὶ ἀνθρωποκτόνο [διάβολο].

112. Καὶ ἐκεῖνος μέν, ποὺ ἔλαβε τὸ χάρισμα τῆς πνευματικῆς γνώσεως [ἀπὸ τὸν Θεό], γνωρίζει ὅτι πάντα εἶναι «καλὰ λίαν», ἐκεῖνος ὅμως, ὁ ὁποῖος εὑρίσκεται εἰς τὴν ἀρχὴ

ἔχων θεογνωσίας, ὀφείλει γινώσκειν ἐν ταπεινώσει, ὅτι ἀγνοεῖ, εἰς πᾶν πρᾶγμα λέγων οὐκ οἶδα, ὥς φησιν ὁ Χρυσόστομος. Ἔφη γάρ· ἐάν τις εἴπῃ περὶ τοῦ ὕψους τοῦ οὐρανοῦ, ὅτι τόσον ἐστί, κἀγὼ εἴποιμι, οὐκ οἶδα, πάντως ἐγὼ τὴν ἀλήθειαν εἶπον, κἂν ἐκεῖνος πλανᾶται δοκῶν εἰδέναι ἢ μὴ εἶδεν ὡς δεῖ[148]*, κατὰ τὸν Ἀπόστολον. Διὰ τοῦτο ὀφείλομεν ἐκ πίστεως βεβαίας καὶ ἐρωτήσεως τῶν ἐμπείρων δέχεσθαι τὰ τῆς Ἐκκλησίας δόγματα καὶ τὰς τῶν διδασκάλων διακρίσεις, περί τε τῶν θείων Γραφῶν καὶ περὶ αἰσθητῶν καὶ νοητῶν κτισμάτων, ἵνα μὴ τῇ ἑαυτῶν συνέσει στοιχοῦντες, πίπτωμεν ταχέως, ὥς φησιν ὁ Ἅγιος Δωρόθεος. Ἀλλ᾽ ἐν πᾶσιν εὑρεῖν τὴν ἰδίαν ἀγνωσίαν ὀφείλομεν, ἵνα ζητῶν τις καὶ ἀπιστῶν τὰ οἰκεῖα νοήματα, ποθῇ τοῦ μαθεῖν, καὶ ἀπορήσας ἐν γνώσει πολλῇ, γινώσκῃ τὴν ἰδίαν ἀγνωσίαν ἐκ τῆς τοῦ Θεοῦ ἀπείρου σοφίας. Νοῦς γάρ, φησί, νοερός, νοερὰν πάντως αἴσθησιν δέχεται, ὅταν καθαίρῃ ἑαυτὸν τῷ Θεῷ, κατὰ τὸν Θεολόγον. Πλὴν ὀφείλομεν*

τῆς θεογνωσίας, ὀφείλει νὰ γνωρίζῃ μὲ ταπείνωσι, ὅτι ἔχει ἄγνοια, λέγοντας γιὰ κάθε πρᾶγμα, «δὲν γνωρίζω», ὅπως λέγει ὁ Χρυσόστομος. Διότι εἶπε· ἐὰν κάποιος πῇ γιὰ τὸ ὕψος τοῦ οὐρανοῦ, ὅτι εἶναι τόσο καὶ ἐγὼ πῶ «δὲν γνωρίζω», ὁπωσδήποτε ἐγὼ εἶπα τὴν ἀλήθεια, ἔστω κι ἂν ἐκεῖνος πλανᾶται, νομίζοντας ὅτι γνωρίζει ἢ «δὲν γνώρισε, ὅπως πρέπει», κατὰ τὸν Ἀπόστολο. Γι᾽ αὐτό, ὀφείλομε μὲ βεβαία πίστι καὶ μὲ ἐρώτησι τῶν ἐμπείρων νὰ δεχώμαστε τὰ δόγματα τῆς Ἐκκλησίας καὶ τὶς ἑρμηνεῖες τῶν διδασκάλων καὶ γιὰ τὶς θεῖες Γραφὲς καὶ γιὰ αἰσθητὰ καὶ νοητὰ κτίσματα, γιὰ νὰ μὴ φθάνωμε ἀμέσως σὲ πτῶσι, συμφωνώντας μὲ τὴ δική μας κρίσι, ὅπως λέγει ὁ Ἅγιος Δωρόθεος[κε']. Ἀλλὰ ὀφείλομε σὲ ὅλα νὰ εὑρίσκωμε τὴν δική μας ἄγνοια, ὥστε, ὅταν κανεὶς ἀναζητᾷ καὶ δὲν ἐμπιστεύεται τὴν δική του διανόησι, νὰ ποθῇ νὰ μάθῃ, καὶ ἀφοῦ εὑρεθῇ σὲ ἀπορία μὲ τὴν πολλὴ γνῶσι, νὰ ἀναγνωρίσῃ τὴν δική του ἄγνοια, ἀπὸ τὴν ἄπειρο σοφία τοῦ Θεοῦ. Διότι λέγει, ὁ νοερὸς νοῦς, ὁπωσδήποτε δέχεται νοερὴ αἴσθησι, ὅταν καθαίρεται γιὰ τὸν Θεό, κατὰ τὸν Γρηγόριο τὸν Θεολόγο[κστ']. Ὅμως ὀφείλομε

πρὸς μείζονα φόβον ἔχειν τὴν γνῶσιν, μήπως εὑρεθῇ ἓν δόγμα πονηρὸν κεκρυμμένον ἐν τῇ ψυχῇ, δυνάμενον ἀπωλέσαι αὐτὴν ἐκτὸς ἄλλης ἁμαρτίας, φησὶν ὁ Μέγας Βασίλειος. [113.] Διὰ τοῦτο οὐ χρὴ ἀπὸ ὀλιγωρίας ἢ κενοδόξου προθυμίας εἰς τὴν θεωρίαν ταύτην πρὸ καιροῦ τρέχειν, ἀλλὰ κατὰ τάξιν τὰς ἐντολὰς τοῦ Χριστοῦ καὶ τὰς προειρημένας θεωρίας ἐργαζόμενος ἀμετεωρίστως. Καὶ διὰ τῆς ὑπομονῆς καὶ δακρύων πολλῶν τῶν τοῦ φόβου καὶ τοῦ πένθους ἀπολούσας τὴν ἑαυτοῦ ψυχήν, καὶ εἰς τὸ βλέπειν κατὰ φύσιν ἐλθὼν καὶ ἐν ἕξει τούτων γενόμενος, τότε ἐπὶ τὴν θεωρίαν ταύτην ὁ νοῦς αὐτομάτως ἔρχεται, ὑπὸ τῶν Ἀγγέλων ὁδηγούμενος νοερῶς. Εἰδὲ τολμηρότερός τις εὑρεθῇ καὶ πρὶν τὰ πρῶτα εἰς τὰ δεύτερα εἰσελθεῖν βουληθῇ, γινωσκέτω, ὅτι οὐ μόνον ἐπιτυχεῖν οὐ δύναται τοῦ σκοποῦ τῆς τοῦ Θεοῦ εὐαρεστήσεως, ἀλλὰ πολλοὺς πολέμους ἐγείρειν ἔχει καθ' ἑαυτοῦ, καὶ μάλιστα ἐκ τῆς περὶ τὸν ἄνθρωπον θεωρίας, ὡς ἠκούσαμεν περὶ τοῦ Ἀδάμ.

νὰ συγκρατοῦμε τὴν γνῶσι μὲ μεγαλύτερο φόβο, μήπως εὑρεθῇ κανένα πονηρὸ δόγμα κρυμμένο στὴν ψυχή, τὸ ὁποῖο μπορεῖ νὰ τὴν ὁδηγήσῃ στὴν ἀπώλεια, χωρὶς ἄλλη ἁμαρτία, λέγει ὁ Μέγας Βασίλειος[ϟζ'].

113. Γι᾽ αὐτό, δὲν πρέπει [κανείς], ἀπὸ ἐπιπολαιότητα ἢ ματαιόδοξη προθυμία, νὰ τρέχῃ πρόωρα στὴ θεωρία αὐτή, ἀλλὰ [πρέπει] νὰ ἐργάζεται κατὰ τάξι τὶς ἐντολὲς τοῦ Χριστοῦ καὶ τὶς θεωρίες, ποὺ προαναφέραμε, χωρὶς μετεωρισμό. Καὶ ἀφοῦ μὲ τὴν ὑπομονὴ καὶ τὰ πολλὰ δάκρυα τοῦ φόβου καὶ τοῦ πένθους ἀποπλύνῃ τὴν ψυχή του καὶ ἔλθῃ στὸ νὰ βλέπῃ [τὰ πράγματα] κατὰ φύσιν καὶ ἀποκτήσῃ τὴν συνήθεια αὐτῶν ὁ νοῦς, τότε αὐτόματα ἔρχεται σ᾽ αὐτὴ τὴν θεωρία, ὁδηγούμενος νοερὰ ἀπὸ τοὺς ἀγγέλους. Ἐὰν ὅμως εὑρεθῇ κάποιος πιὸ τολμηρὸς καὶ θελήσῃ νὰ ἔλθῃ στὰ δεύτερα πρὶν ἀπὸ τὰ πρῶτα, ἂς γνωρίζῃ, ὅτι ὄχι μόνον δὲν μπορεῖ νὰ ἐπιτύχῃ τὸν σκοπὸ τῆς εὐαρεστήσεως τοῦ Θεοῦ, ἀλλὰ πολλοὺς πολέμους ἔχει νὰ ξεσηκώσῃ ἐναντίον του καὶ μάλιστα ἀπὸ τὴ θεωρία γύρω ἀπὸ τὸν ἄνθρωπο, ὅπως ἀκούσαμε [προηγουμένως] γιὰ τὸν Ἀδάμ.

Οὐδὲν γὰρ συμφέρει τοῖς ἐμπαθέσιν ἔτι τὰ τῶν ἀπαθῶν ἔργα ποιεῖν, εἰ [recte: ἢ] ἐννοεῖν νοήματα, ὥσπερ οὐδὲ τοῖς νηπίοις ἔτι ἡ στερεὰ τροφή, κἂν λίαν ἐστὶν ὠφέλιμος τοῖς τελείοις[149]*. Ἀλλὰ μετὰ διακρίσεως ὀφείλει ποθεῖν καὶ ἀπέχεσθαι, ὡς ἀνάξιος, καὶ μήτε ἐξ ἀπογνώσεως καὶ ὀκνηρίας ἀποστρέφεσθαι τὴν χάριν ὅταν ἔλθῃ, μήτε πάλιν ἐξ αὐθαδείας τι πρὸ καιροῦ ζητεῖν, ἵνα τὰ τοῦ καιροῦ πρὸ καιροῦ ζητοῦντες, ὥς φησιν ὁ τῆς Κλίμακος, οὐδὲ ἐν τῷ καιρῷ ἐπιτύχωμεν τούτων, ἀλλὰ πλανηθέντες ἴσως οὐδὲ διόρθωσιν εὕρωμεν ἔκ τινος ἀνθρώπου ἢ Γραφῆς. **[114.]** Ἂν γάρ τις ἔχῃ κατὰ Θεὸν σκοπὸν ἐν ταπεινώσει τε καὶ ὑπομονῇ τῶν ἐπερχομένων αὐτῷ πειρασμῶν, ζητήσῃ πρᾶγμα ἐξ ἀπορίας καὶ ἴσως πλανηθῇ ἐν τούτῳ, εὑρεῖν ἔχει λύσιν παρὰ τῷ Θεῷ. Καὶ οὕτω μετὰ πολλῆς αἰσχύνης καὶ χαρᾶς στρέφεται εἰς τὰ ὀπίσω ζητῶν τὴν ὁδὸν τῶν Πατέρων. Διότι τὸ κατὰ Θεὸν γινόμενον καὶ οὐ κατὰ τὶ ἄλλο, φησὶν ὁ τῆς Κλίμακος, εἰς ἀγα-*

Διότι δὲν συμφέρει καθόλου σ᾽ αὐτοὺς [οἱ ὁποῖοι εἶναι] ἀκόμη ἐμπαθεῖς, [νὰ ἐπιχειροῦν] νὰ κάνουν τὰ ἔργα τῶν ἀπαθῶν ἢ νὰ ἐννοοῦν τὰ νοήματα, ὅπως ἡ στερεὰ τροφὴ [δὲν συμφέρει] ἀκόμη στὰ νήπια, ἂν καὶ εἶναι πολὺ ὠφέλιμη γιὰ τοὺς «τελείους». Ἀλλὰ μὲ διάκρισι ὁ ἐμπαθής, ὀφείλει νὰ [τὰ] ποθῇ καὶ νὰ ἀπέχῃ, ὡς ἀνάξιος καὶ μήτε ἀπὸ ἀπόγνωσι καὶ ὀκνηρία νὰ ἀποστρέφεται τὴν Χάρι, ὅταν ἔλθῃ, οὔτε πάλιν ἀπὸ αὐθάδεια νὰ ζητᾷ κάτι πρὶν τὴν ὥρα του, ὥστε, ἂν ζητοῦμε πράγματα ἄλλου καιροῦ, πρὶν ἀπὸ τὸν καιρό τους [τὴν ὥρα τους], ὅπως λέγει ὁ [Ἰωάννης] τῆς Κλίμακος[λη΄], οὔτε στὸν καιρό τους θὰ τὰ ἐπιτύχωμε ἀλλὰ ἀφοῦ πλανηθοῦμε, ἴσως οὔτε τὴν διόρθωσι [μπορέσωμε] νὰ βροῦμε, ἀπὸ κάποιον ἄνθρωπο ἢ ἀπὸ τὴν Γραφή.

114. Διότι, ἂν κανεὶς ἔχῃ θεάρεστο σκοπὸ καὶ μὲ ταπείνωσι καὶ ὑπομονὴ γιὰ ὅσους πειρασμοὺς ἔρχονται σ᾽ αὐτόν, ζητήσῃ κάποιο πρᾶγμα ἀπὸ ἀπορία [δυσκολία κατανόησεώς του] καὶ [ἂν] ἴσως πλανηθῇ σ᾽ αὐτό, μπορεῖ νὰ εὕρῃ τὴν λύσι ἀπὸ τὸν Θεό. Καὶ ἔτσι, μὲ πολλὴ ἐντροπὴ καὶ χαρά, στρέφεται πρὸς τὰ ὀπίσω, ζητώντας [πάλιν] τὴν ὁδὸ τῶν Πατέρων. Διότι αὐτὸ τὸ ὁποῖο γίνεται κατὰ Θεὸν καὶ ὄχι γιὰ κάτι ἄλλο [κάποιον ἄλλο σκοπό], λέγει ὁ [Ἰωάννης] τῆς Κλίμακος, κατα-

θὸν λογίζεται ἡμῖν ἀπὸ τῆς χάριτος, κἂν λίαν ᾖ οὐ καλὸν τὸ γινόμενον. Εἰ δὲ οὐκ ἔστιν οὕτως, οὐδὲ ὑπομονὴν καὶ ταπείνωσιν πολλὴν ἔχει, μέλλει παθεῖν, ἅπερ ἔπαθον πολλοὶ καὶ ἀπωλέσθησαν τῇ ἀφροσύνῃ αὐτῶν, πιστεύοντες τὰ οἰκεῖα νοήματα, καὶ ἔδοξαν καλῶς ὁδεῦσαι ἐκτὸς ὁδηγοῦ ἢ πείρας ἐξ ὑπομονῆς καὶ ταπεινώσεως γινομένης. Ἡ γὰρ πεῖρα οὐκ ἔχει θλῖψιν, οὐδὲ πειρασμόν, τάχα οὐδὲ πόλεμον. Εἰδὲ παραχωρηθῇ μικρὸν πολεμηθῆναι, πολλῆς χαρᾶς καὶ ὠφελείας πρόξενος γίνεται οὗτος ὁ πειρασμὸς τῷ ἐμπείρῳ· διότι πρὸς τὸ μαθεῖν τὴν πεῖραν καὶ ἀνδρείαν λαβεῖν κατὰ τῶν ἐχθρῶν παραχωρεῖται ὑπὸ τοῦ Θεοῦ. [115.] Σημεῖα δὲ τούτου τὰ δάκρυα καὶ ὁ συντριμμὸς τῆς ψυχῆς ἐνώπιον τοῦ Θεοῦ καὶ τὸ φεύγειν εἰς τὴν ἡσυχίαν καὶ εἰς τὸν Θεὸν μεθ᾽ ὑπομονῆς, καὶ τὸ ἐρευνᾶν μετὰ πόνου τὰς Γραφὰς καὶ ἐκ πίστεως θέλειν τὸν τοῦ Θεοῦ σκοπόν. Τοῦ δὲ πρώτου σημεῖον τοῦτό ἐστι, τὸ διστάζειν περὶ Θεοῦ βοηθείας καὶ τὸ αἰσχύνε-

λογίζεται ἀπὸ τὴν Χάρι [τοῦ Θεοῦ] σὲ μᾶς ὡς ἀγαθό, [ἀκόμη] κι ἂν αὐτὸ καθ᾽ ἑαυτὸ δὲν εἶναι πολὺ καλό. Ἂν ὅμως δὲν συμβαίνῃ ἔτσι, [μὲ αὐτόν], οὔτε ἔχει πολλὴ ὑπομονὴ καὶ ταπείνωσι, πρόκειται νὰ πάθῃ, ὅσα ἔπαθαν πολλοὶ καὶ χάθηκαν μὲ τὴν ἀφροσύνη τους, ἐπειδὴ πίστευαν στὰ δικά τους νοήματα καὶ νόμισαν, ὅτι θὰ πορευθοῦν σωστὰ χωρὶς ὁδηγὸ ἢ [χωρὶς] τὴν πεῖρα, ἡ ὁποία προέρχεται ἀπὸ τὴν ὑπομονὴ καὶ τὴν ταπείνωσι. Γιατὶ ἡ πεῖρα [αὐτὴ] δὲν ἔχει θλῖψι, οὔτε πειρασμό, ἴσως οὔτε καὶ πόλεμο. Ἂν ὅμως παραχωρηθῇ νὰ πολεμηθῇ λίγο, ὁ πειρασμὸς αὐτὸς γίνεται πρόξενος μεγάλης χαρᾶς καὶ ὠφελείας στὸν ἔμπειρο· διότι παραχωρεῖται ἀπὸ τὸν Θεό, γιὰ νὰ ἀποκτήσῃ τὴν πεῖρα καὶ τὴν ἀνδρεία κατὰ τῶν ἐχθρῶν.

115. Σημεῖα δὲ αὐτοῦ [τοῦ εἴδους τοῦ πειρασμοῦ εἶναι] τὰ δάκρυα καὶ ἡ συντριβὴ τῆς ψυχῆς ἐνώπιον τοῦ Θεοῦ καὶ ἡ καταφυγὴ στὴν ἡσυχία καὶ στὸν Θεὸ μὲ ὑπομονὴ καὶ ἡ μετὰ κόπου ἐρευνητικὴ μελέτη τῶν Γραφῶν καὶ ἡ μὲ [σταθερὴ] πίστι ἐπιδίωξι τοῦ κατὰ Θεὸν σκοποῦ. Ὅπως τοῦ πρώτου [πειρασμοῦ] σημεῖο εἶναι αὐτό, δηλαδὴ τὸ νὰ ἀμφιβάλλῃ [κανεὶς] γιὰ τὴν βοήθεια τοῦ Θεοῦ, καὶ τὸ νὰ ντρέ-

σθαι ἐν τῷ ἐρωτᾶν μετὰ ταπεινώσεως καὶ τὸ φεύγειν τὴν ἡσυχίαν καὶ τὴν ἀνάγνωσιν, ἀγαπᾶν τε τὸν περισπασμὸν καὶ τὰς συντυχίας, δοκῶν ἐκ τούτων ἀναπαύσεως τυχεῖν, ὅπερ οὐκ ἔστιν· ἀλλὰ μᾶλλον ἐν τῷ τοιούτῳ καιρῷ ῥιζοβολοῦσι τὰ πάθη καὶ ἰσχυρότεροι γίνονται οἱ πειρασμοὶ καὶ πληθύνεται ἡ μικροψυχία, ἀχαριστία τε καὶ ἀκηδία ἐκ τῆς πολλῆς ἀγνωσίας· διότι ἄλλοι εἰσὶν οἱ πειρασμοὶ τῶν υἱῶν πρὸς παίδευσιν καὶ μάθησιν τοῦ τυχόντος μαθήματος, καὶ ἄλλοι οἱ τῶν ἐχθρῶν πρὸς ἀπώλειαν. Ἐπὶ πλεῖον δὲ ὅταν ἐξ ὑπερηφανίας τις ἐμπαίζηται, ὅτι ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν[150].

*[**116.**] Πᾶσα θλῖψις ἔχουσα ὑπομονήν, ἀγαθή ἐστι καὶ ὠφέλιμος. Ἡ δὲ μὴ ἔχουσα, ἀποστροφή ἐστι τοῦ Θεοῦ καὶ ἀνώφελος· ἐὰν μὴ διὰ ταπεινοφροσύνης τις αὐτὴν ἰάσηται, ἄλλο φάρμακον οὐκ ἔστι, διότι ὁ ταπεινόφρων ἑαυτὸν μέμφεται καὶ αἰτιᾶται ὅταν θλιβῇ, καὶ οὐκ ἄλλον τινά. Καὶ ἐκ τούτου ὑπο-*

πεται νὰ ἐρωτᾷ μὲ ταπείνωσι, νὰ ἀποφεύγῃ τὴν ἡσυχία καὶ τὴν ἀνάγνωσι, καὶ νὰ ἀγαπᾷ τὸν περισπασμὸ καὶ τὶς συναναστροφές, ἐπειδὴ νομίζει ὅτι [ἔτσι] θὰ εὕρῃ ἀνάπαυσι ἀπὸ ὅλα αὐτά, πρᾶγμα τὸ ὁποῖο [βεβαίως] δὲν συμβαίνει, ἀλλὰ κυρίως σ᾽ αὐτὸν τὸν καιρὸ ριζώνουν τὰ πάθη καὶ γίνονται ἰσχυρότεροι οἱ πειρασμοὶ καὶ αὐξάνεται ἡ μικροψυχία, ἡ ἀχαριστία καὶ ἡ ἀμέλεια ἀπὸ τὴν πολλὴ ἄγνοια. Διότι ἄλλοι εἶναι οἱ πειρασμοὶ τῶν [γνησίων] τέκνων γιὰ τὴν παιδαγωγία καὶ ἐκμάθησι κάποιου μαθήματος καὶ ἄλλοι οἱ [πειρασμοὶ] τῶν ἐχθρῶν γιὰ τὴν ἀπώλεια. Πολὺ περισσότερο, ὅταν κάποιος ἐξαπατᾶται ἀπὸ ὑπερηφάνια, διότι ὁ Θεὸς «ἀντιτάσσεται στοὺς ὑπερηφάνους, στοὺς δὲ ταπεινοὺς δίνει Χάρι».

116. Κάθε θλῖψι, ἡ ὁποία ἔχει ὑπομονή, εἶναι καλὴ καὶ ὠφέλιμη. Ἐκείνη ὅμως, ποὺ δὲν ἔχει, εἶναι ἀποστροφὴ τοῦ Θεοῦ καὶ ἀνώφελη. Ἂν ὅμως δὲν τὴν θεραπεύσῃ κανεὶς μὲ ταπεινοφροσύνη, [νὰ ξέρῃ ὅτι] ἄλλο φάρμακο δὲν ὑπάρχει, διότι ὁ ταπεινόφρων, ὅταν τοῦ ἔλθῃ ἡ θλῖψι, [μόνον] τὸν ἑαυτό του θεωρεῖ αἴτιο καὶ κατηγορεῖ, καὶ κανέναν ἄλλο. Καὶ ἕνεκα αὐτοῦ ὑπο-

μένει ζητῶν παρὰ Θεοῦ τὴν λύσιν καὶ εὑρὼν χαίρεται καὶ μετὰ εὐχαριστίας ὑπομένει, καὶ ἐν πείρᾳ γενόμενος τῶν τοιούτων, λαμβάνει γνῶσιν. Καὶ γινώσκων τὴν ἰδίαν ἀσθένειαν καὶ ἀγνωσίαν, ζητεῖ ἐμπόνως τὸν ἰατρὸν καὶ ζητῶν εὑρίσκει[151] *τὴν ἴασιν, ὡς αὐτὸς ἔφη ὁ Χριστός. Καὶ τυχὼν ταύτης ποθεῖ καὶ ποθῶν ἐπὶ πλεῖον ποθεῖται καὶ καθαίρων ἑαυτόν, κατὰ τὸ δυνατόν, τόπον ποιῆσαι τοῦ ποθουμένου ἀγωνίζεται· κἀκεῖνος τόπον εὑρὼν κατοικεῖ, ὡς λέγει τὸ Γεροντικόν. Καὶ κατοικῶν φυλάττει τὸν οἶκον αὐτοῦ καὶ λαμπρύνειν ἄρχεται. Λαμπρυνόμενος δὲ γινώσκει καὶ γινώσκων γινώσκεται, ὥς φησιν ὁ Δαμασκηνός. [117.] Ταῦτα τοίνυν καὶ τὰ πρῴην εἰρημένα, καὶ τάξιν φυλάττειν ὀφείλει τις· καὶ ὅσα μὲν καταλαβεῖν δυνηθῇ, ἐργάζεσθαι δεῖ, ὅσα δὲ οὐκ ἰσχύσει καταλαβεῖν, μετὰ σιγῆς εὐχαριστῆσαι δεῖ, ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ, καὶ μὴ ἀναιδῶς εἰσελθεῖν νομίσειε. Φησὶ γὰρ ὁ αὐτός, ἐκ τοῦ Σειρὰχ λαβὼν τὴν χρῆσιν· ὅταν εὕρῃς*

μένει, ζητώντας ἀπὸ τὸν Θεὸ τὴν λύσι καὶ ὅταν τὴν εὕρῃ, χαίρεται καὶ ὑπομένει [πλέον] μὲ εὐχαριστία καὶ ἀφοῦ ἀποκτήσει πεῖρα ἀπὸ αὐτά, ἀποκτᾶ τὴν γνῶσι. Καὶ γνωρίζοντας τὴν δική του ἀδυναμία καὶ ἄγνοια, ζητεῖ μὲ πόνο τὸν ἰατρὸ καὶ «ζητῶν εὑρίσκει» τὴν θεραπεία, ὅπως εἶπε ὁ ἴδιος ὁ Χριστός. Καὶ ὅταν τὴν ἐπιτύχῃ, ποθεῖ [τὸν Θεό], καὶ ποθώντας, περισσοτέρου πόθου ἀξιώνεται ἀπὸ τὸν Θεὸ καὶ ἀφοῦ καθαρίσῃ τὸν ἑαυτό του, κατὰ τὸ δυνατὸν [ἀπὸ τὰ πάθη], ἀγωνίζεται νὰ ἑτοιμάσῃ τόπο στὸν ποθούμενο [Χριστό]. Καὶ Ἐκεῖνος, ὅταν εὕρῃ [κατάλληλο] τόπο, κατοικεῖ, ὅπως λέγει τὸ Γεροντικό[ϟθ']. Καὶ ἀφοῦ κατοικεῖ, [Ἐκεῖνος πλέον] φυλάσσει τὸν οἶκον του καὶ ἀρχίζει νὰ τὸν λαμπρύνῃ. Καὶ καθὼς λαμπρύνεται [ὁ ἄνθρωπος], γνωρίζει [τὸν Θεὸ] καὶ γνωρίζοντας, γνωρίζεται [ἀπὸ Αὐτόν], ὅπως λέγει ὁ Δαμασκηνός.

117. Αὐτὰ λοιπὸν καὶ ὅσα ἔχομε προαναφέρει, ὀφείλει κατὰ τάξιν νὰ φυλάσσῃ κανείς. Καὶ ὅσα μὲν [ἀπὸ αὐτὰ] μπορέσῃ νὰ τὰ καταλάβῃ, πρέπει νὰ τὰ ἐργάζεται· [γιὰ] ὅσα ὅμως δὲν θὰ μπορέσῃ νὰ καταλάβῃ, πρέπει μετὰ σιωπῆς νὰ εὐχαριστήσῃ, ὅπως λέγει ὁ Ἅγιος Ἰσαάκ[ρ'] καὶ νὰ μὴν νομίσῃ, ὅτι θὰ εἰσέλθῃ σὲ αὐτὰ [στὴν κατανόησί τους] μὲ ἀναίδεια. Γιατὶ λέγει ὁ ἴδιος, χρησιμοποιώντας τοὺς λόγους ἀπὸ τὸν Σειράχ[ρα']: «Ὅταν εὕρῃς

μέλι, συμμέτρως φάγε, ἵνα μὴ ἐμπλησθεὶς ἐμέσης[152]*· καὶ ὥς φησιν ὁ Θεολόγος· θεωρία ἀχαλίνωτος, τάχα ἂν καὶ κατὰ κρημνῶν ὤσειεν, ἤτοι τὸ ζητεῖν τινὰ τὰ ὑπέρμετρα καὶ μὴ θέλειν εἰπεῖν ὅτι ὁ Θεὸς οἶδε ταῦτα, ἐγὼ δὲ τίς εἰμι; καὶ πιστεύειν, ὅτι ὁ ποιήσας τὰ ὄρη καὶ τὰ κήτη τὰ μεγάλα, αὐτὸς κοιλάνας καὶ τὸ κέντρον τῆς μελίσσης, ὥς φησιν ὁ Μέγας Βασίλειος. [118.] Ὁ οὖν ἐκ τῆς ἰσχύος εἰς τὴν σύνεσιν φθάσας, γινώσκει ἐκ τῶν αἰσθητῶν τὰ νοητά, ἐκ καὶ [recte: καὶ ἐκ] τῶν ὁρατῶν καὶ προσκαίρων τὰ ἀόρατα καὶ αἰώνια· καὶ συνιεὶς ὑπὸ τῆς χάριτος τὰ περὶ τῶν ἄνω δυνάμεων, ὅτι ἑνὸς δικαίου οὐκ ἔστιν ἀντάξιος ὅλος ὁ κόσμος· καὶ σκόποι μοι, φησὶν ὁ Χρυσόστομος, τῶν τοσούτων ἐθνῶν καὶ γλωσσῶν, ὧν ὁ δίκαιος μείζων ἐστίν, Ἄγγελος πάντως τοῦ ἀνθρώπου μείζων· καὶ ἀρκεῖ ἡ θεωρία τοῦ ἑνός, πρὸς πᾶσαν ἔκπληξιν· καὶ πάλιν, τί ἔπαθεν ὁ ἰσάγγελος Δανιὴλ ὁρῶν τὸν Ἄγγελον*[153]*.*

μέλι, φάγε μὲ μέτρο, γιὰ νὰ μὴν κορεσθῇς καὶ κάνεις ἐμετό». Καὶ ὅπως λέγει ὁ Θεολόγος [Γρηγόριος][ρβ'], ἀχαλίνωτη θεωρία θὰ μποροῦσε ἴσως νὰ ὠθήσῃ καὶ σὲ γκρεμούς, δηλαδὴ τὸ νὰ ζητήσῃ κανεὶς αὐτὰ ποὺ εἶναι πάνω ἀπὸ τὰ μέτρα του καὶ νὰ μὴ θέλῃ νὰ πῇ, ὅτι «ὁ Θεὸς [μόνον] γνωρίζει αὐτά, ἐγὼ δὲ ποιὸς εἶμαι»; Καὶ νὰ πιστεύῃ, ὅτι Ἐκεῖνος, ὁ Ὁποῖος ἐδημιούργησε τὰ ὄρη καὶ τὰ μεγάλη κήτη, Αὐτὸς ἔκανε κοῖλο καὶ τὸ κεντρὶ τῆς μέλισσας, ὅπως λέγει ὁ Μέγας Βασίλειος[ργ'].

118. Ἐκεῖνος λοιπόν, ὁ ὁποῖος ἔφθασε ἀπὸ τὴ δύναμι στὴ σύνεσι, γνωρίζει ἀπὸ τὰ αἰσθητὰ τὰ νοητὰ καὶ ἀπὸ τὰ ὁρατὰ καὶ πρόσκαιρα, τὰ ἀόρατα καὶ τὰ αἰώνια. Καὶ μὲ τὴ Χάρι [τοῦ Θεοῦ] κατανοεῖ τὰ σχετικὰ μὲ τὶς οὐράνιες δυνάμεις, [καὶ] ὅτι ὅλος ὁ κόσμος δὲν ἀξίζει ὅσο ἕνας δίκαιος· καὶ λέγει ὁ Χρυσόστομος[ρδ'], «σκέψου τὰ τόσα ἔθνη καὶ τὶς τόσες φυλές, ἀπὸ τὰ ὁποῖα ὁ δίκαιος εἶναι ἀνώτερος», ὁ Ἄγγελος ὅμως εἶναι ἀνώτερος [ἀπὸ τὸν ἄνθρωπο] καὶ ἀρκεῖ ἡ ἐμφάνισι ἑνὸς [μόνον Ἀγγέλου] γιὰ νὰ προκαλέσῃ κάθε ἔκπληξι καὶ πάλι [ἀρκεῖ νὰ θυμηθοῦμε], τί ἔπαθε ὁ ἰσάγγελος Δανιὴλ, ὅταν εἶδε τὸν Ἄγγελο.

[119.] Καταξιωθεὶς γὰρ τῆς ἑβδόμης γνώσεως θαυμάζει, τὸ πλῆθος τῶν ἀσωμάτων δυνάμεων, Ἐξουσιῶν, Θρόνων, Κυριοτήτων, Σεραφὶμ καὶ Χερουβίμ, τῶν ἐννέα μὲν ταγμάτων, τῶν ἐν πάσαις ταῖς θείαις Γραφαῖς εὑρισκομένων, ὧν τὴν φύσιν, ἰσχύν τε καὶ τὰ λοιπὰ ἀγαθά, ἃ περὶ αὐτῶν θεωροῦνται, τῷ Θεῷ καὶ ποιητῇ αὐτῶν γινωσκόμενα· καὶ πῶς κατὰ τάξιν ἵστανται. Ἀλλὰ καὶ ἄλλα ἀξιώματα ἔχουσιν αἱ ἄνω στρατιαί, περὶ ὧν φησιν ὁ Χρυσόστομος· ὅτι τὸ Κύριος Σαβαώθ[154], Κύριος στρατιῶν δυνάμεων ἑρμηνεύεται, καὶ πῶς ἀλλήλοις μεταδιδοῦσι τὸν φωτισμόν. Οἱ μὲν Ἄγγελοί φησι τοὺς ἀνθρώπους φωτίζουσιν, αὐτοὶ δὲ ὑπὸ τῶν Ἀρχαγγέλων τὸν φωτισμὸν λαμβάνουσι, κἀκεῖνοι ὑπὸ τῶν Ἀρχῶν, καὶ οὕτως ἕκαστον τάγμα ὑπὸ τοῦ ἑτέρου τὸν φωτισμὸν καὶ τὴν γνῶσιν δέχεται. Καὶ πάλιν, πῶς τῶν ἀνθρώπων τὸ γένος ἓν πρόβατον εἶναι, φασίν, ὃ ἀπώλεσεν οὐχ ὁ Θεός, ἀλλ' αὐτὸ ἑαυτό· τῶν δὲ Ἀγγέλων ἐνενήκοντα ἐννέα[155]. Καὶ κατα-

119. Ἐκεῖνος λοιπόν, ὁ ὁποῖος ἀξιώθηκε [νὰ ἔλθῃ] στὴν ἑβδόμη γνῶσι, θαυμάζει τὸ πλῆθος τῶν Ἀσωμάτων Δυνάμεων, δηλαδὴ τὶς Ἐξουσίες, τοὺς Θρόνους, τὶς Κυριότητες, τὰ Σεραφίμ, τὰ Χερουβίμ, τὰ Ἐννέα Τάγματα, τὰ ἀναφερόμενα σὲ ὅλες τὶς θεῖες Γραφές, τῶν ὁποίων τὴ φύσι καὶ τὴ δύναμι καὶ τὰ λοιπὰ [εἰδοποιὰ] καλά, ποὺ τὰ χαρακτηρίζουν, τὰ γνωρίζει [μόνον] ὁ Θεὸς καὶ Δημιουργός τους. Καὶ [θαυμάζει ἀκόμη] πῶς παραστέκονται σύμφωνα μὲ τὴν τάξι [τους][ϟε΄]. Ἀλλὰ καὶ ἄλλα ἀξιώματα ἔχουν οἱ οὐράνιες στρατιές, γιὰ τὶς ὁποῖες [σχετικὰ] λέγει ὁ Χρυσόστομος[ϟστ΄], ὅτι τὸ «Κύριος Σαβαὼθ» ἑρμηνεύεται «Κύριος τῶν στρατιῶν τῶν Δυνάμεων» καὶ πῶς [αὐτὲς οἱ στρατιὲς] μεταδίδουν τὸ φωτισμὸ μεταξύ τους. Οἱ μὲν Ἄγγελοι, λέγει, φωτίζουν τοὺς ἀνθρώπους, αὐτοὶ [ὅμως] δέχονται τὸ φωτισμὸ ἀπὸ τοὺς Ἀρχαγγέλους καὶ Ἐκεῖνοι ἀπὸ τὶς Ἀρχές· καὶ ἔτσι τὸ κάθε τάγμα δέχεται τὸ φωτισμὸ καὶ τὴ γνῶσι ἀπὸ τὸ ἄλλο [ἀνώτερο τάγμα]. Καὶ πάλι [θαυμάζει], πῶς τὸ γένος τῶν ἀνθρώπων, λέγουν, ὅτι εἶναι τὸ ἕνα πρόβατο [τὸ ἀπολωλός], τὸ ὁποῖο δὲν τὸ ἔχασε ὁ Θεός, ἀλλὰ τὸ ἴδιο [χάθηκε] γιὰ τὸν ἑαυτό του· ἐνῶ τῶν Ἀγγέλων [τὰ γένη] εἶναι «τὰ ἐνεννήκοντα ἐννέα». Καὶ κα-

νοῶν τοῦ Δημιουργοῦ τὴν σοφίαν καὶ τὴν δύναμιν, πῶς τοσαῦτα πλήθη κελεύσει μόνη ἐποίησε; πρῶτα μὲν φησὶν ὁ Θεολόγος, ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις, καὶ τὰ ἑξῆς. Καὶ εἰσελθὼν νοερῶς ἔσωθεν τοῦ βήλου, ἤτοι τοῦ καταπετάσματος, γίνεται ἄϋλος, ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ. Τύπον μὲν ἐπέχει, ὁ μὲν ἔξωθεν ναός, τοῦ κόσμου τούτου· τὸ δὲ καταπέτασμα, ἤτοι βιλόθυρον [recte: βηλόθυρον], τοῦ στερεώματος τοῦ οὐρανοῦ· τὰ δὲ ἅγια τῶν ἁγίων, τῶν ὑπερκοσμίων, ὅπου οἱ ἀσώματοι καὶ ἄϋλοι ἀπαύστως ὑμνοῦσι τὸν Θεὸν καὶ ὑπὲρ ἡμῶν ἱκετεύουσιν αὐτόν, κατὰ τὸν Μέγαν Ἀθανάσιον. Καὶ οὕτως ἔρχεται εἰς τὴν εἰρήνην τῶν λογισμῶν καὶ υἱὸς Θεοῦ κατὰ χάριν γίνεται, γινώσκων τὰ κεκρυμμένα ἐν ταῖς θείαις Γραφαῖς μυστήρια, ὥς φησιν ὁ Δαμασκηνός. Ἐῤῥάγη τὸ τοῦ ναοῦ θεῖον καταπέτασμα[156] ἐν τῷ σταυρῷ τοῦ Δημιουργοῦ, τὴν ἐγκεκρυμμένην τῷ γράμματι δηλοῦν τοῖς πιστοῖς ἀλήθειαν· εὐλογητὸς εἶ κράζουσιν ὁ Θεὸς τῶν πατέρων ἡμῶν·

τανοώντας τὴν σοφία καὶ τὴ δύναμι τοῦ Δημιουργοῦ, [θαυμάζει] πῶς ἐδημιούργησε τόσα πλήθη μὲ μόνη τὴν προσταγή Του. Πρῶτα μέν, λέγει ὁ [Γρηγόριος] ὁ Θεολόγος ἐννοεῖ τὶς Ἀγγελικὲς Δυνάμεις καὶ τὰ λοιπά. Καὶ ἀφοῦ εἰσέλθη νοερά, «ἔνδον τοῦ βήλου», δηλαδὴ περάση μέσα ἀπὸ τὸ καταπέτασμα, γίνεται ἄϋλος, ὅπως λέγει ὁ Ἅγιος Ἰσαάκ[ϙζ']. Καὶ εἶναι, ὁ μὲν ἔξω ναὸς τύπος τοῦ κόσμου τούτου, τὸ δὲ καταπέτασμα δηλαδὴ τὸ βημόθυρο [εἶναι τύπος] τοῦ στερεώματος τοῦ οὐρανοῦ· τὰ δὲ Ἅγια τῶν Ἁγίων [τύπος] τῶν ὑπερκοσμίων, ὅπου οἱ Ἀσώματοι καὶ ἄϋλοι ὑμνοῦν ἀκατάπαυστα τὸ Θεὸ καὶ Τὸν ἱκετεύουν γιὰ μᾶς, κατὰ τὸν Μέγα Ἀθανάσιο. Καὶ ἔτσι φθάνει στὴν εἰρήνη τῶν λογισμῶν καὶ γίνεται κατὰ Χάριν υἱὸς Θεοῦ, γνωρίζοντας τὰ κρυμμένα στὶς θεῖες Γραφὲς μυστήρια, ὅπως λέγει ὁ Δαμασκηνός[ϙη']. «Ἐσχίσθη τὸ Θεῖο καταπέτασμα» τοῦ ναοῦ, μὲ τὴν Σταύρωσι τοῦ Δημιουργοῦ, φανερώνοντας στοὺς πιστοὺς τὴν ἀλήθεια, ἡ ὁποία ἦταν κρυμμένη στὸ γράμμα [τοῦ νόμου]. Καὶ ἔτσι κραυγάζουν οἱ πιστοὶ «Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν».

καὶ ὥς φησιν ὁ Ἅγιος Κοσμᾶς ὁ Μελῳδός, ξύλου γευσάμενος ὁ πρῶτος ἐν βροτοῖς, φθορᾷ παρῴκησεν· ῥῖψιν γὰρ ζωῆς ἀτιμοτάτην κατακριθείς, ὅλῳ τῷ γένει σωματοφθόρος τις ὡς λύμη τῆς νόσου μετέδωκεν· ἀλλ' εὑρηκότες γηγενεῖς ἀνάκλησιν σταυροῦ τὸ ξύλον, κράζομεν· ὁ ὑπερύμνητος, καὶ τὰ ἑξῆς.

Καί, ὅπως λέγει ὁ Ἅγιος Κοσμᾶς ὁ Μελωδός[ρθ'], «ὁ πρῶτος ἀπὸ τοὺς ἀνθρώπους, ἀφοῦ ἔφαγε ἀπὸ τὸ ξύλο, συγκατοίκησε μὲ τὴ φθορά, γιατί, ἀφοῦ καταδικάστηκε σὲ ἀτιμώτατο θάνατο, μετέδωσε, ὡς σωματοφθόρος [πλέον], σὲ ὅλο τὸ γένος [τὸν θάνατο] σὰν μολυσματικὴ νόσο. Ἀλλὰ ἐμεῖς οἱ ἄνθρωποι, ἀφοῦ βρήκαμε τὴν ἀνάκλησι [τῆς καταδίκης] μὲ τὸ ξύλο τοῦ Σταυροῦ, κράζομε, Ὑπερύμνητε» καὶ τὰ λοιπά.

ΠΕΡΙ ΤΗΣ ΟΓΔΟΗΣ ΓΝΩΣΕΩΣ

[120.] Ἐκ ταύτης δὲ τῆς ὀγδόης γνώσεως εἰς τὴν περὶ Θεοῦ θεωρίαν ἀνάγεται διὰ τῆς δευτέρας καὶ καθαρᾶς προσευχῆς, τῆς πρεπούσης τῷ θεωρητικῷ. Ὥστε ἐν αὐτῇ τῇ ὁρμῇ τῆς προσευχῆς ἁρπάζεται ὁ νοῦς ὑπὸ τοῦ θείου πόθου καὶ οὐκ ἔτι ἐπίσταταί τι τὸ παράπαν ἐκ τοῦ κόσμου τούτου, ὥς φασιν ὅ τε Μάξιμος καὶ ὁ Δαμασκηνός. Καὶ οὐ μόνον τὰ πάντα ὁ νοῦς ἐπιλανθάνεται, ἀλλὰ καὶ ἑαυτόν. Φησὶ γὰρ ὁ Ἅγιος Νεῖλος, ὅτι ἐὰν ἔτι ἑαυτὸν ὁ νοῦς ἐπίσταται, οὐκ ἔστιν ἐν τῷ μόνῳ Θεῷ, ἀλλὰ καὶ ἐν ἑαυτῷ. Τότε

120. Ἀπὸ αὐτὴ τὴν ὀγδόη γνῶσι, ἀνυψώνεται κανεὶς στὴν περὶ τοῦ Θεοῦ θεωρία, μέσῳ τῆς δευτέρας καὶ καθαρᾶς προσευχῆς, ἡ ὁποία ἁρμόζει στὸν θεωρητικό. Ὥστε μέσα ἀπὸ αὐτὴ τὴν ὁρμὴ τῆς προσευχῆς, ἁρπάζεται ὁ νοῦς ἀπὸ τὸν θεῖο πόθο καὶ δὲν ἀντιλαμβάνεται τίποτα πλέον ἀπὸ τὸν κόσμο αὐτό, ὅπως λέγει καὶ ὁ Μάξιμος[ρι'] καὶ ὁ Δαμασκηνός. Καὶ ὄχι μόνον τὰ πάντα λησμονεῖ ὁ νοῦς, ἀλλὰ καὶ αὐτὸν τὸν ἑαυτόν του. Διότι λέγει ὁ Ἅγιος Νεῖλος[ρια'], ἐὰν ἀκόμα ὁ νοῦς ἔχει ἀντίληψι διὰ τὰ τοῦ ἑαυτοῦ του, δὲν εἶναι [πλέον μόνον] στὸν Θεό, ἀλλὰ καὶ στὸν ἑαυτό του. Τότε

*γὰρ λαμβάνει, φησὶν ὁ Ἅγιος Μάξιμος, περὶ Θεοῦ ἐμφάσεις καὶ θεολόγος γίνεται, καταξιωθεὶς τῆς τοῦ Ἁγίου Πνεύματος ἐπιφοιτήσεως. Περὶ δὲ Θεοῦ ἀκούων, μὴ δοκεῖ ἐξ ἀγνωσίας τις, ὅτι αὐτὸν τὸν Θεὸν εἶναι τὰ περὶ αὐτοῦ θεωρούμενα, οἷον ἀγαθότητα, χρηστότητα, δικαιοσύνην, ἁγιασμόν, φῶς, πῦρ, οὐσίαν, φύσιν, δύναμιν, σοφίαν καὶ τὰ τοιαῦτά φησιν ὁ Μέγας Διονύσιος· ἀλλ᾽ οὐδὲ ὅσα ὁ νοῦς περιορίζειν δύναται. Ἀόριστον γὰρ τὸ θεῖον καὶ ἀπερίγραπτον καὶ οὐκ ἐκ τῶν κατ᾽ αὐτὸν θεολογεῖται, ἀλλ᾽ ἐκ τῶν περὶ αὐτόν, ὥς φησιν ὁ Μέγας Διονύσιος πρὸς τὸν Ἅγιον Τιμόθεον, τὴν μαρτυρίαν ἐπιφέρων ἐκ τοῦ Ἁγίου Ἱεροθέου· δικαιότερον μᾶλλον εἰπεῖν τὸ ἀκατάληπτον, τὸ ἀνεξιχνίαστον, τὸ ἀνερμήνευτον, καὶ ὅσα οὐ δυνατὸν ὁρίζειν. Ὑπὲρ νοῦν γάρ ἐστι καὶ ἔννοιαν καὶ μόνῳ ἑαυτῷ γνωστόν, ἕνα Θεόν, τρισυπόστατον, ἄναρχον, ἀτελεύτητον, ὑπεράγαθον, ὑπερύμνητον. [**121.**] Καὶ τὰ μὲν περὶ αὐτοῦ λεγόμενα ὑπὸ τῆς θείας Γραφῆς ἐξ ἀπορί-*

λοιπόν, λέγει ὁ Ἅγιος Μάξιμος[ριβ'], δέχεται ἐμφάνειες [θεοπτία] περὶ τοῦ Θεοῦ καὶ γίνεται θεολόγος, ἐνῶ καταξιώθηκε [νὰ δεχθῇ] ἐπιφοίτησι τοῦ Ἁγίου Πνεύματος. Ὅταν ἀκούῃ [λοιπὸν] κανεὶς γιὰ τὸν Θεό, νὰ μὴν νομίσῃ ἀπὸ ἄγνοια, ὅτι Θεὸς [ἡ οὐσία δηλαδὴ τοῦ Θεοῦ], εἶναι αὐτὰ τὰ ὁποῖα ἐμεῖς θεωροῦμε γι᾽ Αὐτόν, ὅπως ἀγαθότης, χρηστότης, δικαιοσύνη, ἁγιασμός, φῶς, πῦρ, οὐσία, φύσις, δύναμις, σοφία, καὶ τὰ παρόμοια, λέγει ὁ Μέγας Διονύσιος, ἀλλὰ οὔτε καὶ ὅσα ὁ [ἀνθρώπινος] νοῦς μπορεῖ νὰ περιλάβῃ [ἐντός του]. Διότι τὸ θεῖο εἶναι ἀόριστο καὶ ἀπερίγραπτο καὶ δὲν θεολογεῖται[9] [προσδιορίζεται θεολογικῶς] ἀπὸ αὐτά, τὰ ὁποῖα ἀφοροῦν Αὐτὸ καθ᾽ Ἑαυτὸ [τὴν οὐσία του], ἀλλὰ ἀπὸ αὐτὰ [ποὺ θεωροῦνται] περὶ Αὐτοῦ [τὶς ἄκτιστες ἐνέργειές του], ὅπως λέγει ὁ Μέγας Διονύσιος[ριγ'] πρὸς τὸν Ἅγιο Τιμόθεο, μεταφέροντας τὴν μαρτυρία ἀπὸ τὸν Ἅγιο Ἱερόθεο. Πιὸ ἀκριβὲς μᾶλλον [εἶναι] νὰ ποῦμε, ὅτι [θεολογεῖται] ἀπὸ τὸ ἀκατάληπτον, τὸ ἀνεξιχνίαστον, τὸ ἀνερμήνευτο καὶ ὅσα [ἄλλα] δὲν μποροῦν νὰ τὸ ὁρίσουν [ἀποφατικὴ Θεολογία]. Διότι, [ὁ Θεὸς] εἶναι ὑπὲρ [πάντα ἀνθρώπινον] νοῦ καὶ ἔννοια καὶ γνωστὸς μόνον εἰς τὸν Ἑαυτό Του, ἕνας Θεός, τρισυπόστατος, ἄναρχος, ἀτελεύτητος, ὑπεράγαθος, ὑπερύμνητος.

121. Καὶ αὐτὰ τὰ ὁποῖα λέγονται γι᾽ Αὐτὸν εἰς τὴν θεία Γραφή, λέγονται ἀπὸ ἀδυναμία ἐπαρκοῦς γνώ-

ας λέγονται, πρὸς τὸ γνῶναι ἡμᾶς, ὅτι ἔστι Θεός, καὶ οὐχὶ τί ἐστι, διὰ τὸ ἀκατάληπτον εἶναι πάσῃ τῇ λογικῇ καὶ νοερᾷ φύσει. Ὁμοίως δὲ καὶ τὴν σάρκωσιν τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν, ὥς φησιν ὁ Ἅγιος Κύριλλος, δεῖ θαυμάζειν, καὶ πῶς ἐν τῇ θεότητι αὐτοῦ ὑποστᾶσα ἡ σάρξ, ἣ [recte: ἣν] ἔλαβεν ἐξ ἡμῶν, κατὰ τὸν Μέγαν Βασίλειον, ὅτι καθάπερ σίδηρος καὶ πῦρ, οὕτως ὑπάρχει ἡ ἕνωσις. Ἵνα τὸν ἕνα Χριστὸν ἐν δύω φύσεσι γνωρίσωμεν, ὡς ἔφη ὁ Δαμασκηνὸς πρὸς τὴν Θεοτόκον· μίαν μὲν ὑπόστασιν, ἐν δυσὶ δὲ φύσεσι, πανάμωμε, τέτοκας τὸν σεσαρκωμένον Θεόν, ᾧ πάντες μελῳδοῦμεν, ὁ Θεὸς εὐλογητὸς εἶ. Καὶ πάλιν· ὁ ἀπεριόριστος διαμείνας ἄτρεπτος, σαρκὶ καθ' ὑπόστασιν ἡνώθη ὡς εὔσπλαχνος ἐν σοὶ τῇ παναγίᾳ, ὁ μόνος εὐλογημένος.

σεως, [μόνον] γιὰ νὰ γνωρίσωμε ἐμεῖς, ὅτι ὑπάρχει Θεὸς καὶ ὄχι τί εἶναι [Θεός], διότι εἶναι ἀκατάληπτος σὲ κάθε λογικὴ καὶ νοερὰ φύσι. Ὁμοίως δέ, πρέπει νὰ θαυμάζωμε, ὅπως λέγει ὁ Ἅγιος Κύριλλος[ριδ'], καὶ τὴν Σάρκωσι τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ τὴν ὑποστατική Του ἕνωσι καὶ πῶς εἰς τὴν θεότητά Του ὑφίσταται ἡ σάρκα, τὴν ὁποία ἔλαβε ἀπὸ ἐμᾶς, κατὰ τὸν Μέγα Βασίλειο· [διότι,] ὅπως γίνεται ἕνα ὁ σίδηρος μὲ τὴ φωτιὰ [ὅταν πυρακτωθῇ], ἔτσι εἶναι καὶ ἡ ἕνωσι [αὐτή], γιὰ νὰ γνωρίσωμε τὸν Χριστὸ μὲ δύο φύσεις, ὅπως εἶπε ὁ Δαμασκηνὸς[ριε'] γιὰ τὴ Θεοτόκο· «μίαν ὑπόστασιν μὲ δύο φύσεις ἔχεις γεννήσει Πανάμωμε, τὸν σαρκωμένο Θεό, πρὸς τὸν Ὁποῖο ὅλοι ψάλλομε· Ὁ Θεὸς εὐλογητὸς εἶ». Καὶ πάλιν «ὁ ἀπεριόριστος, ἐνῶ παρέμεινεν ἀμετάβλητος, ἑνώθηκε ὑποστατικῶς μὲ τὴ σάρκα μέσα σὲ Σένα τὴν Παναγίαν, ὡς εὔσπλαχνος, ὁ μόνος εὐλογημένος».

ΟΤΙ ΟΥΚ ΕΧΟΥΣΙ ΔΙΑΦΩΝΙΑΝ ΑΙ ΘΕΙΑΙ ΓΡΑΦΑΙ

ΟΤΙ ΔΕΝ ΕΧΟΥΝ ΔΙΑΦΩΝΙΑ ΟΙ ΘΕΙΕΣ ΓΡΑΦΕΣ

[122.] Καὶ ἁπλῶς πᾶσαν ἀνάγνωσιν ἢ ψαλμῳδίαν κατανοῶν ὁ φωτισθεὶς μικρόν, θεωρίαν εὑρίσκει καὶ θεολογίαν καὶ ἑκάστην Γραφὴν μαρτυρουμένην ὑπὸ ἑτέρας Γραφῆς. Ὁ δὲ ἔτι ἀφώτιστον νοῦν ἔχων, δοκεῖ ὅτι ἔχουσιν αἱ θεῖαι Γραφαὶ διαφωνίαν, ἀλλ᾽ οὐ παρὰ ταῖς θείαις Γραφαῖς τοῦτο, μὴ γένοιτο. Διότι αἱ θεῖαι Γραφαί, αἱ μὲν μαρτυρίαν ἔχουσιν ἀπὸ ἄλλων Γραφῶν, αἱ δὲ ἔχουσι τὸν καιρὸν αἴτιον, ἢ τὸ πρόσωπον, καὶ διὰ τοῦτο πᾶσα λέξις γραφικὴ ἄμεμπτός ἐστι. Τὸ δὲ ἔξωθεν τούτων τῶν τρόπων, τῆς ἡμῶν ἀγνωσίας ἔργον ἐστιν, καὶ οὐκ ὀφείλει τις τὰς Γραφὰς μέμφεσθαι, ἀλλὰ πάσῃ δυνάμει ταύτας τηρεῖν, καθὼς κεῖνται. Καὶ οὐχ ὡς αὐτὸς θέλει, ὥσπερ οἱ Ἕλληνες καὶ οἱ Ἰουδαῖοι ἐποίουν· μὴ καταδεχόμενοι λέγειν τὸ οὐκ οἶδα τί ἐστιν· ἀλλ᾽ ἐξ οἰήσεως καὶ αὐταρεσκείας τὰς Γραφὰς καὶ τῶν πραγμάτων τὴν φύσιν ἐμέμφοντο καὶ κατὰ τὸ δοκοῦν αὐτοῖς ἐνενόησαν καὶ

122. Καὶ γενικὰ ἐκεῖνος, ὁ ὁποῖος φωτίστηκε [ἔστω καὶ] λίγο, καθὼς κατανοεῖ κάθε ἀνάγνωσι καὶ ψαλμωδία, εὑρίσκει θεωρία καὶ θεολογία καὶ ὅτι κάθε Γραφή, ἐπιβεβαιώνεται ἀπὸ ἄλλη Γραφή. Ἐκεῖνος ὅμως, τοῦ ὁποίου ὁ νοῦς δὲν ἔχει ἀκόμα φωτισθεῖ, νομίζει ὅτι οἱ Γραφὲς παρουσιάζουν [μεταξύ τους] διαφωνία, ἀλλὰ αὐτὸ δὲν συμβαίνει στὶς θεῖες Γραφές· μὴ γένοιτο. Διότι, ἄλλες μὲν ἀπὸ τὶς θεῖες Γραφὲς [ἔχουν τὴν ἀπόδειξι] εἰς τὴν μαρτυρία ἄλλων, ἄλλες δὲ ἔχουν ὡς [ἀποδεικτικὸ] αἴτιο τὸν καιρὸ [ποὺ γράφτηκαν] ἢ τὸ πρόσωπο [ποὺ τὶς ἔγραψε] καὶ γι᾽ αὐτὸ κάθε λέξι τῆς Γραφῆς εἶναι ἄμεμπτη. [Ὁ,τιδήποτε εἶναι] ἔξω ἀπὸ αὐτὲς τὶς περιπτώσεις, εἶναι ἀποτέλεσμα τῆς δικής μας ἄγνοιας καὶ δὲν πρέπει κανεὶς νὰ κατηγορῇ τὶς Γραφές, ἀλλὰ μὲ ὅλη του τὴ δύναμι νὰ τὶς τηρῇ ὅπως [ἀκριβῶς] εἶναι. Καὶ ὄχι ὅπως αὐτὸς θέλει, σὰν τοὺς Ἐθνικοὺς και τοὺς Ἰουδαίους, οἱ ὁποῖοι δὲν καταδέχονται νὰ ποῦν τὸ «δὲν γνωρίζω τί εἶναι» ἀλλὰ ἀπὸ ἀλαζονεία καὶ αὐταρέσκεια κατηγοροῦσαν τὶς Γραφὲς καὶ τὴν φύσι τῶν πραγμάτων καὶ τὶς ἐννοοῦσαν, ὅπως αὐτοὶ ἤθελαν καὶ

οὐ κατὰ τὸ βούλημα τοῦ Θεοῦ. Διὰ τοῦτο ἐπλανήθησαν καὶ εἰς πᾶσαν κακίαν ἐξέκλιναν. [123.] Πᾶς γὰρ ὁ τὸν σκοπὸν τῆς Γραφῆς ζητῶν, οὐ στήσει ποτὲ ἴδιον νόημα, ἢ καλὸν ἢ κακόν· ἀλλ' ὡς ἔφησαν ὁ Μέγας Βασίλειος καὶ ὁ Χρυσόστομος, τὴν θείαν Γραφὴν ἔχει διδάσκαλον καὶ οὐ τὰ τοῦ κόσμου μαθήματα· ἵνα εἴτι βάλῃ ὁ Θεὸς εἰς τὴν καθαρὰν καρδίαν χωρὶς σκέψεως, ἐκεῖνο δέχηται· ἂν σὺν αὐτῷ καὶ ἡ μαρτυρία εὑρίσκηται ἐκ τῶν θείων Γραφῶν, ὥς φησιν ὁ Μέγας Ἀντώνιος. Αἱ γὰρ ἐρχόμεναι ἔννοιαι αὐτομάτως ἐν τῷ νοῒ τῶν ἡσυχαζόντων κατὰ Θεόν, χωρὶς σκέψεως, δεκταί εἰσι, φησὶν ὁ Ἅγιος Ἰσαάκ. Τὸ δὲ ἐρευνᾶν καὶ σκέπτεσθαι τινά, ἴδιόν ἐστι θέλημα καὶ ἐπιστήμη σωματική· καὶ μάλιστα εἴπερ βιάζει ὡς κλέπτης τὴν Γραφήν, πρὸς ἀλληγορίαν, φησὶν ὁ Χρυσόστομος καὶ οὐκ ἀπὸ τῆς θύρας τῆς ταπεινοφροσύνης εἰσέρχεται, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν[157]. Διότι ὁ τὸν σκοπὸν τῆς Γραφῆς βιάζων, ἢ μεμφομένος πρὸς τὸ στῆσαι τὴν ἰδίαν γνῶσιν,

ὄχι κατὰ τὸ θέλημα τοῦ Θεοῦ. Γι' αὐτὸ ἐπλανήθηκαν καὶ παρεκτράπησαν σὲ κάθε κακία. 123. Διότι, αὐτὸς ποὺ ζητᾶ τὸν σκοπό τῆς Γραφῆς δὲν θὰ ὑποστηρίξῃ ποτὲ δικό του νόημα, εἴτε καλὸ εἴτε κακό. Ἀλλά, ὅπως εἶπαν ὁ Μέγας Βασίλειος καὶ ὁ Χρυσόστομος[ριστ'], [αὐτὸς] ἔχει [ὡς] διδάσκαλο τὴν θεία Γραφὴ καὶ ὄχι τὰ μαθήματα τοῦ κόσμου· ὥστε νὰ δέχεται ὅ,τι βάζει ὁ Θεὸς εἰς τὴν καθαρὴ καρδία [του], χωρὶς [ἄλλη] σκέψι· ἂν [μάλιστα] μαζὶ μὲ αὐτὸν [μὲ τὴν γνώμη του], εὑρίσκεται καὶ ἡ [σύμφωνη] μαρτυρία ἀπὸ τὶς θεῖες Γραφές, ὅπως λέγει ὁ Μέγας Ἀντώνιος[ριζ']. Διότι, οἱ ἔννοιες ποὺ ἔρχονται αὐτομάτως, χωρὶς σκέψι, εἰς τὸν νοῦ ἐκείνων οἱ ὁποῖοι ἡσυχάζουν κατὰ Θεόν, εἶναι δεκτές, λέγει ὁ Ἅγιος Ἰσαάκ[ριη']. Τὸ νὰ ἐρευνᾷ ὅμως [κανεὶς] καὶ νὰ σκέπτεται, εἶναι δικό του θέλημα καὶ ἐπιστήμη σωματική· καὶ μάλιστα ἂν βιάζῃ σὰν κλέφτης τὴν Γραφὴ γιὰ κάποια ἀλληγορικὴ ἔκφρασι, λέγει ὁ Χρυσόστομος, καὶ δὲν εἰσέρχεται ἀπὸ τὴν θύρα τῆς ταπεινοφροσύνης «ἀλλὰ ἀνεβαίνει ἀπὸ ἀλλοῦ»· διότι δὲν ὑπάρχει πιὸ ἀνόητος ἐπάνω στὴ γῆ, ἀπὸ ἐκεῖνον ὁ

μᾶλλον δὲ ἀγνωσίαν, οὐκ ἔστιν ἐπὶ τῆς γῆς τοῦ τοιούτου ἀφρονέστερος. [124.] Ποίας οὖν ἐπιστήμης τοῦτο, ἵνα ὡς θέλει τις τὸν σκοπὸν τῆς Γραφῆς ποιῆσαι καὶ κατατολμᾶν τὰς λέξεις παραλλάξαι; Ἐκεῖνος δέ ἐστιν ἐπιστήμων, ὅς τις τὰς ῥήσεις ἀσαλεύτους ὁρῶν καὶ διὰ τῆς τοῦ Πνεύματος σοφίας τὰ κεκρυμμένα μυστήρια ἐξευρίσκων, μαρτυρούμενα ἐκ τῶν θείων Γραφῶν· καὶ μάλιστα οἱ τρεῖς φωστῆρες οὗτοι οἱ μεγάλοι Βασίλειος, Χρυσόστομος καὶ Γρηγόριος· ἢ ἐξ αὐτοῦ τοῦ ῥητοῦ τὴν μαρτυρίαν εὑρίσκοντες, ἢ ἐξ ἄλλου ῥητοῦ τῆς Γραφῆς· καὶ οὐκ ἔχει ὁ ἀντιλέγων βουλόμενός τι εἰπεῖν, ὅτι οὐκ ἔξωθεν φέρουσι τὴν μαρτυρίαν, ἵνα εἴπῃ τις ἴδιόν ἐστι νόημα· ἀλλ᾽ ἐξ αὐτῆς τῆς προκειμένης ὑποθέσεως ἢ ἄλλης Γραφῆς περὶ τούτου δηλούσης· καὶ εἰκότως. Ἐκ γὰρ τοῦ Ἁγίου Πνεύματος ἔχουσι τὸ νοεῖν τε καὶ λέγειν ὡς ἄξιοι. [125.] Πᾶν οὖν πρᾶγμα μὴ ἔχον μαρτυρίαν, ὅτι καλόν ἐστιν, ἀλλὰ δισταγμόν, οὐκ ὀφείλει τις τοῦτο ποιεῖν ἢ

ὁποῖος ἐκβιάζει τὸν σκοπὸ τῆς Γραφῆς ἢ τὴν κατηγορεῖ, γιὰ νὰ στηρίξῃ τὴ δική του γνῶσι ἢ μᾶλλον τὴν ἄγνοιά του.

124. Ποιᾶς λοιπὸν ἐπιστήμης εἶναι ἴδιον αὐτό, τὸ νὰ παρουσιάζῃ [δηλαδὴ] κανεὶς τὸν σκοπὸ τῆς Γραφῆς ὅπως θέλει [αὐτὸς] καὶ νὰ τολμᾷ νὰ παραλλάζῃ τὶς λέξεις; [Διότι] ἐπιστήμων εἶναι ἐκεῖνος, ὁ ὁποῖος βλέπει [ἀποδέχεται] ἀπαρασαλεύτους τοὺς λόγους καὶ μὲ τὴ σοφία τοῦ Πνεύματος, ἀνακαλύπτει τὰ κρυμμένα μυστήρια, τὰ ὁποῖα μαρτυροῦνται ἀπὸ τὶς θεῖες Γραφές· καὶ κυρίως [ἐπιστήμονες εἶναι] αὐτοὶ οἱ μεγάλοι φωστῆρες Βασίλειος, Χρυσόστομος καὶ Γρηγόριος, οἱ ὁποῖοι εὑρίσκουν τὴν μαρτυρία ἢ ἀπὸ τὸ ἴδιο τὸ ρητὸ ἢ ἀπὸ ἄλλο ρητὸ τῆς Γραφῆς· καὶ [ἔτσι] ὅποιος θέλει νὰ ἀντιλέγῃ δὲν μπορεῖ νὰ πῇ κάτι, διότι δὲν φέρνουν [οἱ Τρεῖς Ἱεράρχες] τὴν μαρτυρία ἔξω [ἀπὸ τὴ Γραφή], γιὰ νὰ πῇ κάποιος ὅτι εἶναι δικό τους νόημα, ἀλλὰ ἀπὸ τὸ ἴδιο τὸ προκείμενο θέμα, [ποὺ ἀναφέρεται] ἢ ἀπὸ ἄλλη Γραφὴ ποὺ κάνει λόγο γιὰ τὸ ἴδιο ζήτημα· καὶ δικαίως. Διότι λόγῳ τῆς ἀξίας τους ἀπὸ τὸ Ἅγιο Πνεῦμα ἔχουν [λάβει] καὶ τὴ νόησι καὶ τὸν λόγο.

125. Κάθε πρᾶγμα λοιπόν, ποὺ δὲν ἔχει μαρτυρία ὅτι εἶναι καλό, ἀλλὰ [φέρνει] δισταγμό, δὲν πρέπει κανεὶς νὰ τὸ κάνῃ ἢ νὰ δείχνῃ

συγκαταβαίνειν τῷ λογισμῷ. Τίς γὰρ χρεία καταλιπεῖν πρᾶγμα φανερὸν καὶ μαρτυρούμενον καλὸν εἶναι καὶ θεάρεστον, ποιεῖν ἄλλο, εἴτε καλόν, εἴτε οὔ; εἰμὴ ὅτι κατὰ πάθος ἐστί· καὶ οὕτω μὲν ταῦτα.

συγκατάβασι [ἔστω καὶ] μὲ τὸ λογισμό. Διότι ποιὰ [εἶναι] ἡ ἀνάγκη νὰ ἐγκαταλείψῃ κάποιος ἕνα πρᾶγμα, ποὺ εἶναι φανερὸ καὶ ἔχει μαρτυρία, ὅτι εἶναι καλὸ καὶ θεάρεστο, καὶ νὰ κάνῃ κάτι ἄλλο [γιὰ] τὸ ὁποῖο [ὑπάρχει ἀμφιβολία] ἂν εἶναι καλὸ ἢ ὄχι; Ἐκτὸς κι ἂν ὑποκινῆται ἀπὸ κάποιο πάθος. Καὶ αὐτὰ μὲν [ἔχουν] ἔτσι.

ΔΙΑΙΡΕΣΙΣ ΤΗΣ ΕΥΧΗΣ ΤΩΝ ΟΛΩΝ ΓΝΩΣΕΩΝ

[126.] Περὶ δὲ τῶν ὀκτὼ γνώσεων εἰδέναι ἡμᾶς χρή, ὅτι εἰς μὲν τὰς τέσσαρας τὰ προγεγραμμένα ἐν ἑκάστῃ λέγειν ὀφείλομεν, εἰς δὲ τὰς λοιπὰς τὸ Κύριε ἐλέησον δι᾽ ὅλου, ὡς εἴρηται περὶ τοῦ Ἁγίου Φιλήμονος, καὶ ἔχειν τὸν νοῦν δι᾽ ὅλου ἐξιστάμενον πρὸς τὰ νοήματα. Οὕτω γὰρ εἶναι προσήκει ἡ διαγωγὴ τοῦ σπουδαίου· ποτὲ μὲν ἔχειν τὸν νοῦν εἰς θεωρίαν τῶν αἰσθητῶν, ποτὲ δὲ εἰς γνῶσιν τῶν νοητῶν καὶ εἰς τὸ ἀνείδεον· καὶ πάλιν, εἰς ἔννοιάν τινα τῆς Γραφῆς καὶ εἰς τὴν καθαρὰν προσευχήν. Τὸ δὲ σῶμα, ποτὲ εἰς ἀνάγνωσιν, ποτὲ εἰς προσευχήν, ποτὲ εἰς δάκρυα ὑπὲρ ἑαυτοῦ ἢ καὶ ἄλλου τινός, ἀπὸ

126. Περὶ δὲ τῶν ὀκτὼ γνώσεων πρέπει νὰ γνωρίζωμε ὅτι στὶς μὲν τέσσερις [πρῶτες], ὀφείλομε νὰ λέγωμε ἐκεῖνα, τὰ ὁποῖα ἔχομε πρὶν γράψει γιὰ τὴν κάθε μία ἀπὸ αὐτές, ἐνῶ στὶς ὑπόλοιπες τὸ «Κύριε ἐλέησον» μόνον, ὅπως ἔχει λεχθῆ γιὰ τὸν Ἅγιο Φιλήμονα[ριθ΄]· καὶ νὰ ἔχωμε τὸν νοῦ προσηλωμένον σταθερὰ ἔξω ἀπὸ τοὺς λογισμούς. Διότι αὐτὴ ἁρμόζει νὰ εἶναι ἡ διαγωγὴ τοῦ ἀγωνιζομένου, [δηλαδὴ] ἄλλοτε μὲν νὰ ἔχῃ τὸν νοῦ του εἰς τὴν θεωρία τῶν αἰσθητῶν, ἄλλοτε δὲ εἰς τὴν γνῶσι τῶν νοητῶν καὶ εἰς τὸ νὰ παραμένῃ ἀνείδεος [μὴ δεχόμενος μορφὴ ἢ σχῆμα] καὶ ἄλλοτε πάλι [νὰ προσηλώνεται] σὲ κάποιο νόημα τῆς Γραφῆς καὶ [νὰ μένῃ] εἰς τὴν καθαρὴ προσευχή. Τὸ σῶμα του ὅμως [νὰ τὸ κρατᾷ] ἄλλοτε στὴν ἀνάγνωσι, ἄλλοτε στὴν προσευχή, [καὶ] ἄλλοτε στὰ δάκρυα γιὰ τὸν ἑαυτό του ἢ γιὰ κάποιον ἄλλο ἀπὸ συμπάθεια

συμπαθείας κατὰ Θεόν· ποτὲ εἰς ἐργασίαν, πρὸς βοήθειάν τινι ἀσθενοῦντι ψυχικῶς ἢ σωματικῶς, ἵνα ὅλως διόλου τὰ τῶν Ἁγίων Ἀγγέλων ἔργα ποιῇ καὶ μηδ᾽ ὅλως περί τινος τῶν τοῦ κόσμου τούτου μεριμνῶν. Καὶ ὁ Θεὸς ὁ ἐκλεξάμενος αὐτὸν καὶ ἀφορίσας εἰς τὸ συνόμιλον αὐτῷ γενέσθαι καὶ χαρισάμενος αὐτῷ τὴν διαγωγὴν ταύτην καὶ ἀμεριμνίαν, αὐτὸς φροντίδα αὐτοῦ ποιήσεται καὶ διαθρέψει ψυχικῶς τε καὶ σωματικῶς. Ἐπίρριψον γάρ, φησίν, ἐπὶ Κύριον τὴν μέριμνάν σου καὶ αὐτός σε διαθρέψει[158]*. [127.] Καὶ ὅσον αὐτὸς εἰς αὐτὸν τὴν ἐλπίδα ἀνατίθησιν, ἐν πᾶσι τοῖς κατ᾽ αὐτὸν ψυχῇ τε καὶ σώματι, τοσοῦτον εὑρίσκει αὐτὸν προνοοῦντα αὐτόν, ὥστε ἡγεῖσθαι ἑαυτὸν ὑπὸ κάτω πάσης κτίσεως ἐκ τῶν πολλῶν δωρεῶν τοῦ Θεοῦ, τῶν φανερῶν καὶ ἀφανῶν, τῶν ψυχικῶν καὶ σωματικῶν, ὡς πολλὰ χρεωστῶν, οὐ δύναται ὅλως ἐπαίρεσθαι ἔν τινι πράγματι ἐκ τῆς αἰσχύνης, ἐνώπιον τῶν εὐεργεσιῶν τοῦ Θεοῦ. Καὶ ὅσον εὐχαριστεῖ αὐτῷ, καὶ ἀγωνίζεται βιάζειν ἑαυ-*

ἀρεστὴ στὸ Θεό· ἄλλοτε [νὰ τὸ ἀπασχολῇ] σὲ ἐργασία γιὰ νὰ βοηθήσῃ κάποιον, ὁ ὁποῖος εἶναι ἀσθενὴς ψυχικὰ ἢ σωματικά· γιὰ νὰ ἐπιτελῇ ἀποκλειστικὰ [ἔτσι] τὰ ἔργα τῶν Ἁγίων Ἀγγέλων καὶ γιὰ νὰ μὴ φροντίζῃ καθόλου γιὰ κανένα πρᾶγμα τοῦ κόσμου αὐτοῦ. Καὶ ὁ Θεὸς ὁ Ὁποῖος τὸν ἐξέλεξε καὶ τὸν διεχώρισε γιὰ νὰ τὸν ἔχῃ σύντροφό Του καὶ ὁ Ὁποῖος τοῦ χάρισε αὐτὴ τὴ διαγωγὴ καὶ τὴν ἀμεριμνησία, ὅ Ἴδιος θὰ τὸν φροντίσῃ καὶ θὰ τὸν θρέψῃ ψυχικὰ καὶ σωματικά. Διότι λέγει «ἀνάθεσε στὸν Κύριο τὴν φροντίδα σου καὶ αὐτὸς θὰ σὲ διαθρέψῃ».

127. Καὶ ὅσο [περισσότερο] αὐτὸς ἀναθέτει εἰς Αὐτὸν τὴν ἐλπίδα του γιὰ ὅλα [ὅσα ἀφοροῦν] τὴν ψυχὴ καὶ τὸ σῶμα του, τόσο [περισσότερο] εὑρίσκει Αὐτὸν νὰ προνοῇ γι᾽ αὐτόν, ὥστε νὰ θεωρῇ τὸν ἑαυτό του κάτω ἀπὸ ὅλη τὴν κτίσι, λόγῳ τῶν πολλῶν δωρεῶν τοῦ Θεοῦ, τῶν φανερῶν καὶ τῶν ἀφανῶν, τῶν ψυχικῶν καὶ τῶν σωματικῶν. Ἐπειδὴ δὲ ὀφείλει πολλά, δὲν μπορεῖ καθόλου νὰ ὑπερηφανεύεται γιὰ κάποιο πρᾶγμα, ἀπὸ ἐντροπὴ ἐνώπιον τῶν εὐεργεσιῶν τοῦ Θεοῦ. Καὶ ὅσο Τὸν εὐχαριστεῖ καὶ ἀγωνίζεται νὰ βιάζῃ τὸν ἑαυτό του

τὸν ὑπὲρ τῆς ἀγάπης αὐτοῦ, τοσοῦτον ὁ Θεὸς ἐγγίζει αὐτῷ, διὰ τῶν χαρισμάτων αὐτοῦ καὶ ἐπιθυμεῖ τοῦ ἀναπαῦσαι αὐτὸν καὶ ποιῆσαι προτιμᾶν τὴν ἡσυχίαν καὶ ἀκτημοσύνην ὑπὲρ πάσας τὰς βασιλείας τῆς γῆς καὶ ἐκτὸς ἀμοιβῆς ἐν τῷ μέλλοντι. [128.] *Καὶ γὰρ οἱ Ἅγιοι Μάρτυρες ἤλγουν μὲν αἰκιζόμενοι ὑπὸ τῶν ἐχθρῶν, ἀλλ᾿ ὁ πόθος τῆς βασιλείας καὶ ἡ ἀγάπη τοῦ Θεοῦ ἐνίκα τοὺς πόνους καὶ αὐτὸ τοῦτο τὸ λαβεῖν δύναμιν εἰς τὸ νικᾶν τοὺς ἐχθρούς, μεγάλην παράκλησιν ἡγοῦντο καὶ χρέος· ὅτι ἠξιώθησαν ὑπὲρ Χριστοῦ θάνατον ὑπομεῖναι, ὥστε ἐκ τούτου πολλάκις ἀναίσθητοι ἐγένοντο.* [129.] *Ὡσαύτως καὶ οἱ Ἅγιοι Πατέρες πολλὰ βιάσαντες ἑαυτοὺς κατ᾿ ἀρχὰς διὰ πολυτρόπων ἀσκήσεων καὶ πολέμων τῶν ἐκ τῶν πνευμάτων τῆς πονηρίας γινομένων· ἀλλ᾿ ἐνίκα ὁ πόθος καὶ ἡ ἐλπὶς τῆς ἀπαθείας· διότι μετὰ τὸν κόπον ἀμέριμνος γίνεται ὁ ἀπαθής, ὡς τὰ πάθη νικήσας. Δοκεῖ μὲν καλῶς ἔχειν καὶ ὁ ἐμπαθής, ἀλλ᾿ ὑπὸ τῆς τυφλότητος. Μόνος δὲ ὁ λε-*

ὑπὲρ τῆς ἀγάπης Αὐτοῦ, τόσο ὁ Θεὸς τὸν πλησιάζει μὲ τὰ χαρίσματά Του καὶ ἐπιθυμεῖ νὰ τὸν ἀναπαύσῃ καὶ νὰ τὸν κάνῃ νὰ προτιμᾷ τὴν ἡσυχία καὶ τὴν ἀκτημοσύνη περισσότερο ἀπὸ ὅλες τὶς βασιλεῖες τῆς γῆς, καὶ ἐκτὸς ἀπὸ τὴν ἀμοιβὴ [ποὺ θὰ ἔχῃ] εἰς τὸν μέλλοντα [αἰῶνα].

128. Γιατὶ καὶ οἱ Ἅγιοι Μάρτυρες πονοῦσαν μέν, ὅταν ἐβασανίζονταν ἀπὸ τοὺς ἐχθρούς, ἀλλὰ ὁ πόθος τῆς Βασιλείας καὶ ἡ ἀγάπη τοῦ Θεοῦ νικοῦσε τοὺς πόνους καὶ αὐτὸ τοῦτο [μόνον], τὸ νὰ λάβουν [δηλαδὴ] δύναμι [ἀπὸ τὸν Θεὸ] στὸ νὰ νικοῦν τοὺς ἐχθρούς, αὐτὸ τὸ θεωροῦσαν μεγάλη παρηγορία καὶ χρέος· διότι ἀξιώθηκαν νὰ ὑπομείνουν τὸν θάνατο γιὰ χάρι τοῦ Χριστοῦ, ὥστε ἀπὸ αὐτὸ πολλὲς φορὲς ἔγιναν ἀναίσθητοι [εἰς τοὺς πόνους].

129. Ἐπίσης καὶ οἱ Ἅγιοι Πατέρες ἐβίασαν πολὺ τοὺς ἑαυτούς τους, στὴν ἀρχὴ [τῆς ἀποταγῆς τους] μὲ διάφορες ἀσκήσεις καὶ πολέμους, τοὺς ὁποίους προκαλοῦσαν τὰ πονηρὰ πνεύματα· ἀλλὰ [ὅλα τὰ] νικοῦσε ὁ πόθος καὶ ἡ ἐλπίδα τῆς ἀπαθείας· διότι μετὰ τὸν κόπο γίνεται ἀμέριμνος ὁ ἀπαθής, ἀφοῦ ἐνίκησε τὰ πάθη. Καὶ ὁ ἐμπαθὴς [ὅμως] νομίζει ὅτι εἶναι καλά, ἀλλὰ [αὐτὸς τὸ νομίζει] ἀπὸ τὴν τυφλότητά του. [Ἀλλὰ] ὅμως, μόνον αὐτὸς ποὺ λέγε-

γόμενος ἀγωνιστὴς ἔχει τὸν κόπον καὶ τὸν πόλεμον, ἐκ τοῦ θέλειν νικῆσαι τὰ πάθη καὶ μὴ δύνασθαι. Παραχωρεῖται γὰρ ὁ τοιοῦτός ποτε ἡττηθῆναι ὑπὸ τῶν πολεμούντων αὐτόν, ἵνα ταπείνωσιν κτήσηται. Καὶ τούτου χάριν ὀφείλει γνῶναι τὴν ἰδίαν ἀσθένειαν καὶ φεύγειν τὰ βλάπτοντα αὐτὸν ἰσχυρῶς, ἵνα ἐπιλάθηται τὴν πρώτην αὐτοῦ συνήθειαν· ὅτι εἰμὴ φεύγῃ τις πρῶτον τὸν περισπασμὸν καὶ σιωπὴν τελείαν κτήσηται, οὐ δύναται ἐλθεῖν εἰς τὸ ἔχειν τι ἀπαθῶς, εἰ εἰς τὸ λέγειν ἀεὶ καλά. Καὶ ἁπλῶς εἰς πᾶν πρᾶγμα προσήκει πρῶτον ἡ τελεία φυγὴ τοῦ περισπασμοῦ, ἵνα μὴ ἕλκηταί τις ὑπὸ τῆς προτέρας συνηθείας. Πλὴν μηδεὶς ἐξ ἀγνωσίας, ἀκούων περὶ ταπεινοφροσύνης, ἀπαθείας τε καὶ τῶν τοιούτων, οἴεται ἔχειν ταῦτα, ἀλλὰ τοῦ ἑκάστου πράγματος τὸ σημεῖον ζητεῖν ὀφείλει, καὶ εὑρεῖν ἐν ἑαυτῷ.

ται ἀγωνιστὴς ἔχει [μαζὶ] τὸν κόπο καὶ τὸν πόλεμο, γιατὶ θέλει νὰ νικήσῃ τὰ πάθη του καὶ δὲν μπορεῖ. Διότι μερικὲς φορές, παραχωρεῖ ὁ Θεός, νὰ νικηθῇ αὐτὸς ἀπὸ τοὺς ἐχθροὺς [ποὺ τὸν πολεμοῦν], ὥστε νὰ ἀποκτήσῃ ταπείνωσι. Γι᾽ αὐτὸ ἀκριβῶς, ὀφείλει νὰ γνωρίσῃ τὴν ἀδυναμία του καὶ νὰ ἀποφεύγῃ μὲ ὅλη του τὴ δύναμι, αὐτὰ ποὺ τὸν βλάπτουν [ψυχικά], γιὰ νὰ ξεχάσῃ τὴν πρώτη του συνήθεια· διότι ἂν δὲν ἀποφεύγῃ κανεὶς πρῶτα-πρῶτα τὸν περισπασμὸ καὶ δὲν ἀποκτήσῃ τὴν τέλεια σιωπή, δὲν μπορεῖ νὰ φθάσῃ στὸ νὰ κατέχῃ κάποιο πρᾶγμα μὲ ἀπάθεια ἢ στὸ νὰ λέγῃ πάντοτε τὰ καλά. Καὶ γενικὰ σὲ κάθε πρᾶγμα ἁρμόζει πρῶτα ἡ τέλεια ἀποφυγὴ τοῦ περισπασμοῦ, γιὰ νὰ μὴν ἕλκεται κανεὶς ἀπὸ τὴν προηγούμενη συνήθεια. Ὅμως, ὅταν κάποιος ἀκούῃ γιὰ ταπεινοφροσύνη, ἀπάθεια καὶ τὰ παρόμοια, νὰ μὴν νομίζῃ ἀπὸ ἄγνοια, ὅτι τὰ ἔχει [ἀποκτήσει ὅλα] αὐτά, ἀλλὰ τοῦ κάθε πράγματος [καταστάσεως] ὀφείλει νὰ ἀναζητᾷ καὶ νὰ ἀνακαλύπτῃ μέσα του τὸ σημεῖο [ἰδιαίτερο χαρακτηριστικὸ γνώρισμα, ἤτοι νὰ ἔχῃ πληροφορία].

[130.] Σημεῖα δὲ εἰσὶ τῆς μὲν ταπεινοφροσύνης, τὸ πᾶσαν ἀρετὴν σωματικήν τε καὶ ψυχικὴν ἔχων, ἡγεῖσθαι ἑαυτὸν μείζονα χρεωστεῖν τῷ Θεῷ, ὡς πολλὰ λαβὼν χάριτι, ἀνάξιος ὤν. Καὶ εἴ τις δ᾽ ἂν ἔλθοι αὐτῷ πειρασμὸς ἀπὸ δαιμόνων ἢ ἀνθρώπων, ἄξιον ἡγεῖται ἑαυτὸν τῶν τοιούτων καὶ ἄλλων πλειόνων, ἵνα κἂν μικρὸν τοῦ χρέους ἀποληφθῇ καὶ κουφισμὸν εὕρῃ ἐν τῇ κρίσει τῶν ἐλπιζομένων αὐτῷ κολάσεων. Καὶ ὅταν μὲν τοιοῦτον μὴ πάθῃ, πολλὰ θλίβεται καὶ ἀγωνιᾷ, ζητῶν τι εὑρεῖν βιᾶσαι ἑαυτόν. Ὅταν δὲ τούτου ἐπιτύχῃ, πάλιν ὡς δῶρον παρὰ Θεῷ λαβὼν ταπεινοῦται καὶ τί ἀνταμεῖψαι τῷ εὐεργέτῃ μὴ δυνάμενος εὑρεῖν, μένει ἐργαζόμενος ἀεὶ καὶ ἐπὶ πλεῖον χρεώστην ἑαυτὸν λογιζόμενος.

130. Εἶναι δὲ τὰ γνωρίσματα τῆς ταπεινοφροσύνης [αὐτά]· τὸ νὰ νομίζῃ κανείς, ὅταν ἔχῃ [ἀποκτήσει] κάθε ἀρετὴ σωματικὴ καὶ ψυχική, ὅτι χρεωστεῖ περισσότερα στὸν Θεό, διότι μὲ τὴ Χάρι Του ἔλαβε πολλά, ἐνῶ εἶναι ἀνάξιος. Κι ἂν τυχὸν ἔλθῃ σ᾽ αὐτὸν κάποιος πειρασμὸς ἀπὸ τοὺς δαίμονες ἢ ἀπὸ τοὺς ἀνθρώπους, νὰ θεωρῇ τὸν ἑαυτόν του ἄξιον αὐτῶν καὶ ἄλλων περισσοτέρων, γιὰ νὰ τοῦ ἐξαλειφθῇ ἔστω καὶ λίγο ἀπὸ τὸ χρέος καὶ νὰ εὕρῃ κατὰ τὴν Κρίσι ἐλάφρυνσι στὶς τιμωρίες ποὺ τὸν περιμένουν. Καὶ ὅταν μὲν δὲν πάθῃ κάτι τέτοιο, θλίβεται πολὺ καὶ ἀγωνιᾶ, ζητώντας νὰ βρῇ κάτι γιὰ νὰ [ἐφαρμόσῃ] βία [φύσεως] στὸν ἑαυτόν του. Ὅταν ὅμως καὶ αὐτὸ ἐπιτύχῃ, πάλι ταπεινώνεται, ἐπειδὴ [θεωρεῖ ὅτι] τὸ ἔλαβε ὡς δῶρο ἀπὸ τὸν Θεὸ καὶ μὴ δυνάμενος νὰ βρῇ κάτι νὰ ἀνταποδώσῃ στὸν Εὐεργέτη, ἐξακολουθεῖ νὰ ἐργάζεται πάντοτε [κατὰ Θεὸν] καὶ νὰ θεωρῇ ἀκόμη περισσότερο τὸν ἑαυτόν του ὡς χρεοφειλέτη.

ΠΕΡΙ ΑΠΑΘΕΙΑΣ

[131.] Τῆς ἀπαθείας τάχα τοῦτό ἐστι τὸ σημεῖον, τὸ ἐν πᾶσιν ἀτάραχον εἶναι καὶ ἄφοβον, ὡς λαβὼν Θεοῦ χάριτι τὸ πάντα ἰσχύειν[159], κατὰ τὸν

131. Τὸ γνώρισμα τῆς ἀπαθείας ἴσως εἶναι αὐτό, τὸ νὰ εἶναι κανεὶς ἀτάραχος καὶ ἄφοβος, διότι μὲ τὴ Χάρι τοῦ Θεοῦ «ἐνδυναμώθηκε σὲ ὅλα», κατὰ τὸν

Ἀπόστολον, ἐν τῷ μηδ᾽ ὅλως φροντίδα ἔχειν περὶ τοῦ σώματος, ἀλλ᾽ ὅσην βίαν ἀσκήσει, καὶ φθάσει εἰς ἀνάπαυσιν τῆς ἕξεως· καὶ εὐχαριστῶν, πάλιν ἄλλην ἐπιτηδεύεται βίαν, ἵνα εὑρίσκηται ἀεὶ πολεμούμενος καὶ νικῶν μετὰ ταπεινώσεως. Καὶ αὕτη ἐστιν ἡ προκοπὴ τοῦ ἀνθρώπου. Τὰ γὰρ ἀβιάστως γινόμενα, οὐκ εἰσὶν ἔργα, ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ, ἀλλὰ μᾶλλον δῶρα. Εἰδὲ ἀπὸ πρώτου κόπου ἐγένετο ἡ ἀνάπαυσις, ἥττης ἔπαθλόν ἐστι καὶ οὐ καυχήματος ἄξια. Οὐ γὰρ οἱ λαμβάνοντες μισθὸν ἐπαινοῦνται, ἀλλ᾽ οἱ βιαζόμενοι ἐν τῇ ἐργασίᾳ καὶ μηδὲν λαμβάνοντες. Καὶ τί ἔχομεν εἰπεῖν; Ὅσα ἂν ποιῶμεν καὶ ὅσα εὐχαριστῶμεν τῷ εὐεργέτῃ, τοσαῦτα χρεωστοῦμεν καὶ πολλῷ πλείονα. Διότι αὐτὸς μὲν ἀνενδεὴς ὑπάρχει καὶ οὐδενὸς χρήζει, ἡμεῖς δὲ χωρὶς αὐτοῦ οὐ δυνάμεθά τι ἀγαθὸν ποιῆσαι[160]. [132.] Ὁ γὰρ καταξιωθεὶς τοῦ ὑμνῆσαι τὸν Θεόν, αὐτὸς κερδαίνει μᾶλλον, ὡς μέγα καὶ ἀξιάγαστον χάρισμα λαβών. Καὶ ὅσον ὑμνεῖ, πλεῖον χρεώστης γίνεται, καὶ τέλος ἢ ἐκκοπὴν τῆς

Ἀπόστολο, μὲ τὸ νὰ μὴν ἔχῃ [πλέον] καμμία φροντίδα γιὰ τὸ σῶμα, ἀλλὰ νὰ ἀσκήσῃ κάθε βία [στὸν ἑαυτό του] καὶ [ἔτσι] νὰ φθάσῃ στὴν ἀνάπαυσι τῆς ἕξεως. Καὶ εὐχαριστώντας πάλι [τὸν Θεό], νὰ ἐπινοῇ ἄλλους τρόπους βίας, γιὰ νὰ πολεμῆται πάντα καὶ νὰ νικᾷ μὲ ταπείνωσι. Καὶ αὐτὴ εἶναι ἡ [ἀληθινὴ] προκοπὴ τοῦ ἀνθρώπου. Διότι ἐκεῖνα τὰ ὁποῖα γίνονται χωρὶς βία, δὲν εἶναι ἔργα, ὅπως λέγει ὁ Ἅγιος Ἰσαάκ[ρκ'], ἀλλὰ μᾶλλον [εἶναι] δῶρα. Ἐὰν ὅμως [ἀμέσως], μὲ τὸν πρῶτο κόπο, ἦλθε [καὶ] ἡ ἀνάπαυσι, τότε [αὐτό] εἶναι ἔπαθλο ἥττας καὶ ὄχι ἄξιο γιὰ καύχησι. Διότι δὲν ἐπαινοῦνται αὐτοί, οἱ ὁποῖοι λαμβάνουν μισθό, ἀλλὰ αὐτοί, ποὺ βιάζουν τὸν ἑαυτόν τους στὴν ἐργασία καὶ δὲν λαμβάνουν τίποτα. Καὶ τί μποροῦμε νὰ ποῦμε; Ὅσα κι ἂν κάνωμε καὶ [γιὰ] ὅσα κι ἂν εὐχαριστοῦμε τὸν Εὐεργέτη, τόσα πολλὰ [τοῦ] χρωστοῦμε καὶ ἀκόμη περισσότερα. Διότι Αὐτὸς μὲν δὲν ἔχει καμμία ἀνάγκη καὶ δὲν χρειάζεται τίποτα [ἀπὸ ἐμᾶς], ἐμεῖς ὅμως χωρὶς Αὐτὸν δὲν μποροῦμε νὰ κάνωμε κανένα καλό.

132. Διότι ἐκεῖνος, ποὺ ἀξιώθηκε νὰ ὑμνήσῃ τὸν Θεό, αὐτὸς κερδίζει μᾶλλον, ἐπειδὴ ἔλαβε μεγάλο καὶ ἀξιοθαύμαστο χάρισμα. Καὶ ὅσον ὑμνεῖ, περισσότερο χρεώστης γίνεται καὶ δὲν εὑρίσκει τέλος ἢ διακοπὴ [καὶ ἀνάπαυλα] στὴν γνῶ-

γνώσεως τοῦ Θεοῦ, ἢ τῆς εὐχαριστίας, ἢ τῆς ταπεινώσεως, ἢ τῆς ἀγάπης οὐχ εὑρίσκει. Οὐ γάρ εἰσιν αὗται αἱ τοῦ [recte: ἐκ τοῦ][ιζ'] *αἰῶνος τούτου ἵνα τέλος ἔχωσιν, ἀλλ᾽ ἐκ τοῦ ἀτελευτήτου αἰῶνος ἐκείνου τὸ τέλος [recte: τοῦ τέλος]*[ιη'] *μὴ ἔχοντος, ἀλλὰ μᾶλλον αὔξησιν τῶν γνώσεων καὶ τῶν χαρισμάτων. Καὶ ὁ μὲν τούτου καταξιωθεὶς ἔργῳ καὶ λόγῳ ἐλευθεροῦται ἐκ πάντων τῶν παθῶν. Ὁ δὲ τούτων τυχεῖν βουλόμενος ὀφείλει παραμένειν τῷ Θεῷ καὶ μηδ᾽ ὅλως φροντίδα ἔχειν περὶ τοῦ αἰῶνος τούτου, μηδὲ πτοεῖσθαι ὑπ᾽ οὐδενὸς πειρασμοῦ, διότι ἐκ τούτου πρὸς μείζονα προκοπὴν ἀνάγεσθαι μέλλει καὶ βαθμὸν ὑψηλότερον· καὶ μήτε ἀπὸ ὀνείρων κακῶν ἢ δῆθεν καλῶν, μηδὲ ἀπὸ νοήματός τινος πονηροῦ ἢ ἀγαθοῦ, μήτε ἀπὸ λύπης ἢ δῆθεν χαρᾶς, μήτε ἀπὸ οἰήσεως ἢ ἀπογνώσεως ἢ βάθους ἢ ὕψους ἢ ἐγκαταλείψεως ἢ συνεργίας τινὸς δῆθεν καὶ ἰσχύος, μήτε ἀπὸ ἀμελείας ἢ προκοπῆς, ἢ ῥᾳθυμίας, ἢ προθυμίας δῆθεν, ἢ φαινομένης ἀπαθείας ἢ*

σι τοῦ Θεοῦ ἢ στὴν εὐχαριστία ἢ στὴν ταπείνωσι ἢ στὴν ἀγάπη. Διότι αὐτὲς δὲν εἶναι [καταστάσεις] τοῦ παρόντος αἰῶνος, γιὰ νὰ ἔχουν τέλος, ἀλλὰ τοῦ ἀπεράντου ἐκείνου αἰῶνος, στὸν ὁποῖο δὲν ὑπάρχει τέλος, ἀλλὰ μᾶλλον [συνεχὴς] αὔξησι τῶν γνώσεων καὶ τῶν χαρισμάτων. Καὶ ἐκεῖνος, ὁ ὁποῖος καταξιώθηκε αὐτοῦ [αὐτῆς τῆς χαρισματικῆς καταστάσεως], μὲ ἔργο καὶ λόγο ἐλευθερώνεται ἀπὸ ὅλα τὰ πάθη. Ἐκεῖνος ὅμως, ὁ ὁποῖος θέλει νὰ ἐπιτύχῃ [ὅλα] αὐτά, ὀφείλει νὰ παραμένῃ κοντὰ στὸν Θεό καὶ νὰ μὴν ἔχῃ καμία φροντίδα [γιὰ τὰ πράγματα] αὐτοῦ τοῦ [παρόντος] αἰῶνος, μήτε νὰ πτοῆται ἀπὸ κανέναν πειρασμό· διότι ἀπὸ αὐτὸν πρόκειται νὰ ἀνεβῇ σὲ μεγαλύτερη προκοπὴ καὶ σὲ ὑψηλότερη βαθμίδα. Οὔτε νὰ [ἐπηρεάζεται] ἀπὸ ὄνειρα κακὰ ἢ δῆθεν καλά, οὔτε ἀπὸ κάποιο πονηρὸ ἢ ἀγαθό λογισμό, οὔτε ἀπὸ λύπη, ἢ δῆθεν χαρά, οὔτε ἀπὸ ὑπερηφάνεια ἢ ἀπόγνωσι ἢ βάθος, ἢ ὕψος ἢ ἐγκατάλειψι ἢ [ἀπὸ] κάποια δῆθεν βοήθεια καὶ δύναμι, οὔτε ἀπὸ ἀμέλεια ἢ προκοπή, ἢ ῥαθυμία ἢ δῆθεν προθυμία, ἢ φαινομενικὴ ἀπάθεια ἢ

πολλῆς προσπαθείας. Ἀλλὰ τὸν ἥσυχον βίον καὶ ἀπερίσπαστον φυλάττειν μετὰ ταπεινώσεως, πιστεύων, ὅτι οὐδεὶς δύναται ἡμᾶς κακοποιῆσαι, μὴ θελόντων ἡμῶν. [133.] Διὰ δὲ τὸ ἐπαίρεσθαι μόνον καὶ μὴ προσφεύγειν ἀεὶ εἰς τὸν Θεόν, ἴσως ῥίπτειν τε ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ, ζητῶν ἐν πᾶσι τὸ θέλημα αὐτοῦ γενέσθαι· λέγων πρὸς πάντα λογισμὸν ἐρχόμενον πρὸς αὐτόν· οὐκ οἶδα τίς εἶ, ὁ Θεὸς οἶδεν, εἴτε καλὸς εἶ, εἴτε οὔ, ἐγὼ γὰρ εἰς τὰς χεῖρας αὐτοῦ ἀπέῤῥιψα καὶ ἀποῤῥίπτω ἐμαυτὸν καὶ αὐτῷ μέλει περὶ ἐμοῦ[161]*. Ὡς γὰρ ἐκ μὴ ὄντος με ἐποίησεν, οὕτω καὶ κατὰ χάριν σῶσαί με ἔχειν, ἂν ἀρεστὸν αὐτῷ ᾖ· τὸ Ἅγιον αὐτοῦ μόνον θέλημα γενέσθω ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, ὡς θέλει καὶ ὅταν θέλῃ. Ἐγὼ γὰρ θέλημα οὐκ ἔχω, ἓν οἶδα, ὅτι πολλὰ ἥμαρτον, πολλὰ εὐεργετοῦμαι, καὶ οὐδὲ κἄν, κατὰ τὸ δυνατόν, ἔργῳ ἢ λόγῳ εὐχαριστῶ τῇ αὐτοῦ ἀγαθότητι· ἀλλ' ἐν τούτοις πᾶσι δύναται καὶ θέλει πάντας σῶσαι καὶ μετὰ πάντων κἀμέ, ὡς θέλει. Πόθεν*

μεγάλη προσπάθεια. Ἀλλὰ [ὀφείλει] νὰ διαφυλάσσῃ μὲ ταπείνωσι τὸν ἥσυχο καὶ ἀπερίσπαστο βίο, πιστεύοντας ὅτι κανεὶς δὲν μπορεῖ νὰ μᾶς προκαλέσῃ κάποιο κακό, ἐὰν ἐμεῖς δὲν θέλωμε.

133. [Ἐκτὸς] μόνον ἐὰν [κανεὶς] ὑπερηφανεύεται καὶ δὲν καταφεύγῃ πάντα στὸν Θεό, [ὁπότε ὀφείλει] νὰ ρίχνῃ τὸν ἑαυτόν του μπροστὰ στὸν Θεὸ καὶ νὰ ζητᾷ σὲ ὅλα νὰ γίνῃ τὸ θέλημα Αὐτοῦ· νὰ λέγῃ δὲ σὲ κάθε λογισμό, ὁ ὁποῖος ἔρχεται πρὸς αὐτόν: «δὲν γνωρίζω ποιὸς εἶσαι ἐσύ, ὁ Θεὸς γνωρίζει ἐὰν εἶσαι καλός, ἢ ὄχι, διότι στὰ χέρια Αὐτοῦ ἀνέθεσα καὶ ἀναθέτω τὸν ἑαυτόν μου» καὶ «Αὐτὸς φροντίζει γιὰ μένα». Διότι ὅπως μὲ δημιούργησε ἀπὸ τὸ μὴ ὂν [τὴν ἀνυπαρξία], ἔτσι καὶ κατὰ χάριν μπορεῖ νὰ μὲ σώσῃ, ἂν εἶναι σ' Αὐτὸν ἀρεστό. Μόνον τὸ Ἅγιό Του θέλημα νὰ γίνῃ στὸν παρόντα αἰῶνα καὶ στὸν μέλλοντα, ὅπως θέλει καὶ ὅταν θέλῃ. Ἐγὼ δὲν ἔχω θέλημα, ἕνα [μόνον] γνωρίζω, ὅτι πολὺ ἁμάρτησα, πολὺ εὐεργετοῦμαι καὶ οὔτε κἂν εὐχαριστῶ, κατὰ τὸ δυνατόν, μὲ ἔργο ἢ λόγο τὴν Ἀγαθότητά Του. Ἀλλὰ παρ' ὅλα αὐτά, μπορεῖ καὶ θέλει νὰ σώσῃ ὅλους καὶ μαζὶ μὲ ὅλους καὶ ἐμένα, ὅπως [Ἐκεῖνος] θέλει. Ἀπὸ ποῦ ὅμως

γὰρ οἶδα, ἄνθρωπος ὤν, ἢ οὕτως εἶναί με θέλει ἢ οὕτως; Ἐγὼ τοίνυν διὰ τὸν φόβον τοῦ ἁμαρτάνειν ἔφυγον καὶ ἦλθον ἐνταῦθα, καὶ διὰ τὰς ἁμαρτίας μου καὶ πολλὰς ἀσθενείας κάθημαι ἀργὸς ἐν τῷ κελλίῳ, ὡς οἱ κατεχόμενοι ἐν τῷ δεσμωτηρίῳ, ἀναμένων τὴν ἀπόφασιν τοῦ Δεσπότου. [134.] Καὶ κἂν ἀργὸν θεάσηται ἑαυτὸν καὶ ἀπωλεσμένον μὴ φοβηθῇ, πρὸς γὰρ συντριμμὸν ψυχῆς καὶ ἐπίπονα δάκρυα ἐλθεῖν μέλλει, ἂν μὴ ἐξέλθῃ τῆς κέλλης. Κἂν πάλιν πολλὴν προθυμίαν εἰς πᾶσαν πνευματικὴν ἐργασίαν καὶ δάκρυα ἔχῃ, μὴ χαρὰν ἡγεῖσθαι τοῦτο, ἀλλὰ κλοπὴν καὶ ἑτοιμασίαν πολέμου. Καὶ ἁπλῶς, πᾶν πρᾶγμα καλὸν ἢ ἐναντίον ὀφείλει καταφρονεῖν, ἵνα μένῃ ἀτάραχος ἐν πᾶσιν, ἡσυχάζων καὶ κατὰ δύναμιν ἀγωνιζόμενος, ποιῶν ὅσα παρέλαβεν, εἴπερ εἶχέ τινα σύμβουλον. Εἰδ᾽ οὖν, τὸν Χριστὸν ὀφείλει ἔχειν, ἵνα εἰς πᾶν ἐγχείρημα καὶ λογισμὸν αὐτὸν ἐρωτᾷ διὰ καθαρᾶς προσευχῆς, ἀπὸ καρδίας μετὰ ταπεινώσεως· μηδ᾽ ὅλως θαρ-

νὰ ξέρω, ἀφοῦ εἶμαι ἄνθρωπος, ἂν μὲ θέλῃ νὰ εἶμαι ἔτσι [ὅπως εἶμαι] ἢ κάπως ἀλλιῶς; Ἐγὼ λοιπὸν ἀπὸ τὸν φόβο τῆς ἁμαρτίας ἔφυγα καὶ ἦλθα ἐδῶ, [καὶ] ἐξ αἰτίας τῶν ἁμαρτιῶν μου καὶ τῶν πολλῶν ἀδυναμιῶν μου, κάθομαι ἀργὸς στὸ κελλί, ὅπως οἱ κρατούμενοι στὴ φυλακή[ρκα΄], περιμένοντας τὴν ἀπόφασι τοῦ Δεσπότου.

134. Καὶ ἂν ἀκόμη δῇ κανεὶς τὸν ἑαυτόν του ἀργὸ καὶ χαμένο [γιὰ τὸν κόσμο], ἂς μὴ φοβηθῇ· γιατὶ πρόκειται νὰ ἔλθῃ σὲ συντριβὴ ψυχῆς καὶ ἐπίπονα δάκρυα[ρκβ΄], ἂν δὲν βγῇ ἔξω ἀπὸ τὸ κελλί. Κι ἂν πάλι ἔχῃ μεγάλη προθυμία γιὰ κάθε πνευματικὴ ἐργασία, νὰ μὴν τὸ θεωρήσῃ [αἴτιο] χαρᾶς αὐτό, ἀλλὰ ἀπάτη καὶ προετοιμασία πολέμου. Καὶ γενικά, κάθε πρᾶγμα, καλὸ ἢ κακό, ὀφείλει νὰ τὸ καταφρονῇ, γιὰ νὰ μένῃ ἀτάραχος σὲ ὅλα, νὰ ἡσυχάζῃ καὶ νὰ ἀγωνίζεται τὸ κατὰ δύναμιν, ἐργαζόμενος ὅλα ὅσα παρέλαβε, ἂν βέβαια εἶχε [καὶ] κάποιο σύμβουλο. Ἐὰν λοιπὸν [δὲν ἔχῃ], ὀφείλει νὰ ἔχῃ τὸν Χριστό, γιὰ νὰ Τὸν ἐρωτᾷ [καὶ συμβουλεύεται] σὲ κάθε ἐγχείρημα καὶ λογισμὸ μὲ καθαρὴ προσευχή, ἀπὸ τὴν καρδιά του μὲ ταπείνωσι· καθόλου δὲ νὰ μὴν θαρρῇ

ρῶν ὅτι δόκιμος γέγονε Μοναχός, ἄχρις ἂν τὸν Χριστὸν ἀπαντήσῃ ἐν τῷ μέλλοντι, ὥς φασιν ὁ τῆς Κλίμακος καὶ ὁ Ἀββᾶς Ἀγάθων. Καὶ ἂν πρὸς τὸ εὐαρεστῆσαι τῷ Θεῷ ἔχῃ πάντα σκοπόν, αὐτὸς διδάσκει αὐτὸν τὸ θέλημα αὐτοῦ, εἴτε νοερῶς πληροφορῶν αὐτόν, εἴτε διά τινος ἀνθρώπου ἢ γραφῆς. Καὶ ἂν κόπτῃ τὰ ἑαυτοῦ θελήματα δι᾽ αὐτόν, αὐτὸς μετὰ χαρᾶς ἀνεκλαλήτου ποιήσει αὐτὸν φθάσαι τὴν τελειότητα, ὡς οὐκ οἶδεν αὐτός. Καὶ τοῦτο ἰδὼν λίαν θαυμάζει, πῶς πανταχόθεν ἄρχεται βρύειν ἡ χαρὰ καὶ ἡ γνῶσις, καὶ ἐκ παντὸς πράγματος ὠφέλειαν εὑρίσκει καὶ βασιλεύει ὁ Θεὸς ἐν αὐτῷ, ὡς μὴ ἔχοντι ἴδιον θέλημα, διὰ τὸ ὑποταγῆναι αὐτὸν τῷ Ἁγίῳ αὐτοῦ θελήματι. Καὶ γίνεται ὡς βασιλεύς, ὥστε εἴ τι ἐνθυμηθῇ, ἀκοπότως καὶ ἑτοίμως γίνεται αὐτῷ παρὰ τῷ Θεῷ, τῷ τὴν αὐτοῦ φροντίδα ποιοῦντι. Καὶ αὕτη ἐστὶν ἡ πίστις ἣν ἔφη ὁ Κύριος· ἐὰν ἔχητε πίστιν[162], καὶ τὰ ἑξῆς. Καὶ ἐπ᾽ αὐτὴν τὴν πίστιν οἰκοδομοῦνται αἱ λοιπαὶ ἀρεταί[163], κατὰ τὸν Ἀπόστολον.

ὅτι ἔχει γίνῃ δοκιμασμένος [καὶ ἄξιος] μοναχός, ἕως ὅτου συναντήσῃ τὸν Χριστὸ στὸν μέλλοντα αἰῶνα, ὅπως λέγουν ὁ [Ἰωάννης] τῆς Κλίμακος καὶ ὁ Ἀββᾶς Ἀγάθων[ρκγ΄]. Καὶ ἂν ἔχῃ μοναδικό σκοπό νὰ εὐαρεστήσῃ τὸν Θεό, Αὐτὸς τοῦ διδάσκει τὸ θέλημά Του, εἴτε νοερὰ πληροφορώντας αὐτόν, εἴτε διὰ μέσου κάποιου ἀνθρώπου ἢ διὰ τῆς Γραφῆς. Κι ἂν κόβῃ τὰ θελήματά του γι᾽ Αὐτόν, Αὐτός, μὲ ἀνέκφραστη χαρά, θὰ τὸν κάνῃ νὰ φθάσῃ στὴν τελειότητα, [μὲ τρόπους] ποὺ δὲν γνωρίζει οὔτε ὁ ἴδιος. Καὶ ὅταν τὸ δῇ αὐτό, θαυμάζει πάρα πολύ, πῶς ἀπὸ παντοῦ ἀρχίζει νὰ ἀναβλύζῃ ἡ χαρὰ καὶ ἡ γνῶσι καὶ ἀπὸ κάθε πρᾶγμα εὑρίσκει ὠφέλεια καὶ βασιλεύει ὁ Θεὸς μέσα του, σὰν νὰ μὴν ἔχῃ δικό του θέλημα, διότι ὑποτάχθηκε στὸ ἅγιο Αὐτοῦ θέλημα. Καὶ γίνεται σὰν βασιλιάς, ὥστε, ἂν κάτι ἔλθῃ στὸν νοῦ του [ὡς ἐπιθυμία], τοῦ γίνεται ἀμέσως καὶ χωρὶς κόπο, ἀπὸ τὸν Θεό, ὁ Ὁποῖος ἔχει [ἀναλάβει] τὴν φροντίδα του. Καὶ αὐτὴ εἶναι ἡ πίστι, τὴν ὁποία εἶπε ὁ Κύριος· «ἐὰν ἔχετε πίστι» καὶ τὰ λοιπά. Καὶ ἐπάνω σ᾽ αὐτὴ τὴν πίστι οἰκοδομοῦνται [καὶ θεμελιώνονται] οἱ ἀρετές, κατὰ τὸν Ἀπόστολο.

[135.] Τούτου χάριν ὁ ἐχθρὸς πᾶσαν μηχανὴν ποιεῖ, ἵνα τῆς ἡσυχίας χωρισθῇ ὁ ἄνθρωπος καὶ πεσεῖται εἰς τὸν περισπασμόν· καὶ εἰς τρόπον τινὰ ἄπιστος εὑρίσκηται, ἐλπίζων ἐπὶ τὴν ἰδίαν ἰσχὺν καὶ φρόνησιν ἢ ὁλοτελῶς ἢ ἐκ μέρους. Καὶ ἐκ τούτου ἀφορμὴ λαμβάνει ὁ ἐχθρὸς εἰς τὸ νικῆσαι αὐτὸν καὶ αἰχμάλωτον λαβεῖν τὸν ἄθλιον. Ὁ δὲ ταῦτα γνούς, πᾶσαν τὴν τοῦ κόσμου τρυφὴν καὶ ἀνάπαυσιν καταλιπών, ὡς οἶδεν ὄντα σπεύδει εἰς τὴν ἀμεριμνίαν· εἴτε εἰς τὴν ὑποταγήν, ἔχων τὸν ἐπιστάτην ἀντὶ Χριστοῦ, καὶ ἀνατίθησιν αὐτῷ πᾶν νόημα, λόγῳ τε καὶ ἔργῳ, ἵνα μηδ᾽ ὅλως ἔχῃ τί, εἴτε εἰς τὴν ἡσυχίαν ἐκ πίστεως βεβαίας, πάντα φεύγων. Καὶ ἔχει ἀντὶ πάντων τὸν Χριστὸν καὶ αὐτὸς γίνεται αὐτῷ πάντα, ὥς φασιν ὁ Χρυσόστομος καὶ ὁ Δαμασκηνός, ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι· τρέφων, ἐνδύων, χαροποιῶν, παρακαλῶν, εὐφραίνων, ἀναπαύων, διδάσκων, φωτίζων. Καὶ ἁπλῶς, ὥσπερ τῶν μαθητῶν αὐτοῦ, οὕτω καὶ τούτου ποιεῖ φροντίδα· εἰ καὶ μὴ

135. Γι᾽ αὐτὸ ἀκριβῶς ὁ ἐχθρὸς μεταχειρίζεται κάθε τέχνασμα, γιὰ νὰ χωρισθῇ [ἀπομακρυνόμενος] ὁ ἄνθρωπος ἀπὸ τὴν ἡσυχία καὶ νὰ πέσῃ εἰς τὸν περισπασμό· καὶ κατὰ κάποιον τρόπο [σὲ κάποια περίστασι] νὰ εὑρεθῇ ἄπιστος, ἐλπίζοντας [μόνο] στὴν δική του δύναμι καὶ φρόνησι ἢ ὁλοκληρωτικὰ ἢ μερικῶς. Καὶ ἀπὸ αὐτό, παίρνει ἀφορμὴ ὁ ἐχθρός, νὰ τὸν νικήσῃ καὶ νὰ τὸν συλλάβῃ αἰχμάλωτο τὸν ἄθλιο. Ἐκεῖνος ὅμως, ὁ ὁποῖος τὰ ἐγνώρισε [καλὰ ὅλα] αὐτά, ἀφοῦ ἐγκαταλείψῃ κάθε ἀπόλαυσι καὶ ἀνάπαυσι τοῦ κόσμου, ἐπειδὴ ξέρει [πλέον] τί εἶναι [αὐτά], σπεύδει στὴν ἀμεριμνησία, εἴτε στὴν ὑποταγή, ἔχοντας τὸν ἐπιστάτη [Γέροντα] ἀντὶ τοῦ Χριστοῦ, καὶ ἀποθέτει σ᾽ αὐτὸν κάθε σκέψι [ποὺ ἐκφράζεται] καὶ μὲ λόγο καὶ μὲ ἔργο, γιὰ νὰ μὴν ἔχῃ ἐντελῶς τίποτε [δικό του], εἴτε [σπεύδει] εἰς τὴν ἡσυχία μὲ βεβαία πίστι, φεύγοντας ἀπὸ ὅλα. Καὶ [ἐκεῖ] ἔχει ἀντὶ ὅλων, τὸν Χριστὸ καὶ Αὐτὸς γίνεται γι᾽ αὐτὸν τὰ πάντα, ὅπως λέγουν ὁ Χρυσόστομος καὶ ὁ Δαμασκηνός[ρκδ΄], εἰς τὸν παρόντα καὶ εἰς τὸν μέλλοντα αἰῶνα· ὁ Ὁποῖος τὸν τρέφει, τὸν ἐνδύει, τὸν χαροποιεῖ, τὸν παρηγορεῖ, τὸν εὐφραίνει, τὸν ἀναπαύει, τὸν διδάσκει, τὸν φωτίζει. Καὶ γενικά, ὅπως [ἐφρόντιζε] γιὰ τοὺς μαθητές Του, ἔτσι φροντίζει [καὶ] γι᾽ αὐτόν· ἂν καὶ δὲν

ὥσπερ ἐκεῖνοι κοπιᾶν ἔχῃ, ἀλλ' οὖν πίστιν ἔχῃ βεβαίαν, δι' ἣν οὐ ποιεῖται τὴν ἑαυτοῦ φροντίδα ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἀλλὰ διὰ τὸν φόβον τῶν πνευμάτων, ὡς οἱ Ἀπόστολοι διὰ τὸν φόβον τῶν Ἰουδαίων[164]*, κάθηται ἐν τῷ κελλίῳ ἀναμένων τὸν ἑαυτοῦ διδάσκαλον, ἵνα διὰ τῆς ὄντως θεωρίας, ἤτοι τῆς τῶν κτισμάτων αὐτοῦ γνώσεως, συνεγείρῃ νοητῶς ἐκ τῶν παθῶν, καὶ τὴν εἰρήνην χαρίσηται, ὥσπερ τοῖς Ἀποστόλοις, τῶν θυρῶν κεκλεισμένων*[165]*, φησὶν ὁ Ἅγιος Μάξιμος.*

μπορῇ νὰ κοπιάζῃ ὅπως ἐκεῖνοι, ἔχει ὅμως βεβαία πίστι, μὲ τὴν ὁποία [πλέον] δὲν φροντίζει [αὐτὸς] γιὰ τὸν ἑαυτό του [πλέον], ὅπως οἱ λοιποὶ ἄνθρωποι, ἀλλὰ ἀπὸ τὸν φόβο τῶν [πονηρῶν] πνευμάτων, ὅπως οἱ Ἀπόστολοι «διὰ τὸν φόβο τῶν Ἰουδαίων», κάθεται στὸ κελλί [του], περιμένοντας τὸν Διδάσκαλό του, γιὰ νὰ τὸν ἀναστήσῃ νοητὰ ἀπὸ τὰ πάθη, μὲ τὴν ἀληθινὴ θεωρία, δηλαδὴ τὴν γνῶσι τῶν κτισμάτων Του καὶ γιὰ νὰ τοῦ χαρίσῃ τὴν εἰρήνη, ὅπως στοὺς Ἀποστόλους, ἐνῶ «οἱ θύρες ἦταν κλεισμένες», λέγει ὁ Ἅγιος Μάξιμος[ρκε΄].

ΠΕΡΙ ΤΩΝ ΕΠΤΑ ΣΩΜΑΤΙΚΩΝ ΠΡΑΞΕΩΝ ΔΙΑΓΝΩΣΙΣ ΑΡΙΣΤΗ

[136.] Τὰ δὲ πρῴην γεγραμμένα ἐν τῇ ἀρχῇ τοῦ λόγου περὶ τῶν ἑπτὰ πράξεων τῶν σωματικῶν καὶ ἠθικῶν, ἀείποτε φυλάττειν δεῖ· καὶ μήτε ἐλαττώσειν τῇ ἐλλείψει, μήτε αὔξειν τῇ ὑπερβολῇ. Εἰ μήπου καιρὸς πολέμου ἐστι σωματικοῦ διὰ τὴν νεότητα ἢ ἰσχὺν ὑπερβάλλουσαν, δι' ἣν χρῄζει ὑπερβαλλούσης ἀσκή-

136. Αὐτὰ ποὺ ἔχουν γραφῆ προηγουμένως, στὴν ἀρχὴ τοῦ λόγου, γιὰ τὶς ἑπτὰ σωματικὲς καὶ ἠθικὲς πράξεις, πρέπει νὰ τὰ τηρῇ κανεὶς πάντοτε· καὶ δὲν πρέπει οὔτε νὰ τὰ ἐλαττώσῃ μὲ τὴν ἔλλειψι, οὔτε νὰ τὰ αὐξήσῃ μὲ τὴν ὑπερβολή. Ἐκτὸς κι ἂν εἶναι καιρὸς σωματικοῦ πολέμου, ἐξ αἰτίας τῆς νεότητος ἢ ἐξ αἰτίας τῆς ὑπερβολικῆς [σωματικῆς] δυνάμεως, γιὰ τὴν ὁποία χρειάζεται [καὶ] ὑπερβολικὴ ἄσκη-

σεως. Ἢ πάλιν δι᾿ ἀσθένειαν δι᾿ ἣν μικρᾶς ἀναπαύσεως δέεται. Πλὴν μὴ κατὰ λύσιν τελείαν· αὕτη γὰρ καὶ τοὺς ἀπαθεῖς βλάψαι δύναται, ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ. Ἀλλὰ κατὰ ἀνάγκην ἔστω ἡ ἀνάπαυσις, ὡς ἰατρεία τῆς ἀῤῥωστίας· καὶ μὴ ἀφορμὴν εὑροῦσα ἡ ψυχὴ τὸν τόνον ὑποχαλᾶν βούλεται. Αὕτη γάρ ἐστιν ἡ λύσις, ὅταν ὁλοψύχως τις θέλῃ τὴν ἀνάπαυσιν· ἡ δὲ ἀνάπαυσις, φησί, τοὺς νέους καὶ ὑγιεῖς βλάπτειν εἴωθε. Ἐπειδή φασιν οἱ Ἅγιοι Πατέρες Βασίλειός τε καὶ Μάξιμος· ὅτι πρὸς μὲν θεραπείαν πείνης καὶ δίψης, ἄρτος μόνος καὶ ὕδωρ χρήσιμα, πρὸς δὲ ὑγείαν καὶ ἰσχὺν τοῦ σώματος, τὰ λοιπὰ ὑπὸ τοῦ Θεοῦ φιλανθρώπως δεδώρηται· καὶ ἵνα μὴ τὸ ἓν εἶδος ἀεὶ ἐσθιόμενον εἰς ἀηδίαν φέρῃ τὸν ἀσθενοῦντα, ἀλλ᾿ ἓν παρ᾿ ἕν, ὡς προείρηται, χρήσιμα. Ἡ γὰρ ἀποχὴ καὶ ἡ ἀκρασία εἰσὶν αἱ τὰς ἀσθενείας προσφέρουσαι. Ἡ δὲ ἐγκράτεια καὶ ἐναλλαγὴ τῶν βρωμάτων καθ᾿ ἑκάστην, τῆς ὑγείας πρόξενοι γίνονται, ἵνα τὸ σῶμα τηρηθῇ ἀνήδονον καὶ ἄνοσον καὶ γέ-

σι. Ἢ πάλι [τὸ ἀντίθετο], ἐξ αἰτίας ἀσθενείας, γιὰ τὴν ὁποία ἔχει ἀνάγκη ἀπὸ λίγη ἀνάπαυσι. Πλὴν ὅμως [νὰ μὴν κάνῃ] τελεία κατάργησι [τῆς ἀσκήσεως]· διότι αὐτὴ μπορεῖ νὰ βλάψῃ καὶ τοὺς ἀπαθεῖς [ἀκόμη], ὅπως λέγει ὁ ἅγιος Ἰσαάκ[ρκστ']. Ἀλλά, ἂς εἶναι κατ᾿ ἀνάγκη ἡ ἀνάπαυσι, σὰν θεραπεία τῆς ἀσθενείας· καὶ νὰ μὴ θέλῃ ἡ ψυχή, βρίσκοντας ἀφορμὴ τὴν ἀσθένεια, νὰ χαλαρώνῃ τὸν τόνο [καὶ τὴν ἔντασι τῆς ἀσκήσεως]. Διότι αὐτὴ εἶναι ἡ χαλάρωσι, [ἡ ὁποία ἐπέρχεται] ὅταν ὁλόψυχα κανεὶς θέλῃ τὴν ἀνάπαυσι. Ἡ ἀνάπαυσι ὅμως, λέγει, συνηθίζει νὰ βλάπτῃ τοὺς νέους καὶ ὑγιεῖς. Ἐπειδὴ οἱ Ἅγιοι Πατέρες καὶ ὁ Βασίλειος[ρκζ'] καὶ ὁ Μάξιμος λέγουν· ὅτι γιὰ τὴν ἐξυπηρέτησι τῆς πείνας καὶ τῆς δίψας χρειάζονται μόνο τὸ ψωμὶ καὶ τὸ νερό, γιὰ τὴν ὑγεία ὅμως καὶ τὴν ἰσχὺ τοῦ σώματος, ἔχουν δωρηθῆ μὲ φιλανθρωπία ἀπὸ τὸν Θεὸ καὶ τὰ ὑπόλοιπα· καὶ γιὰ νὰ μὴν προκαλῆται ἀηδία στὸν ἀσθενῆ, ὅταν τρώγῃ τὸ ἕνα [καὶ ἴδιο] εἶδος [τροφῆς] πάντοτε, ἀλλὰ ἐναλλάξ, ὅπως προηγουμένως ἔχει λεχθῆ [ὥστε ὅλα νὰ εἶναι] χρήσιμα. Διότι ἡ ἀποχὴ καὶ ἡ ἀκράτεια, εἶναι ἐκεῖνες ποὺ προκαλοῦν τὶς ἀσθένειες. Ἡ ἐγκράτεια ὅμως καὶ ἡ καθημερινὴ ἐναλλαγὴ τῶν τροφῶν, προξενοῦν τὴν ὑγεία, γιὰ νὰ διατηρηθῇ τὸ σῶμα ἀνεπηρέαστο ἀπὸ ἡδονὴ καὶ [ὑγιὲς] χωρὶς ἀρρώστειες

νηται συνεργὸν πρὸς τὴν κτῆσιν τῶν ἀρετῶν. [137.] Καὶ ταῦτα μὲν πρὸς τοὺς ἀγωνιζομένους, ὡς εἴρηται. Οἱ δὲ ἀπαθεῖς διὰ τῆς κατὰ Χριστὸν νηπιότητος, πολλάκις δι᾽ ἡμερῶν πολλῶν οὐκ ἐσθίουσιν ἐπιλαθόμενοι τοῦ σώματος, ὡς ὁ Ἅγιος Σισόης, ὅστις μετὰ τὸ ἐσθίειν ἐζήτει μεταλαβεῖν τῶν ἀχράντων μυστηρίων ἐκ τῆς πρὸς Θεὸν ἐκστάσεως, ὥς φησιν ὁ Ἀπόστολος, πρὸς ὠφέλειαν πολλῶν· εἴτε ἐξέστημεν Θεῷ· εἴτε σωφρονοῦμεν, ὑμῖν[166]· καὶ ὡς ὁ Μέγας Βασίλειος περί τινων, καὶ ἄλλοι τινές. Οὐδὲ πάλιν μετά τινων ἐσθίοντες οἱ τοιοῦτοι πολλῶν ἐδεσμάτων, εἶχον αἴσθησιν τῶν τοιούτων, ἀλλ᾽ ὡς μηδὲν ἐσθίοντες διέκειντο. Ὁ γὰρ νοῦς τῶν τοιούτων οὐκ ἔστιν ἐν τῷ σώματι, ἵνα αἴσθηται αὐτοῦ τὴν ἀνάπαυσιν ἢ τὸν πόνον. Καὶ δῆλον μὲν ἐκ τῶν πολλῶν Πατέρων καὶ Ἁγίων Μαρτύρων, δῆλον δὲ καὶ ἐκ τοῦ Ἁγίου ἐκείνου, περὶ οὗ ἔγραψεν ὁ Ἅγιος Νεῖλος· ὅτι ἦν τις γέρων, φησίν, ἐν τῇ ἐρήμῳ προσευχόμενος κατὰ νοῦν, ὅν, παραχωρήσει Θεοῦ, πρὸς

καὶ νὰ γίνῃ συνεργὸ στὴν ἀπόκτησι τῶν ἀρετῶν.

137. Καὶ αὐτὰ μὲν γι᾽ αὐτούς, οἱ ὁποῖοι ἀγωνίζονται [ἀκόμη], ὅπως ἔχει λεχθῆ. Οἱ ἀπαθεῖς ὅμως μὲ τὴν κατὰ Χριστὸν νηπιότητα [ποὺ τοὺς χαρακτηρίζει], πολλὲς φορὲς δὲν τρώγουν γιὰ πολλὲς ἡμέρες, ξεχνώντας [τὶς ἀνάγκες] τοῦ σώματός τους, ὅπως ὁ Ἅγιος Σισώης[ρκη'], ὁ ὁποῖος μετὰ τὸ φαγητὸ ζητοῦσε νὰ μεταλάβῃ τὰ Ἄχραντα μυστήρια, ἀπὸ τὴν ἔκστασι [τοῦ νοῦ, στὴν ὁποία εἶχε ἀνέλθει] πρὸς τὸν Θεό, ὅπως λέγει ὁ Ἀπόστολος πρὸς ὠφέλεια πολλῶν, «ἐὰν βρισκώμαστε σὲ ἔκστασι, διὰ τὴν δόξα τοῦ Θεοῦ [γίνεται]· ἐὰν εἴμαστε σώφρονες [αὐτὸ γίνεται] γιὰ χάρι δική σας». Παρόμοια [λέγει] καὶ ὁ Μέγας Βασίλειος γιὰ μερικούς, [ὅπως] καὶ κάποιοι ἄλλοι. Οὔτε πάλι αὐτοί, ὅταν ἔτρωγαν μαζὶ μὲ ἄλλους πολλὰ φαγητά, εἶχαν τὴν αἴσθησι αὐτῶν, ἀλλὰ εὑρίσκοντο σὲ τέτοια κατάστασι, σὰν νὰ μὴν ἔτρωγαν τίποτα. Διότι ὁ νοῦς αὐτῶν τῶν ἀνθρώπων δὲν εἶναι [προσηλωμένος] στὸ σῶμα γιὰ νὰ αἰσθάνεται τὴν ἀνάπαυσι ἢ τὸν πόνο αὐτοῦ. Καὶ [αὐτὸ] εἶναι φανερὸ ἀπὸ τοὺς περισσοτέρους Πατέρες καὶ τοὺς ἁγίους Μάρτυρες, καὶ ἀκόμη εἶναι [πιὸ] φανερὸ ἀπὸ τὸν Ἅγιο ἐκεῖνο, γιὰ τὸν ὁποῖο ἔγραψε ὁ Ἅγιος Νεῖλος[ρκθ']· ὅτι ἦταν, λέγει, κάποιος Γέροντας στὴν ἔρημο προσευχόμενος μὲ τὸν νοῦ του, τὸν ὁποῖο, κατὰ παραχώρησι τοῦ Θεοῦ, πρὸς ὠφέ-

ὠφέλειαν αὐτοῦ καὶ ἄλλων πολλῶν, ἀπὸ τῶν χειρῶν καὶ ποδῶν οἱ δαίμονες ἐλάμβανον καὶ εἰς τὸ ὕψος ἐτίνασσον· καὶ πάλιν ἵνα μὴ βλαβῇ τὸ σῶμα, ἐν τῷ ἐμπίπτειν ἐκ τοσούτου ὕψους, ἐν τῷ ψαθίῳ ἐδέχοντο. Καὶ τοῦτο ἐπὶ πολὺ ποιοῦντες, δοκιμάζοντες εἰ κατέρχεται ὁ νοῦς αὐτοῦ ἐκ τῶν οὐρανῶν, καὶ οὐκ ἴσχυσαν τοῦτο ἀνῦσαι. Ὁ τοιοῦτος ἆρα πότε αἴσθηται βρώσεως ἢ πόσεως ἤ τινος τῶν σωματικῶν; Καὶ πάλιν ὁ Ἅγιος Ἐφραίμ, μετὰ τὸ νικῆσαι πάντα τά τε ψυχικὰ καὶ σωματικὰ πάθη, χάριτι Χριστοῦ, ἵνα μὴ ἀργὸς ἐκ τῶν πολέμων τοῦ ἐχθροῦ εὑρεθῇ καὶ τούτου χάριν κατακριθῇ, ὡς ἐδόκει ἐξ ἀφάτου ταπεινώσεως, ἐζήτει τὴν χάριν τῆς ἀπαθείας ἀρθῆναι ἀπ᾽ αὐτοῦ· περὶ οὗ Ἰωάννης ὁ τῆς Κλίμακος ἐκπλαγείς, ἔγραψεν· ὅτι εἰσί τινες ἀπαθῶν ἀπαθέστεροι, ὡς ὁ Σύρος ἐκεῖνός φησι, καὶ τὰ ἑξῆς.

λεια αὐτοῦ καὶ ἄλλων πολλῶν, τὸν ἔπιαναν οἱ δαίμονες ἀπὸ τὰ χέρια καὶ τὰ πόδια καὶ τὸν ἐτίναζαν ψηλά· καὶ πάλι γιὰ νὰ μὴν βλαβῇ τὸ σῶμα [του], καθὼς θὰ ἔπεφτε ἀπὸ τόσο ὕψος, τὸ ἐδέχοντο μέσα στὴν ψάθα. Καὶ αὐτὸ τὸ ἔκαναν ἐπὶ πολὺ [χρόνο], γιὰ νὰ δοκιμάσουν, ἐὰν κατεβαίνῃ ὁ νοῦς του ἀπὸ τὸν οὐρανό, καὶ δὲν μπόρεσαν νὰ τὸ κατορθώσουν. Ἆραγε αὐτὸς [ὁ ἄνθρωπος] θὰ αἰσθανθῇ ποτὲ [τὴν ἀνάγκη] τῆς τροφῆς ἢ τοῦ ποτοῦ, ἢ κάποιου ἄλλου ἀπὸ τὰ σωματικά; Καὶ πάλι ὁ Ἅγιος Ἐφραίμ, ἀφοῦ νίκησε, μὲ τὴν Χάρι τοῦ Θεοῦ, ὅλα τὰ σωματικὰ καὶ ψυχικὰ πάθη, γιὰ νὰ μὴν εὑρεθῇ ἀργὸς ἀπὸ τοὺς πολέμους τοῦ ἐχθροῦ, καὶ νὰ μὴν κατακριθῇ ἐξ αἰτίας αὐτοῦ, ὅπως νόμιζε ἀπὸ τὴν ἀνέκφραστη ταπείνωσί του, ζητοῦσε [ἀπὸ τὸν Θεὸ] νὰ τοῦ ἀφαιρεθῇ ἡ Χάρι τῆς ἀπαθείας· γιὰ τὸν ὁποῖο ὁ Ἰωάννης τῆς Κλίμακος μὲ κατάπληξι ἔγραψε[ρλʹ]· «ὅτι ὑπάρχουν μερικοί, οἱ ὁποῖοι εἶναι ἀπαθέστεροι [καὶ] ἀπὸ τοὺς ἀπαθεῖς, ὅπως ἐκεῖνος ὁ Σύρος [ὁ ἅγ. Ἐφραίμ], λέγει [πρὸς τὸν Κύριον]..», καὶ τὰ λοιπά.

[138.] Διὰ τοῦτο εἰς πᾶν πρᾶγμα χρῄζομεν τῆς διακρίσεως, ἵνα κατὰ τὸν καιρὸν κρίνωμεν πᾶν ἐπιτήδευμα. Ἡ γὰρ διάκρισις φῶς ἐστι δεικνύουσα τῷ ἔχοντι αὐτήν, τὸν καιρόν, τὸ ἐγχείρημα, τὸ ἐπιτήδευμα, τὴν κατάστασιν ἀνθρώπου, τὴν ἰσχύν, τὴν γνῶσιν, τὴν ἡλικίαν, τὴν δύναμιν, τὴν ἀσθένειαν, τὴν προαίρεσιν, τὴν προθυμίαν, τὴν συντριβήν, τὴν ἕξιν, τὴν ἀγνωσίαν, τὴν τοῦ σώματος δύναμιν καὶ κρᾶσιν, ὑγείαν τε καὶ ταλαιπωρίαν, τὸν τρόπον, τὸν τόπον, τὴν ἀναστροφήν, τὴν ἀνατροφήν, τὴν πίστιν, τὴν διάθεσιν, τὸν σκοπόν, τὴν διαγωγήν, τὴν ἄδειαν, τὴν ἐπιστήμην, τὴν φυσικὴν φρόνησιν, τὴν σπουδήν, τὴν ἐγρήγορσιν, τὴν βραδύτητα, καὶ τὰ ὅμοια. Ἔπειτα, τῶν πραμάτων τὴν φύσιν, τὴν χρῆσιν, τὴν ποσότητα, τὰ εἴδη, τὸν σκοπὸν τοῦ Θεοῦ, τὸν ἐν ταῖς θείαις Γραφαῖς κείμενον, τὸν νοῦν τῆς ἑκάστης λέξεως, οἷον τὸ λεγόμενον ῥητὸν ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ, ὅτε ἦλθον οἱ Ἕλληνες ζητοῦντες ἰδεῖν τὸν Κύ-

138. Γι᾽ αὐτὸ σὲ κάθε πρᾶγμα χρειαζόμαστε τὴ διάκρισι, γιὰ νὰ κρίνωμε ἀνάλογα μὲ τὸν [κατάλληλο] καιρὸ τὸ κάθε ἔργο. Διότι ἡ διάκρισι εἶναι φῶς, τὸ ὁποῖο δείχνει σ᾽ αὐτὸν ποὺ τὴν ἔχει, τὸν καιρό, τὸ ἐγχείρημα, τὸ ἔργο, τὴν [πνευματικὴ] κατάστασι τοῦ ἀνθρώπου, τὴν ἰσχύ, τὴν γνῶσι, τὴν ἡλικία, τὴν δύναμι, τὴν ἀδυναμία, τὴν προαίρεσι, τὴν προθυμία, τὴν συντριβή, τὴν ἕξι, τὴν ἄγνοια, τὴν ρώμη καὶ τὴν κρᾶσι τοῦ σώματος, τὴν ὑγεία καὶ τὴν κακουχία, τὸν τρόπο, τὸν τόπο, τὴ συναναστροφή, τὴν ἀνατροφή, τὴν πίστι, τὴν διάθεσι, τὸν σκοπό, τὴ συμπεριφορά, τὴν ἀσφάλεια, τὴν ἀκριβῆ γνῶσι, τὴν φυσικὴ φρόνησι, τὸν ζῆλο, τὴν ἐγρήγορσι, τὴ βραδύτητα, καὶ [ὅλα] τὰ παρόμοια. Ἔπειτα [δείχνει ἡ διάκρισι] τῶν πραγμάτων τὴν φύσι, τὴν χρῆσι, τὴν ποσότητα, τὰ εἴδη, τὸν σκοπὸ τοῦ Θεοῦ, ὁ ὁποῖος εὑρίσκεται μέσα στὶς θεῖες Γραφές, τὴν ἔννοια τῆς κάθε λέξεως, ὅπως [γιὰ παράδειγμα], τὸ λεγόμενο στὸ κατὰ Ἰωάννην Εὐαγγέλιο, «ὅταν ἦρθαν οἱ Ἕλληνες καὶ ζητοῦσαν νὰ δοῦν τὸν Κύριον»

ριον, καὶ εὐθέως εἶπεν· ἐλήλυθεν ἡ ὥρα[167]*, καὶ τὰ ἑξῆς· πρόδηλον, ὅτι ἔφθασεν ἡ κλῆσις τῶν ἐθνῶν. Ἤρξατο γὰρ ὁ καιρὸς τοῦ πάθους, καὶ τοῦτο ὡς σημεῖον τίθησιν. [139.] Καὶ γὰρ ἡ διάκρισις ταῦτα πάντα σαφηνίζει, οὐ μόνον δέ, ἀλλὰ καὶ τὸν σκοπὸν τῆς τῶν Πατέρων ἑρμηνείας· ὅτι οὐ τὸ γινόμενον πρᾶγμά ἐστι τὸ ζητούμενον, ἀλλὰ δι᾽ οὗ γίνεται, φησὶν ὁ Ἅγιος Νεῖλος. Καὶ ὁ δίχα τῆς τῶν εἰρημένων γνώσεως ποιῶν τι, κοπιᾷ μὲν ἴσως πολλά, οὐδὲν δὲ ἀνύσαι δύναται, ὥς φησιν ὁ Μέγας Ἀντώνιος καὶ ὁ Ἅγιος Ἰσαάκ, περὶ τῶν ἀγωνιζομένων εἰς τὰς σωματικὰς ἀρετάς, ἀμελούντων δὲ εἰς τὴν τοῦ νοὸς ἐργασίαν, καίπερ αὐτὴν μᾶλλον εἶναι τὸ ζητούμενον, ὥς φησιν ὁ Ἅγιος Μάξιμος· δὸς τῷ σώματι τὴν κατὰ δύναμιν ἐργασίαν, καὶ ὅλον σου τὸν ἀγῶνα ἐπὶ τὸν νοῦν τρέψον. Ὁ γὰρ σωματικῶς, φησίν, ἐργαζόμενος, ποτὲ μὲν ἡττᾶται γαστριμαργίᾳ καὶ πολυυπνίᾳ, περισπασμῷ τε καὶ πολυλογίᾳ, καὶ ἐκ τούτων σκοτίζει τὸν νοῦν· ποτὲ δὲ τῇ ἐκτεταμένῃ*

καὶ ἀμέσως Αὐτὸς εἶπε· «ἔχει φθάσει ἡ ὥρα» καὶ τὰ λοιπά. Εἶναι ὁλοφάνερο [ὅτι ἐννοοῦσε] πὼς ἔφθασε ἡ [ὥρα] τῆς κλήσεως τῶν ἐθνῶν. Διότι εἶχε ἀρχίσει ὁ καιρὸς τοῦ πάθους καὶ αὐτὸ [τὸ ρητὸ] τὸ θέτει σὰν σημεῖο.

139. Ἡ διάκρισι λοιπὸν διασαφανίζει ὅλα αὐτά, καὶ ὄχι μόνον αὐτά, ἀλλὰ καὶ τὸν σκοπὸ τῆς ἑρμηνείας τῶν Πατέρων· διότι τὸ ζητούμενον, δὲν εἶναι τὸ πρᾶγμα τὸ ὁποῖο γίνεται, ἀλλὰ [ὁ τρόπος] διὰ τοῦ ὁποίου γίνεται, λέγει ὁ Ἅγιος Νεῖλος[ρλα']. Καὶ αὐτὸς ὁ ὁποῖος κάνει κάτι, χωρὶς τὴν γνῶσι ὅσων ἔχουν λεχθῇ, ἴσως κοπιάζει πολύ, ὅμως δὲν μπορεῖ νὰ κατορθώσῃ τίποτε, ὅπως λέγει ὁ Μέγας Ἀντώνιος[ρλβ'] καὶ ὁ Ἅγιος Ἰσαάκ[ρλγ'], γιὰ ἐκείνους, οἱ ὁποῖοι ἀγωνίζονται στὶς σωματικὲς ἀρετές, ἀλλὰ ἀμελοῦν τὴν ἐργασία τοῦ νοός, ἂν καὶ αὐτὴ [πρέπει] νὰ εἶναι τὸ ζητούμενο, ὅπως λέγει ὁ Ἅγιος Μάξιμος[ρλδ']· «δῶσε στὸ σῶμα [σου] τὴν κατὰ δύναμιν ἐργασία καὶ στρέψε ὅλον σου τὸν ἀγῶνα στὸ νοῦ [στὴν νοερὰ ἐσωτερικὴ ἐργασία]. Διότι ἐκεῖνος, λέγει, ποὺ ἐργάζεται τὰ σωματικὰ [ἔργα], ἄλλοτε μὲν νικᾶται ἀπὸ τὴ γαστριμαργία καὶ τὴν πολυϋπνία, ἀπὸ τὸν περισπασμὸ [στὰ βιοτικὰ] καὶ τὴν πολυλογία καὶ ἀπὸ αὐτὰ σκοτίζεται ὁ νοῦς [του]· ἄλλοτε δὲ μὲ τὴν παρατεταμένη

νηστείᾳ, ἀγρυπνίᾳ τε καὶ ὑπερβολῇ τῶν καμάτων θολοῖ τὴν διάνοιαν. Ὁ δὲ τὸν νοῦν ἐπιμελούμενος θεωρεῖ, εὔχεται, θεολογεῖ, καὶ πᾶσαν ἀρετὴν κατορθῶσαι δύναται. Διότι ὁ φρόνιμος ἄνθρωπος ἐπιστημόνως ἀγωνίζεται ποιεῖν, ὅσον δύναται, μικρὰς τὰς τοῦ σώματος χρείας, ἵνα ἐκ τούτου γένηται ὀλιγομέριμνος ἢ καὶ ἀμέριμνος πρὸς τὸ τηρεῖν τὰς ἐντολάς, ὥς φησιν ὁ Κύριος· μὴ μεριμνᾶτε[168]*, καὶ τὰ ἑξῆς. Ἐν δὲ πολυμεριμνίᾳ οὐδὲ ἑαυτόν τις βλέπειν δύναται, καὶ πῶς τὰς πρὸ καιροῦ ἡτοιμασμένας τοῦ ἐχθροῦ παγίδας δύναται βλέπειν; [***140.***] Ἐπεὶ ὁ ἐχθρὸς οὐ πάντοτε πόλεμον φανερὸν ποιεῖν εἴωθεν, ὥς φησιν ὁ Χρυσόστομος. Εἰ γὰρ τοῦτο ἦν, οὐκ ἂν εὐχερῶς εἰς τὰς παγίδας αὐτοῦ πολλοὶ ἐνεπέσαμεν, ἵνα ὀλίγοι οἱ σῳζόμενοι εὑρεθήσονται*[169]*, ὥς φησιν ὁ Κύριος. Ἀλλ᾿ ὅταν εἰς τὰ μεγάλα βουληθῇ ῥίψαι τινά, ἀμελεῖν κατασκευάζει πρῶτον τὰ μικρὰ καὶ ἀφανῆ· καὶ πρὸ τῆς μοιχείας, τὴν πυκνὴν καὶ ἀκόλαστον θεωρίαν· καὶ πρὸ τοῦ φόνου τὸν μικρὸν*

νηστεία [καὶ] ἀγρυπνία καὶ μὲ τοὺς ὑπερβολικοὺς κόπους θολώνεται ἡ διάνοιά [του]. Ἐκεῖνος, ὅμως, ὁ ὁποῖος ἐπιμελεῖται τὸν νοῦ [τὴν νοερὰ ἐργασία], ἔρχεται σὲ θεωρία, προσεύχεται, θεολογεῖ καὶ μπορεῖ νὰ κατορθώσῃ κάθε ἀρετή. Διότι ὁ φρόνιμος ἄνθρωπος ἀγωνίζεται μὲ ἐπιστημονικὴ σοφία νὰ κάνῃ, ὅσο μπορεῖ, μικρὲς τὶς ἀνάγκες τοῦ σώματος, γιὰ νὰ γίνῃ ἀπὸ αὐτὸ ὀλιγομέριμνος ἢ [ἀκόμη] καὶ ἀμέριμνος, ὥστε νὰ τηρῇ τὶς ἐντολές, ὅπως λέγει ὁ Κύριος· «μὴ μεριμνᾶτε» καὶ τὰ λοιπά. Μὲ τὶς πολλὲς μέριμνες, ὅμως, οὔτε τὸν ἑαυτόν του δὲν μπορεῖ κανεὶς νὰ βλέπῃ, καὶ πῶς εἶναι δυνατὸν νὰ βλέπῃ τὶς παγίδες τοῦ ἐχθροῦ, οἱ ὁποῖες πρὶν ἀπὸ [πολὺ] καιρὸ ἔχουν ἑτοιμασθῆ;

140. Διότι ὁ ἐχθρὸς συνηθίζει νὰ μὴν κάνῃ πάντοτε φανερὸ τὸν πόλεμο, ὅπως λέγει ὁ Χρυσόστομος[ρλε']. Διότι, ἂν αὐτὸ συνέβαινε, δὲν θὰ πέφταμε τόσο εὔκολα πολλοὶ στὶς παγίδες του, ὥστε νὰ βρεθοῦν «ὀλίγοι οἱ σωζόμενοι», ὅπως λέγει ὁ Κύριος. Ἀλλά, ὅταν [ὁ ἐχθρὸς] θελήσῃ νὰ ρίξῃ κάποιον στὰ μεγάλα [ἁμαρτήματα], τὸν κάνει πρῶτα νὰ ἀμελῇ τὰ μικρὰ καὶ ἀσήμαντα· καὶ πρὶν ἀπὸ τὴν μοιχεία, [προκαλεῖ] στὴν συχνὴ καὶ ἀκόλαστη θέα· καὶ πρὶν ἀπὸ τὸν φόνο, στὸν ἀσήμαντο θυ-

θυμόν· καὶ πρὸ τοῦ σκότους τῆς διανοίας, τὸν μικρὸν περισπασμόν· καὶ πρὸ τούτου πάλιν, τὴν δῆθεν ἀναγκαίαν τοῦ σώματος χρείαν. Διὰ τοῦτο ὁ Κύριος, ὡς πάντα προγινώσκων, ὡς τοῦ Πατρὸς σοφία ὑπάρχων[170]*, προκαταλαμβάνων τὰς τοῦ διαβόλου πανουργίας, κελεύει τοῖς ἀνθρώποις πρὸ τοῦ καιροῦ κόπτειν τὰς ἀφορμάς· ἵνα μὴ δοκοῦντες εὐσυμπάθητα εἶναι τὰ μικρά, πίπτωμεν ἐλεεινῶς ἐν τοῖς δεινοῖς καὶ μεγάλοις ἁμαρτήμασι· καὶ φησίν· ἐρρέθη τοῖς ἀρχαίοις*[171]*, τοῖς ἐν τῷ νόμῳ δηλαδή, τάδε καὶ τάδε· ἐγὼ δὲ λέγω ὑμῖν*[172]*, καὶ τὰ ἑξῆς.* ***[141.]*** *Ὁ οὖν μαθητευθεὶς τῷ Ἁγίῳ Εὐαγγελίῳ, ὀφείλει τὰ διδασκόμενα αὐτῷ ὑπὸ τοῦ Σωτῆρος προσέχειν καὶ ποιεῖν, ἵνα ῥυσθῇ τῶν παγίδων τοῦ ἐχθροῦ, καὶ ἔχειν τὰς ἐντολὰς φιλοτιμίαν μᾶλλον καὶ εὐεργεσίαν μεγάλην, ὅτι μετά σοφίας μεγάλης δύναται σῴζειν τὴν ψυχήν. Θεοῦ δῶρα γάρ εἰσιν αἱ ἐντολαί, καὶ εἰκότως, πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι*[173]*, φησὶν ὁ Ἀδελφόθεος· ὥς φησι καὶ ὁ*

μό· καὶ πρὶν ἀπὸ τὸν [πλήρη] σκοτασμὸ τῆς διανοίας, τὸν μικρὸ περισπασμὸ καὶ πρὶν ἀπὸ αὐτὸν πάλι, τὶς δῆθεν ἀνάγκες τοῦ σώματος. Γι᾽ αὐτὸ ὁ Κύριος, ὁ Ὁποῖος τὰ πάντα προγνωρίζει, ἐπειδὴ εἶναι «ἡ σοφία τοῦ Πατρὸς», [θέλοντας] νὰ προλάβῃ τὶς πανουργίες τοῦ διαβόλου, προστάζει τοὺς ἀνθρώπους νὰ κόβουν ἀπὸ τὴν ἀρχὴ τὶς ἀφορμές· γιὰ νὰ μὴν πέφτωμε ἐλεεινῶς στὰ φοβερὰ καὶ μεγάλα ἁμαρτήματα, ἐπειδὴ νομίζουμε ὅτι εἶναι εὐκολοσυγχώρητα τὰ μικρά· καὶ λέγει: «ἔχει λεχθῆ στοὺς ἀρχαίους», δηλαδὴ σ᾽ αὐτοὺς ποὺ εἶχαν τὸ Νόμο [τῆς Π. Διαθήκης], αὐτὰ καὶ αὐτὰ [τὰ ἐντάλματα], «ἐγὼ ὅμως σᾶς λέγω» καὶ τὰ λοιπά.

141. Ἐκεῖνος λοιπὸν ὁ ὁποῖος ἐμαθήτευσε εἰς τὸ Ἅγιον Εὐαγγέλιον, ὀφείλει, ὅλα ὅσα διδάσκεται ἀπὸ τὸν Σωτῆρα, νὰ τὰ προσέχῃ καὶ νὰ τὰ ἐργάζεται, γιὰ νὰ μπορέσῃ νὰ ξεφύγῃ ἀπὸ τὶς παγίδες τοῦ ἐχθροῦ, καὶ νά ἔχῃ τὶς ἐντολὲς [Αὐτοῦ] ὡς τιμή [του] μᾶλλον καὶ ὡς μεγάλη εὐεργεσία, διότι μὲ πολλὴ σοφία μποροῦν νὰ σώζουν τὴν ψυχή. Διότι εἶναι δῶρα Θεοῦ οἱ ἐντολὲς καὶ εὔλογα λέγει ὁ Ἀδελφόθεος: «κάθε ἀγαθὴ προσφορά, καὶ κάθε δώρημα τέλειον [εἶναι] ἀπὸ ἄνω [ἀπὸ τὸν Οὐρανὸ]» [καὶ] ὅπως λέγει ὁ

Δαμασκηνός· ἔθου ἡμῖν ἀκαταίσχυντον πρέσβυν τὴν τεκοῦσάν σε, Χριστέ· ταύτης ταῖς ἐντεύξεσιν, ἵλεων νέμοις ἡμῖν πνεῦμα μεταδοτικόν τε ἀγαθότητος, ἐκ Πατρὸς διὰ σοῦ προερχόμενον.

[142.] Ὁ γὰρ λαβὼν χάρισμα προσοχῆς τῶν θείων Γραφῶν, ὥς φασιν οἱ Πατέρες, πᾶν ἀγαθὸν εὑρίσκει κεκρυμμένον ἐν πάσαις ταῖς Γραφαῖς, ὥς φησιν ὁ Κύριος· ὁ μαθητευθεὶς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν[174]*, καὶ τὰ ἑξῆς· ἤτοι ἐν τῇ κατὰ Θεὸν σχολῇ καὶ ἀναγνώσει τῶν θείων Γραφῶν· ὅτι ἄλλο πρόσωπον δείκνυσιν ἡ γραφὴ τοῖς λοιποῖς ἀνθρώποις, κἂν δοκοῦσι γινώσκειν, καὶ ἄλλο δείκνυσι τῷ ἀφορίσαντι ἑαυτὸν εἰς τὸ ἀδιαλείπτως προσεύχεσθαι, ἤτοι τὸ ἔχειν τὴν τοῦ Θεοῦ ἔννοιαν, ἀντὶ ἀναπνοῆς, ἐν πᾶσι· κἂν κατὰ κόσμον ἰδιώτης ᾖ καὶ ἀμαθὴς τὰ τῶν ἀνθρώπων μαθήματα, ὥς φησιν ὁ Μέγας Βασίλειος. Ἁπλότητι δὲ μᾶλλον καὶ ταπεινώσει Θεὸς ἐμφανίζεται, φησὶν ὁ τῆς Κλίμακος, καὶ οὐ κόποις ἢ καταργουμένῃ σοφίᾳ. Ἀποστρέφεται δὲ μᾶλλον ταύτην ὁ*

Δαμασκηνός[ρλστ']· «Μᾶς ἔδωσες ἀκαταίσχυντη Μεσίτρια τὴν Μητέρα σου Χριστέ, μὲ τὶς πρεσβεῖες Αὐτῆς, εἴθε νὰ μᾶς χαρίζῃς Πνεῦμα εὐσπλαχνίας, τὸ ὁποῖο μεταδίδει τὴν ἀγαθότητα [καὶ] προέρχεται ἀπὸ τὸν Πατέρα, διὰ Σοῦ».

142. Διότι ἐκεῖνος, ὁ ὁποῖος ἔλαβε τὸ χάρισμα νὰ μελετᾷ προσεκτικὰ τὶς θεῖες Γραφές, ὅπως λέγουν οἱ Πατέρες, εὑρίσκει κάθε ἀγαθὸ κρυμμένο σὲ ὅλες τὶς Γραφές, ὅπως λέγει ὁ Κύριος· «αὐτὸς ὁ ὁποῖος ἔγινε μαθητὴς στὴ Βασιλεία τῶν Οὐρανῶν» καὶ τὰ λοιπά· δηλαδὴ στὴν κατὰ Θεὸν ἐπιμελημένη μελέτη καὶ ἀνάγνωσι τῶν θείων Γραφῶν· διότι ἄλλο πρόσωπο δείχνει ἡ Γραφὴ στοὺς λοιποὺς ἀνθρώπους, ἀκόμη κι ἂν νομίζουν ὅτι ἔχουν τὴν γνῶσι [της] καὶ ἄλλο δείχνει σὲ ἐκεῖνον, ὁ ὁποῖος διεχώρισε [καὶ ἀφιέρωσε] τὸν ἑαυτόν του στὴν ἀδιάλειπτη προσευχή, στὸ νὰ ἔχῃ δηλαδὴ σὲ ὅλα τὴν ἔννοια [τὴν μνήμη] τοῦ Θεοῦ ἀντὶ ἀναπνοῆς· ἔστω κι ἂν κατὰ κόσμον εἶναι ἄπειρος καὶ ἀμαθὴς στὰ μαθήματα τῶν ἀνθρώπων, ὅπως λέγει ὁ Μέγας Βασίλειος. Ὁ Θεὸς ὅμως φανερώνεται περισσότερο στὴν ἁπλότητα καὶ στὴν ταπείνωσι, [ὅπως] λέγει ὁ [Ἰωάννης] τῆς Κλίμακος[ρλζ'] καὶ ὄχι στοὺς κόπους καὶ στὴ σοφία [τοῦ κόσμου τούτου], ποὺ καταργεῖται. [Καὶ] ἀποστρέφεται μᾶλλον αὐτὴν

Θεός, ἐὰν οὐκ ἔχῃ ταπείνωσιν. Κρείττων γάρ ἐστί τις ἰδιώτης τῷ λόγῳ καὶ μὴ τῇ γνώσει[175], κατὰ τὸν Ἀπόστολον. Ἐπειδὴ ἡ μὲν πνευματικὴ γνῶσις χάρισμά ἐστι, ἡ δὲ τοῦ λόγου ἐπιστήμη, μάθημά ἐστιν ἀνθρώπινον, ὥσπερ τὰ λοιπὰ μαθήματα τοῦ κόσμου τούτου, καὶ οὐ συμβάλλεταί τισι πρὸς σωτηρίαν ψυχῆς· καὶ δῆλον ἐκ τῶν Ἑλλήνων. [143.] Ἡ δὲ ἀνάγνωσις πρὸς μνήμην τοῖς ἴσασι τὰ εἰρημένα ἐκ τῆς πείρας, πρὸς δὲ μάθησιν τοῖς ἀπείροις γίνεται. Ὅταν, φησὶν ὁ Μέγας Βασίλειος, εὕρῃ ὁ Θεὸς καθαρὰν τὴν καρδίαν ἀπὸ πάντων τῶν κοσμικῶν πραγμάτων καὶ μαθημάτων, τότε ὡς πτυχεῖον ἄγραφον γράφει τὰ ἑαυτοῦ δόγματα. Τοῦτο δὲ λέγω, ἵνα μὴ ἀναγνώσῃ τις τὰ μὴ συμβάλλοντα πρὸς ἀρέσκειαν Θεοῦ. Ἀλλὰ κἂν ἀγνοῶν τοῦτο ποτὲ ἀνέγνω, ἀγωνιζέτω ταχέως ἐξαλεῖψαι τὴν τούτου μνήμην διὰ πνευματικῆς ἀναγνώσεως θείων γραφῶν, καὶ μάλιστα τῶν συμβαλλόντων [recte: συμβαλλουσῶν] αὐτῷ πρὸς σωτηρίαν ψυχῆς κατὰ τὴν κατάστα-

ὁ Θεός, ἐὰν δὲν ἔχῃ ταπείνωσι. Διότι εἶναι προτιμότερος «ὁ ἄπειρος στὸ λόγο καὶ ὄχι στὴ γνῶσι», κατὰ τὸν Ἀπόστολο. Ἐπειδὴ ἡ μὲν πνευματικὴ γνῶσι εἶναι χάρισμα, ἐνῶ ἡ ἐπιστήμη τοῦ λόγου εἶναι μάθημα ἀνθρώπινο, ὅπως ἀκριβῶς τὰ λοιπὰ μαθήματα τοῦ κόσμου τούτου καὶ δὲν βοηθᾶ μερικοὺς στὴ σωτηρία τῆς ψυχῆς· καὶ αὐτὸ γίνεται φανερὸ ἀπὸ τοὺς Ἕλληνες.

143. Ἡ δὲ ἀνάγνωσι [γίνεται, ἀφ᾽ ἑνὸς μὲν] πρὸς ὑπόμνησι ἐκείνων, οἱ ὁποῖοι γνωρίζουν ὅσα ἀπὸ πεῖρα ἔχουν λεχθῆ, [καὶ ἀφ᾽ ἑτέρου] γιὰ νὰ μαθαίνουν, ὅσοι εἶναι ἄπειροι [αὐτῶν]. Ὅταν, λέγει ὁ Μέγας Βασίλειος, εὕρῃ ὁ Θεὸς καθαρὴ τὴν καρδία ἀπὸ ὅλα τὰ κοσμικὰ πράγματα καὶ μαθήματα, τότε σὰν σὲ ἄγραφο πίνακα γράφει ὅσα Ἐκεῖνος βούλεται. Τὸ λέγω δὲ αὐτό, γιὰ νὰ μὴν διαβάζῃ κανεὶς ἐκεῖνα ποὺ δὲν βοηθοῦν στὸ νὰ εἶναι ἀρεστὸς στὸν Θεό. Ἀλλὰ κι ἂν ἀκόμη ἀπὸ ἄγνοια, κάποτε, ἐδιάβασε κάτι, ἂς ἀγωνίζεται νὰ τὸ ἐξαλείψῃ γρήγορα ἀπὸ τὴν μνήμη του, μὲ τὴν πνευματικὴ ἀνάγνωσι θείων Γραφῶν καὶ μάλιστα ἐκείνων, οἱ ὁποῖες συμβάλλουν στὴ σωτηρία τῆς ψυχῆς του, ἀνάλογα μὲ τὴν κατά-

σιν, ἣν ἔφθασεν. Εἰ μὲν πρακτικὸς ἔτι ὑπάρχει, ἐν τοῖς βίοις καὶ λόγοις τῶν Πατέρων, εἰ δὲ εἰς θείαν γνῶσιν ἡ χάρις ἀνήγαγεν αὐτόν, ἀναγινωσκέτω ἐν πάσαις ταῖς θείαις Γραφαῖς, ὡς δυνάμενον, κατὰ τὸν Ἀπόστολον, καθελεῖν πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ[176]*, καὶ ἐκδικεῖν πᾶσαν παρακοὴν καὶ παράβασιν διὰ πράξεως, καὶ ἀληθοῦς γνώσεως τῶν θείων ἐντολῶν τε καὶ δογμάτων τοῦ Χριστοῦ· ἔξωθεν δὲ τούτων μηδ᾽ ὅλως ἀναγινώσκει. Τίς γὰρ χρεία τὸ λαβεῖν πνεῦμα ἀκάθαρτον ἀντὶ Πνεύματος Ἁγίου; Διότι εἰς ὁποῖον λόγον σχολάζει τις, τὸ τοῦ λόγου πνεῦμα ἔχειν βούλεται· εἰ καὶ οὐ φαίνεται αὐτῷ δυσχερὲς τὸ πρᾶγμα ὡς τοῖς ἐμπείροις.*

στασι, στὴν ὁποία ἔφθασε. Ἐὰν εἶναι ἀκόμη πρακτικός, [ἂς μελετᾷ] τοὺς βίους καὶ τοὺς λόγους τῶν Πατέρων· ἐὰν ὅμως ἡ Χάρι τὸν ἀνύψωσε στὴ θεία γνῶσι, ἂς μελετᾷ ὅλες τὶς θεῖες Γραφές, ἐπειδὴ μπορεῖ, κατὰ τὸν Ἀπόστολο, «νὰ κατακρημνίζῃ κάθε τι, ποὺ ἀνυψώνεται μὲ ἀλαζονεία ἐναντίον τῆς γνώσεως τοῦ Θεοῦ» καὶ νὰ τιμωρῇ κάθε παρακοὴ καὶ παράβασι μὲ τὴν πρᾶξι καὶ τὴν ἀληθινὴ γνῶσι τῶν θείων ἐντολῶν καὶ δογμάτων τοῦ Χριστοῦ· ἐκτὸς δὲ ἀπὸ αὐτά, νὰ μὴν διαβάζῃ τίποτε ἄλλο. Γιατὶ ποιὰ [εἶναι] ἡ ἀνάγκη νὰ λάβῃ κανεὶς ἀκάθαρτο πνεῦμα ἀντὶ Πνεύματος Ἁγίου; Διότι μὲ ὅποιο λόγο ἀσχολεῖται [μελετώντας] κανείς, [αὐτοῦ] τοῦ λόγου τὸ πνεῦμα θέλει νὰ ἔχῃ· ἂν καὶ δὲν φαίνεται σ᾽ αὐτὸν [ἐξ ἀρχῆς] ἡ δυσχέρεια [ἀντιλήψεως τοῦ κακοῦ] εἰς τὸ [προκείμενον] πρᾶγμα, ὡς εἰς τοὺς ἐμπείρους.



[144.] Ἔστω οὖν ἡ κατὰ Θεὸν ἀνάγνωσις, πρὸς τὸ μὴ ῥέμβεσθαι τὸν νοῦν, ὅτι αὕτη ἐστὶν ἡ ἀρχὴ τῆς σωτηρίας. Μισεῖ, φησὶν ὁ Σολομών, ἦχον ἀσφαλείας[177], ὁ ἐχθρὸς δηλαδή, ὥσπερ ὁ ῥεμβασμὸς τῆς διανοίας, ἀρχή ἐστι τοῦ ἁμαρτάνειν, ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ. Ὁ δὲ θέλων τοῦτο φυγεῖν τελείως, ἐν τῇ κέλλῃ δεῖ τὰ πολλὰ σχολάζειν. Εἰ μὲν τῆς ἀκηδίας ὑπόσπονδός ἐστιν, ἐργαζέσθω μικρόν, ὡς καὶ ὁ ἀπαθὴς καὶ γνωστικὸς πρὸς ὠφέλειαν ἄλλων καὶ βοήθειαν ἀσθενοῦσί τισιν· ὡς οἱ μεγάλοι τῶν Πατέρων ἐποίουν συγκαταβαίνοντες καὶ ἐξωμοιοῦντο τοῖς ἐμπαθέσι, ταπεινοφροσύνης χάριν, ὡς δυνάμενοι πανταχοῦ ἔχειν τὸν Θεὸν ἐν ἑαυτοῖς καὶ εἰς τὴν ἐν Θεῷ θεωρίαν σχολάζειν, καὶ ἐν ἐργοχείρῳ καὶ ἐν ἀγορᾷ, ὥς φησιν ὁ Μέγας Βασίλειος, πρὸς τοὺς τελείους σφόδρα, ὡς καὶ ἐν πλήθει ὄχλου, φησίν, ὡς μόνοι ἐν ἑαυτοῖς καὶ τῷ Θεῷ πάντοτε εἰσιν. [145.] Ὁ δὲ ταῦτα ἔτι μὴ ἔχων, ἀλλὰ τῇ ἀκηδίᾳ ἀποστάσιον βούλεται δοῦναι, πᾶ-

144. Ἂς εἶναι λοιπὸν ἡ κατὰ Θεὸν ἀνάγνωσι, στὸ νὰ μὴ ρεμβάζῃ ὁ νοῦς, διότι αὐτὴ εἶναι ἡ ἀρχὴ τῆς σωτηρίας. [Γιατὶ] λέγει ὁ Σολομών, «Μισεῖ ἦχον ἀσφαλείας», δηλαδὴ ὁ ἐχθρὸς [μισεῖ τὸν ἦχο ποὺ προειδοποιεῖ τὸν ἐρχομό του], ὅπως ὁ ρεμβασμὸς τῆς διανοίας, εἶναι ἡ ἀρχὴ τῆς ἁμαρτίας, καθὼς λέγει ὁ Ἅγιος Ἰσαάκ[ρλη']. Ἐκεῖνος ὅμως, ὁ ὁποῖος θέλει νὰ ἀποφύγῃ ἐντελῶς αὐτό, πρέπει νὰ μένῃ σχολάζων στὸ κελλί του γιὰ πιὸ πολὺ [χρόνο]. Ἐὰν ὅμως τὸν κυριεύῃ ἡ ἀκηδία, ἂς ἐργάζεται λίγο [τὸ ἐργόχειρο], ὅπως κάνουν καὶ ὁ ἀπαθὴς καὶ ὁ γνωστικός, γιὰ νὰ ὠφελήσουν τοὺς ἄλλους καὶ γιὰ νὰ βοηθήσουν κάποιους ἀσθενεῖς· ὅπως ἔκαναν [καὶ] οἱ μεγάλοι ἀπὸ τοὺς Πατέρες, μὲ τὸ νὰ δείχνουν συγκατάβασι καὶ νὰ ἐξομοιώνωνται μὲ τοὺς ἐμπαθεῖς, ἀπὸ ταπεινοφροσύνη, ἐπειδὴ μποροῦσαν παντοῦ νὰ ἔχουν τὸν Θεὸ μέσα τους καὶ νὰ ἀφοσιώνωνται στὴν κατὰ Θεὸν θεωρία, καὶ [ὅταν ἦσαν] στὸ ἐργόχειρο [ἢ] καὶ στὴν ἀγορά, ὅπως λέγει ὁ Μέγας Βασίλειος γιὰ τοὺς ἐξαιρετικὰ τελείους, ὅτι καὶ μέσα στὸ πλῆθος τοῦ ὄχλου, λέγει, εἶναι πάντοτε ὡς μόνοι μὲ τὸν ἑαυτό τους καὶ τὸν Θεό.

145. Ἐκεῖνος ὅμως, ποὺ δὲν τὰ ἔχει ἀκόμη αὐτά, ἀλλὰ θέλει νὰ δώσῃ διαζύγιο στὴν ἀκηδία, ὀφείλει

σαν ὁμιλίαν ἀνθρώπων καὶ ὕπνον παρὰ τὸ δέον ὀφείλει ἀποβάλλειν ἐξ ἑαυτοῦ καὶ ἐᾶσαι ταύτην τῆξαι αὐτοῦ τὸ σῶμα καὶ τὴν ψυχήν, ἕως οὗ ἀκηδιάσασα ἀναχωρήσῃ, βλέπουσα αὐτοῦ τὴν ὑπομονὴν ἐν διηνεκεῖ σχολῇ κατὰ Θεὸν καὶ ἐν τῇ ἀναγνώσει καὶ καθαρᾷ προσευχῇ. Πᾶς γὰρ πολέμιος, εἰ μὲν εἴδοι ἑαυτόν τι ἀνύσαι δυνάμενον, παραμένει πολεμῶν· εἰ δὲ μήγε, ἀναχωρεῖ ἢ τελείως ἢ πρὸς ὥραν. Διὰ τοῦτο ὀφείλει ὁ θέλων περιγενέσθαι τῶν πολεμίων, πᾶσαν ὑπομονὴν ἔχειν· ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται[178]*. Δίκαιόν ἐστι, φησὶν ὁ Ἀπόστολος, διδόναι θλῖψιν τοῖς λυποῦσιν ἡμᾶς, ἡμῖν δὲ τοῖς θλιβομένοις ἄνεσιν*[179]*.* [146.] *Οὐκ ἔστι δὲ κακὸν οὐδὲ ἓν πρᾶγμα γινόμενον κατὰ Θεὸν μετὰ ταπεινώσεως. Πλὴν διαφορὰς ἔχουσι τὰ πράγματα καὶ τὰ ἐπιτηδεύματα. Πᾶν οὖν εἴ τι ἐστὶ παρὰ τὴν ἀναγκαίαν χρῆσιν, ἐμπόδιον γίνεται τῷ θέλοντι σωθῆναι, ἤγουν πᾶν εἴ τι οὐ συμβάλλεται πρὸς σωτηρίαν ψυχῆς, ἢ πρὸς σωματικὴν ζωήν. Ἐπειδὴ οὐ τὰ βρώματα,*

νὰ ἀπομακρύνῃ ἀπὸ τὸν ἑαυτό του κάθε συναναστροφὴ μὲ τοὺς ἀνθρώπους καὶ τὸν ὑπερβολικὸ ὕπνο καὶ νὰ τὴν ἀφήσῃ [ὑπομένοντάς την] νὰ τοῦ λιώσῃ τὸ σῶμα καὶ τὴν ψυχή του, ἕως ὅτου βαρεθῇ καὶ φύγῃ [ἀπὸ μόνη της], βλέποντας τὴν ὑπομονή του στὴν κατὰ Θεὸν ἀκατάπαυστη ἀσχολία καὶ στὴν ἀνάγνωσι καὶ στὴν καθαρὴ προσευχή. Διότι κάθε ἐχθρός, ἂν δῇ τὸν ἑαυτό του ἱκανὸ νὰ κατορθώσῃ κάτι, συνεχίζει νὰ πολεμᾷ. Διαφορετικὰ ὑποχωρεῖ ἢ τελείως ἢ προσωρινά. Γι᾽ αὐτὸ ὀφείλει, ἐκεῖνος ὁ ὁποῖος θέλει νὰ κυριαρχήσῃ τοὺς ἐχθρούς, νὰ ἔχῃ ὅλη τὴν ὑπομονή· «ἐκεῖνος ποὺ ὑπομένει ὡς τὸ τέλος, θὰ σωθῇ». Εἶναι δίκαιο, λέγει ὁ Ἀπόστολος, «νὰ δίνῃ [ἀνταποδίδοντας] θλῖψι [ὁ Θεός], σὲ ἐκείνους ποὺ μᾶς λυποῦν, ἐνῶ σὲ μᾶς ποὺ θλιβόμαστε, ἀνάπαυσι».

146. Δὲν εἶναι δὲ κακὸ κανένα πρᾶγμα, τὸ ὁποῖο γίνεται σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ [καὶ] μὲ ταπείνωσι. Πλὴν ὅμως ἔχουν διαφορὲς [καὶ] τὰ πράγματα καὶ τὰ ἔργα. Κάθε τι, λοιπόν, ποὺ χρησιμοποιεῖται παραπάνω ἀπὸ τὴν ἀνάγκη, γίνεται ἐμπόδιο, σ᾽ ἐκεῖνον ποὺ θέλει νὰ σωθῇ· δηλαδὴ κάθε τι, ποὺ δὲν βοηθᾶ στὴ σωτηρία τῆς ψυχῆς ἢ στὴ σωματικὴ ζωή. Ἐπειδὴ ὄχι τὰ φαγητά, ἀλ-

ἀλλ᾽ ἡ γαστριμαργία κακή, οὐδὲ τὰ χρήματα, ἀλλ᾽ ἡ προσπάθεια· οὐδὲ τὸ λέγειν, ἀλλ᾽ ἡ ἀργολογία· οὐδὲ τὰ ἡδέα τοῦ κόσμου, ἀλλ᾽ ἡ ἀκρασία· οὐδὲ ἡ ἀγάπη πρὸς τοὺς ἰδίους, ἀλλ᾽ ἡ ἐκ ταύτης ἀργία πρὸς τὴν τοῦ Θεοῦ εὐαρέστησιν· οὐδὲ τὰ ἐνδύματα πρὸς τὸ σκεπασθῆναι μόνον καὶ φεύγειν τὸ ψῦχος καὶ καύσωνα, ἀλλὰ τὰ περιττὰ καὶ πολύτιμα· οὐδὲ αἱ οἰκίαι πρὸς τὸ φεύγειν μόνον μετὰ τῶν εἰρημένων καὶ τοὺς ἐπιβούλους, θηρία τε καὶ ἀνθρώπους, ἀλλ᾽ αἱ διώροφοι καὶ τριώροφοι, μεγάλαι τε καὶ πολυδάπαναι· οὐδὲ τὸ ἔχειν τι πρᾶγμα, ἀλλὰ τὸ μὴ εἰς ἀναγκαίαν χρῆσιν αὐτὸ ἔχειν· οὐδὲ τὸ βίβλους ἔχειν τοὺς λίαν ἀκτήμονας κακόν, ἀλλὰ τὸ μὴ ἔχειν αὐτάς, διὰ τὴν κατὰ Θεὸν ἀνάγνωσιν· οὐδὲ τὸ ἔχειν φίλους, ἀλλὰ τοὺς μὴ πρὸς ὠφέλειαν ψυχῆς χρησίμως ἔχοντας· οὐδὲ γυνὴ κακόν, ἀλλ᾽ ἡ πορνεία· οὐδὲ ὁ πλοῦτος, ἀλλ᾽ ἡ φιλαργυρία· οὐδὲ ὁ οἶνος, ἀλλ᾽ ἡ μέθη· οὐδὲ ὁ φυσικὸς θυμός, ὁ δοθεὶς πρὸς τὸ κολάζειν τὴν ἁμαρτίαν, ἀλλὰ τὸ χρήσα-

λὰ ἡ γαστριμαργία [εἶναι] κακή, οὔτε τὰ χρήματα, ἀλλὰ ἡ προσπάθεια [προσκόλλησι] σ᾽ αὐτά, οὔτε ὁ λόγος, ἀλλὰ ἡ ἀργολογία· οὔτε τὰ εὐχάριστα τοῦ κόσμου, ἀλλὰ ἡ ἀκράτεια· οὔτε ἡ ἀγάπη πρὸς τοὺς οἰκείους, ἀλλὰ ἡ χαύνωσι, ἡ ὁποία προέρχεται ἀπὸ αὐτὴν [τὴν ἔλλειψι ξενιτείας] στὸ [ἔργο] τῆς εὐαρεστήσεως τοῦ Θεοῦ· οὔτε τὰ ἐνδύματα, [ποὺ χρησιμοποιοῦνται] γιὰ νὰ σκεπασθοῦμε μόνο καὶ νὰ ἀποφεύγωμε τὸ κρύο καὶ τὴ ζέστη, ἀλλὰ τὰ περιττὰ καὶ πολυτελῆ· οὔτε τὰ [ἁπλᾶ] σπίτια [τὰ ὁποῖα μᾶς προστατεύουν, ὥστε] νὰ ἀποφεύγωμε, μαζὶ μὲ ὅσα ἀναφέραμε πρὶν καὶ τοὺς ἐχθροὺς [ποὺ ζητοῦν τὸ κακό μας], καὶ τὰ θηρία καὶ τοὺς ἀνθρώπους, ἀλλὰ τὰ διώροφα καὶ τὰ τριώροφα, τὰ μεγάλα καὶ τὰ πολυδάπανα· οὔτε τὸ νὰ ἔχῃ κανεὶς κάποιο πρᾶγμα [εἶναι κακό], ἀλλὰ τὸ νὰ μὴν τὸ ἔχῃ γιὰ ἀναγκαία χρῆσι [μόνο]· οὔτε τὸ νὰ ἔχουν βιβλία οἱ τελείως ἀκτήμονες εἶναι κακό, ἀλλὰ τὸ νὰ μὴν τὰ ἔχουν γιὰ τὴν κατὰ Θεὸν ἀνάγνωσι· οὔτε τὸ νὰ ἔχῃ κανεὶς φίλους, ἀλλὰ τὸ νὰ μὴν ἔχῃ ἐκείνους, οἱ ὁποῖοι εἶναι χρήσιμοι γιὰ τὴν ὠφέλεια τῆς ψυχῆς· οὔτε ἡ γυναίκα εἶναι κακό, ἀλλὰ ἡ πορνεία· οὔτε ὁ πλοῦτος, ἀλλὰ ἡ φιλαργυρία· οὔτε τὸ κρασί, ἀλλὰ ἡ μέθη· οὔτε ὁ φυσικὸς θυμός, ὁ ὁποῖος δόθηκε γιὰ τὴν τιμωρία τῆς ἁμαρτίας, ἀλλὰ τὸ νὰ χρη-

σθαι τούτῳ κατὰ τῶν ὁμογενῶν ἀνθρώπων· οὐδὲ τὸ ἄρχειν, ἀλλ' ἡ φιλαρχία· οὐδὲ ἡ δόξα, ἀλλ' ἡ φιλοδοξία καὶ ἡ χείρων ταύτης κενοδοξία· οὐδὲ τὸ ἀρετὴν κεκτῆσθαι, ἀλλὰ τὸ οἴεσθαι ἔχειν· οὐδὲ ἡ γνῶσις, ἀλλὰ τὸ δοκεῖν εἶναι γνωστικὸν καὶ τὸ χείρον τούτου, τὸ τὴν ἰδίαν ἀγνωσίαν ἀγνοεῖν· οὐδὲ ἡ ἀληθινὴ γνῶσις, ἀλλ' ἡ ψευδώνυμος· οὐδὲ ὁ κόσμος κακός, ἀλλὰ τὰ πάθη· οὐδὲ ἡ φύσις, ἀλλὰ τὰ παρὰ φύσιν· οὐδὲ ἡ ὁμόνοια, ἀλλ' ἡ ἐπὶ τὸ κακοποιῆσαι καὶ μὴ πρὸς σωτηρίαν ψυχῆς γινομένη· οὐδὲ τὰ μέλη τοῦ σώματος, ἀλλ' ἡ τούτων παράχρησις· οὐ γὰρ ἵνα ἐπιθυμῶμεν, ἃ μὴ δεῖ, ἐγένετο ἡ ὅρασις, ἀλλ' ἵνα ὁρῶντες τὰ κτίσματα, δοξάζωμεν ἐξ αὐτῶν τὸν Ποιητήν, πρὸς τὸ ὁδεῦσαι καλῶς ἡμᾶς εἰς τὰ συμφέροντα τῆς ψυχῆς καὶ τοῦ σώματος ἡμῶν· οὐδὲ αἱ ἀκοαὶ πρὸς τὸ ἐνωτίζεσθαι καταλαλιὰν καὶ μωρολογίαν, ἀλλὰ πρὸς τὸ ἀκοῦσαι λόγον Θεοῦ καὶ πᾶσαν λαλιάν, ἣν ἀκούομεν παρ' ἀνθρώπων, πετεινῶν τε καὶ τῶν λοιπῶν, καὶ ἐκ τούτου δοξάσαι τὸν Ποιητήν· οὐ-

σιμοποιῆται κατὰ τῶν συνανθρώπων· οὔτε ἡ ἐξουσία, ἀλλὰ ἡ φιλαρχία· οὔτε ἡ δόξα, ἀλλὰ ἡ φιλοδοξία καὶ ἡ χειρότερη ἀπὸ αὐτὴν κενοδοξία· οὔτε ἡ απόκτησι τῆς ἀρετῆς, ἀλλὰ τὸ νὰ νομίζῃ [καὶ νὰ ὑπερηφανεύεται] κανεὶς ὅτι τὴν ἔχει· οὔτε ἡ γνῶσι, ἀλλὰ τὸ νὰ θεωρῇ [κανεὶς] ὅτι εἶναι γνωστικὸς καὶ τὸ χειρότερο ἀπὸ αὐτό, τὸ νὰ ἔχῃ ἄγνοια τῆς δικῆς του ἀγνωσίας· οὔτε ἡ ἀληθινὴ γνῶσι, ἀλλὰ ἡ ψευδώνυμη· οὔτε ὁ κόσμος [εἶναι] κακός, ἀλλὰ τὰ πάθη· οὔτε ἡ φῦσι, ἀλλὰ τὰ παρὰ φύσιν· οὔτε ἡ ὁμόνοια [τῶν ἀνθρώπων], ἀλλὰ ἐκείνη ποὺ γίνεται γιὰ τὸ κακὸ καὶ ὄχι γιὰ τὴ σωτηρία τῆς ψυχῆς· οὔτε τὰ μέλη τοῦ σώματος, ἀλλὰ ἡ κακὴ χρῆσι αὐτῶν. Γιατὶ ἡ ὅρασι δὲν ἔγινε, γιὰ νὰ ἐπιθυμοῦμε αὐτὰ ποὺ δὲν πρέπει, ἀλλὰ γιὰ νὰ βλέπωμε τὰ κτίσματα καὶ νὰ δοξάζωμε ἀπὸ αὐτὰ τὸν Δημιουργό, ὥστε νὰ βαδίσωμε σωστὰ πρὸς τὰ συμφέροντα τῆς ψυχῆς καὶ τοῦ σώματός μας. Οὔτε ἡ ἀκοή, γιὰ νὰ ἀκοῦμε κατακρίσεις καὶ μωρολογίες, ἀλλὰ γιὰ νὰ ἀκούσωμε τὸν λόγον τοῦ Θεοῦ καὶ κάθε λαλιά, ποὺ ἀκοῦμε ἀπὸ ἀνθρώπους, πουλιὰ καὶ τὰ λοιπά, [ὥστε] ἀπὸ αὐτὴν νὰ δοξάσωμε τὸν Δημιουργό· οὔτε ἡ

δὲ ἡ ὄσφρησις πρὸς τὸ ἐκθηλύνειν τὴν ψυχὴν καὶ λύειν τὸν τόνον αὐτῆς τῇ εὐοσμίᾳ, ὥς φησιν ὁ Θεολόγος, ἀλλὰ πρὸς τὸ ἀναπνεῖν καὶ δέχεσθαι τὸν δεδωρημένον ἡμῖν παρὰ Θεοῦ ἀέρα καὶ δοξάζειν αὐτὸν ἕνεκα τούτου· οὗ χωρίς, οὐδεὶς δύναται ζῆσαι σωματικῶς, οὔτε ἄνθρωπος οὔτε κτῆνος. [147.] Καὶ θαυμάζω τὴν σοφίαν τοῦ εὐεργέτου, πῶς τὰ ἀναγκαιότερα πράγματα εὐκόλως πᾶσιν εὑρίσκονται, λέγω δὴ τὸν ἀέρα, τὸ πῦρ, τὸ ὕδωρ καὶ τὴν γῆν. Οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ τὰ δυνάμενα σῶσαι τὴν ψυχήν, εὐκοπώτερα τῶν ἄλλων πραγμάτων ἐποίησε· τὰ δὲ ἀπώλειαν αὐτῇ προσφέροντα δυσκολώτερα· οἷον ἡ πενία, πλείονα σῴζειν εἴωθε τὴν ψυχήν, ὁ δὲ πλοῦτος ἐμπόδιον γίνεται τοῖς πολλοῖς· καὶ τὴν μὲν ὁ τυχὼν εὑρίσκει, ὁ δὲ οὐκ ἔστιν ἐν ἡμῖν. Εἶτα τὴν ἀτιμίαν, τὴν ταπείνωσιν, τὴν ὑπομονήν, τὴν ὑπακοήν, τὴν ὑποταγήν, τὴν ἐγκράτειαν, τὴν νηστείαν, τὴν ἀγρυπνίαν, τὴν ἐκκοπὴν τοῦ ἰδίου θελήματος, τὴν σωματικὴν ἀσθένειαν, τὴν εὐχαριστίαν ἐν πᾶ-

ὄσφρησι [εἶναι] γιὰ νὰ χαυνώνῃ τὴν ψυχὴ καὶ νὰ παραλύῃ τὴ δυναμί της ἀπὸ τὴν εὐωδία, ὅπως λέγει ὁ Θεολόγος[ρλθ'], ἀλλὰ γιὰ νὰ ἀναπνέωμε καὶ νὰ δεχώμασθε τὸν ἀέρα, τὸν ὁποῖο ἔχει δωρίσει σὲ μᾶς ὁ Θεὸς καὶ νὰ Τὸν δοξάζωμε γι᾽ αὐτό, γιατὶ χωρὶς [ἀέρα] δὲν μπορεῖ κανεὶς νὰ ζήσῃ σωματικά, οὔτε ἄνθρωπος, οὔτε ζῶο.

147. Καὶ θαυμάζω τὴν σοφία τοῦ Εὐεργέτου, πῶς τὰ πλέον ἀναγκαῖα [γιὰ τὴν ζωὴ] πράγματα εὑρίσκονται εὔκολα σὲ ὅλους, καὶ ἐννοῶ τὸν ἀέρα, τὴ φωτιά, τὸ νερό καὶ τὸ χῶμα. Καὶ ὄχι μόνον αὐτά, ἀλλὰ καὶ αὐτὰ ποὺ μποροῦν νὰ σώσουν τὴν ψυχή, τὰ ἔκανε εὐκολώτερα ἀπὸ τὰ ἄλλα πράγματα· ἐκεῖνα ὅμως τὰ ὁποῖα τὴν ὁδηγοῦν στὴν ἀπώλεια [τὰ ἔκανε] δυσκολώτερα· ὅπως γιὰ παράδειγμα ἡ πτωχεία συνηθέστερα σώζει τὴν ψυχή, ἐνῶ ὁ πλοῦτος γίνεται ἐμπόδιο στοὺς πολλούς· καὶ αὐτὴν μὲν [τὴν πτωχεία] τὴν βρίσκει ὁ ὁποιοσδήποτε ἄνθρωπος, τὸν πλοῦτο ὅμως δὲν εἶναι στὶς δυνατότητές μας [νὰ τὸν ἀποκτήσωμε]. Ἔπειτα τὴν περιφρόνησι, τὴν ταπείνωσι, τὴν ὑπομονή, τὴν ὑποταγή, τὴν ἐγκράτεια, τὴν νηστεία, τὴν ἀγρυπνία, τὴν ἐκκοπὴ τοῦ ἰδίου θελήματος, τὴν σωματικὴ ἀσθένεια, τὴν εὐχαριστία σὲ ὅλα

σι τούτοις· τοὺς πειρασμούς, τάς ζημίας, τὴν στέρησιν τῶν ἀναγκαίων, τὴν ἀποχὴν τῶν ἡδέων, τὴν γυμνότητα, τὴν μακροθυμίαν· καὶ ἁπλῶς πάντα τὰ διὰ τὸν Θεὸν γινόμενα ἐπιτηδεύματα, καὶ ἀνεμπόδιστα εἰσὶ καὶ οὐδεὶς ὑπὲρ τῶν τοιούτων μάχεται, ἀλλὰ μᾶλλον παραχωρεῖ τοῖς προαιρουμένοις ταῦτα ἔχειν, εἴτε ἑκουσίως, εἴτε ἀκουσίως ἐπερχομένων. [148.] Τὰ δέ, πρὸς ἀπώλειαν συντείνοντα, δυσεύρετα· οἷον ὁ πλοῦτος, ἡ δόξα, ἡ ὑπερηφανία, ἡ ἀκαταδεξία, ἡ ἐξουσία, τὸ ἄρχειν, ἡ ἀκρασία, ἡ πολυφαγία, ἡ πολυϋπνία, τὸ ποιεῖν ἃ βούλεται, ἡ ὑγεία καὶ ἡ ἰσχὺς τοῦ σώματος, ὁ ἀνεπηρέαστος βίος, τὰ κέρδη, τὸ ἔχειν ὅσα ἐπιθυμεῖ, ἡ τῶν ἡδέων ἀπόλαυσις, τὸ ἔχειν ἐνδύματα καὶ σκεπάσματα πολλὰ καὶ πολύτιμα, καὶ τὰ τοιαῦτα, ὑπὲρ ὧν πολὺς μὲν ὁ ἀγών, ὀλίγη δὲ ἡ εὕρεσις καὶ πρόσκαιρος ἡ ὠφέλεια· καὶ πολλὴ μὲν ἡ θλῖψις, ὀλίγη δὲ ἡ ἀπόλαυσις. Διότι τοῖς ἔχουσιν αὐτὰ καὶ τοῖς μὴ ἔχουσιν αὐτά, ἀλλ᾽ ἔχειν ἐπιθυμοῦσιν, πᾶσαν θλῖψιν προ-

αὐτά· τοὺς πειρασμούς, τὶς ζημίες, τὴν στέρησι τῶν ἀναγκαίων, τὴν ἀποχὴ ἀπὸ τὰ ἡδονικά, τὴν γυμνότητα, τὴν μακροθυμία· καὶ γενικὰ ὅλα τὰ ἔργα, τὰ ὁποῖα γίνονται γιὰ τὸν Θεὸ καὶ κανεὶς δὲν τὰ ἐμποδίζει καὶ κανεὶς δὲν μάχεται γιὰ νὰ τὰ ἔχῃ, ἀλλὰ μᾶλλον τὰ παραχωρεῖ, σὲ ἐκείνους ποὺ ἐπιθυμοῦν νὰ τὰ ἔχουν, εἴτε ἔρχονται ἑκούσια, ἢ [καὶ] ἀκούσια.

148. Ἐκεῖνα ὅμως, τὰ ὁποῖα συντελοῦν στὴν ἀπώλεια, εἶναι δυσεύρετα· ὅπως ὁ πλοῦτος, ἡ δόξα, ἡ ὑπερηφάνεια, ἡ ἀκαταδεξία, ἡ ἐξουσία, ἡ ἀρχηγία, ἡ ἀκράτεια, ἡ πολυφαγία, ἡ πολυϋπνία, νὰ κάνῃ κανεὶς ὅ,τι θέλει, ἡ ὑγεία καὶ ἡ δύναμι τοῦ σώματος, ἡ ἀνεπηρέαστη [ἀπὸ δεινὰ] ζωή, τὰ κέρδη, τὸ νὰ ἔχῃ [κανεὶς] ὅσα ἐπιθυμεῖ, ἡ ἀπόλαυσι τῶν ἡδονῶν, τὸ νὰ ἔχῃ ἐνδύματα καὶ σκεπάσματα πολλὰ καὶ πολυτελῆ, καὶ τὰ παρόμοια, γιὰ τὰ ὁποῖα εἶναι πολὺς ὁ ἀγώνας, ἀλλὰ λίγο τὸ κέρδος καὶ πρόσκαιρη ἡ ὠφέλεια. Καὶ εἶναι μεγάλη μὲν ἡ θλῖψι, μικρὴ δὲ ἡ ἀπόλαυσι. Διότι [τόσο] σ᾽ αὐτοὺς ποὺ τὰ ἔχουν [ὅσο] καὶ σ᾽ αὐτοὺς ποὺ δὲν τὰ ἔχουν, ἀλλὰ ἐπιθυμοῦν νὰ τὰ ἔχουν, προκαλοῦν πολλὴ θλῖ-

ξενοῦσι, καίπερ οὐκ ἔστι κακὸν οὐδέν, ἀλλ' ἡ τούτων παράχρησις, ὡς εἴρηται. [149.] Οὐ γὰρ ἵνα κλέπτωμεν καὶ ἁρπάζωμεν καὶ χεῖρας ἐπ' ἀλλήλων ἐκτείνωμεν κακῶς, ἐγένοντο ἡμῖν χεῖρες καὶ πόδες, ἀλλ' ἵνα ταύτας πρὸς πᾶσαν ἐργασίαν κατὰ Θεὸν κτησώμεθα, εἴς τε ἐλεημοσύνην τοῖς πτωχοῖς οἱ ἀσθενέστεροι τὴν ψυχὴν πρὸς τελειότητα καὶ πρὸς βοήθειαν τοῖς χρῄζουσιν· οἱ δυνατώτεροι δὲ τὴν ψυχὴν καὶ τὸ σῶμα, διὰ τῆς ἀκτημοσύνης καὶ μιμήσεως τοῦ Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ Μαθητῶν, καὶ πρὸς τὸ δοξάζειν τὸν Θεόν, καὶ θαυμάζειν τὴν κεκρυμμένην αὐτοῦ σοφίαν ἐν τοῖς μέλεσιν ἡμῶν. Καὶ πῶς αἱ χεῖρες αὗται καὶ οἱ μικροὶ δάκτυλοι πρὸς πᾶσαν ἐπιστήμην καὶ ἐργασίαν, γραφήν τε καὶ ἐπιτήδευμα εὑρίσκονται ἕτοιμοι τῇ τοῦ Θεοῦ προνοίᾳ· ἐξ οὗ ἡ γνῶσις τῶν ἀναριθμήτων τεχνῶν τε καὶ γραφῶν, σοφίας τε καὶ ἰαματικῶν φαρμάκων, γλωσσῶν τε καὶ γραμμάτων διαφόρων· καὶ ἁπλῶς πάντα τὰ προγεγονότα, γινόμενά τε καὶ γενησόμενα δι' ἄκραν ἀγαθό-

ψι, ἂν καὶ βέβαια κανένα [ἀπὸ αὐτὰ] δὲν εἶναι [αὐτὸ καθ' ἑαυτὸ] κακό, ἀλλὰ [κακὴ εἶναι] ἡ παράχρησί τους, ὅπως ἔχει λεχθῆ.

149. Διότι δὲν μᾶς δόθηκαν τὰ χέρια καὶ τὰ πόδια γιὰ νὰ κλέπτωμε καὶ νὰ ἁρπάζωμε καὶ νὰ σηκώνωμε χέρια ἐναντίον τῶν ἄλλων, ἀλλὰ γιὰ νὰ τὰ χρησιμοποιοῦμε γιὰ κάθε ἔργο κατὰ Θεόν, οἱ πιὸ ἀδύναμοι ψυχικῶς γιὰ ἐλεημοσύνη στοὺς πτωχούς, μὲ σκοπὸ [νὰ φθάσωμε] στὴν τελειότητα, [ὅπως] καὶ γιὰ βοήθεια σὲ ὅσους ἔχουν ἀνάγκη· καὶ οἱ πιὸ δυνατοὶ ψυχικῶς καὶ σωματικῶς, μὲ τὴν ἀκτημοσύνη καὶ τὴν μίμησι τοῦ Χριστοῦ καὶ τῶν ἁγίων Αὐτοῦ μαθητῶν, καὶ γιὰ νὰ δοξάζωμε τὸν Θεὸ καὶ νὰ θαυμάζωμε τὴν κρυμμένη στὰ μέλη μας σοφία Αὐτοῦ. Καὶ [νὰ θαυμάζωμε], πῶς τὰ χέρια αὐτὰ καὶ τὰ μικρὰ δάχτυλα, μὲ τὴν πρόνοια τοῦ Θεοῦ, εὑρίσκονται ἕτοιμα γιὰ κάθε ἐπιστήμη καὶ ἐργασία, γραφὴ καὶ ἐπιτήδευσι· ἀπὸ τὸν ὁποῖο [προέρχεται] ἡ γνῶσι τῶν ἀναριθμήτων τεχνῶν καὶ τῶν γραφῶν, τῆς σοφίας καὶ τῶν θεραπευτικῶν φαρμάκων, τῶν γλωσσῶν καὶ τῶν διαφόρων γραμμάτων. Καὶ γενικά, ὅλα ὅσα ἔχουν γίνει καὶ ὅσα γίνονται καὶ ὅσα θὰ γίνουν, μᾶς ἔχουν δωρηθῆ ἀπὸ τὴν ἀγα-

τητα ἡμῖν δεδώρηται καὶ ἀεὶ δίδονται πρὸς τὸ ζῆσαι σωματικῶς καὶ σωθῆναι ψυχικῶς, ἐὰν κατὰ τὸν τοῦ Θεοῦ σκοπὸν χρησώμεθα πᾶσι τοῖς οὖσι, καὶ διὰ τούτων δοξάζωμεν αὐτὸν μετὰ πάσης εὐγνωμοσύνης. Εἰδὲ μήγε ἐκπίπτομεν καὶ ἀπολύμεθα καὶ πάντα τὰ ὄντα πρὸς θλῖψιν ἡμῖν ἐν τῷ νῦν αἰῶνι γίνονται, οὐ μὴν ἀλλὰ καὶ ἐν τῷ μέλλοντι πρὸς κόλασιν αἰώνιον, ὡς προείρηται.

θότητα [τοῦ Θεοῦ] καὶ πάντοτε δίνονται, γιὰ νὰ ζήσωμε σωματικὰ καὶ νὰ σωθοῦμε ψυχικά, ἂν χρησιμοποιήσωμε ὅλα τὰ ὑπάρχοντα, σύμφωνα μὲ τὸν κατὰ Θεὸν σκοπὸ καὶ μὲ αὐτὰ δοξάζωμε Αὐτόν, μὲ ὅλη μας τὴν εὐγνωμοσύνη. Στὴν ἀντίθετη περίπτωσι, ἐκπίπτομε [τοῦ κατὰ Θεοῦ σκοποῦ] καὶ χανόμαστε καὶ ὅλα τὰ ὑπάρχοντα μᾶς γίνονται [πλέον] αἰτία θλίψεως εἰς τὸν παρόντα αἰῶνα, ἀλλὰ καὶ στὸν μέλλοντα [μᾶς ἑτοιμάζουν] τὴν αἰώνια κόλασι, ὅπως προείπαμε.

ΠΕΡΙ ΔΙΑΚΡΙΣΕΩΣ ΑΛΗΘΟΥΣ

*[**150.**] Ὁ μέν, χάριτι Θεοῦ, λαβὼν χάρισμα διακρίσεως, ἐκ πολλῆς ταπεινοφροσύνης, ὀφείλει πάσῃ δυνάμει φυλάττειν τὸ χάρισμα τοῦτο, εἰς τὸ μηδ᾽ ὅλως ἀδιακρίτως τι ποιεῖν, ἵνα μὴ ἐν γνώσει ἐξ ἀμελείας πταίων μείζονα τὴν κατάκρισιν ἐμποιῇ ἑαυτῷ. Ὁ δὲ μὴ λαβὼν τὸ χάρισμα τοῦτο, ἔτι ὀφείλει μηδ᾽ ὅλως νόημα στῆσαι, ἢ λόγον ἢ ἔργον, ἐκτὸς ἐρωτήσεως, πίστεώς τε βεβαίας καὶ προσευχῆς καθαρᾶς, ὧν χωρὶς εἰς διάκρισιν ἀψευδῶς ἀνελθεῖν οὐ*

150. Ἐκεῖνος μέν, ὁ ὁποῖος μὲ τὴν Χάρι τοῦ Θεοῦ, ἔλαβε τὸ χάρισμα τῆς διακρίσεως, λόγῳ τῆς μεγάλης του ταπεινοφροσύνης, ὀφείλει, μὲ ὅλη του τὴν δύναμι, νὰ διαφυλάσσῃ τὸ χάρισμα αὐτό, ὥστε νὰ μὴν κάνῃ ἀπολύτως τίποτα μὲ ἀδιακρισία, γιὰ νὰ μὴν προξενῇ μεγαλύτερη κατάκρισι στὸν ἑαυτό του, ὅταν ἁμαρτάνῃ ἐν γνώσει του, ἀπὸ ἀμέλεια. Ἐκεῖνος ὅμως, ὁ ὁποῖος δὲν ἔλαβε ἀκόμη τὸ χάρισμα αὐτό, ὀφείλει νὰ μὴν ἐπιμείνῃ σὲ καμία δική του σκέψι ἢ λόγο ἢ ἔργο, ἂν δὲν ρωτήσῃ [τοὺς ἐμπείρους Γέροντες], μὲ βεβαία πίστη καὶ καθαρὰ προσευχή, χωρὶς τὰ ὁποῖα δὲν μπορεῖ νὰ ἀνέλθῃ ἀληθινὰ στὴν

δύναται. Αὕτη μὲν γὰρ γεννᾶται ἐκ ταπεινοφροσύνης· γεννᾷ δὲ τῷ ἔχοντι αὐτήν, διόρασιν· ὥς φασι Μωυσῆς τε καὶ ὁ τῆς Κλίμακος· ἵνα ὁ ἔχων προβλέπῃ τὰ κεκρυμμένα τοῦ ἐχθροῦ μηχανήματα καὶ ἐκκόπτῃ τὰς ἀφορμὰς αὐτῶν πρὸ καιροῦ, κατὰ τὸν Δαβίδ· καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου[180]. Σημεῖα δὲ τῆς μὲν διακρίσεως τὸ ἀψεύστως γινώσκεν τὰ καλὰ καὶ τὰ ἐναντία· ἔπειτα καὶ τὸ θεῖον βούλημα εἰδέναι ἐν πᾶσι τοῖς ἐπιτηδεύμασι· τῆς δὲ διοράσεως, τὸ γινώσκειν τά τε ἴδια πταίσματα, πρὶν εἰς τὸ ἔργον φθάσωσι καὶ τὰ κατὰ κλοπὴν γινόμενα ὑπὸ τῶν δαιμόνων· ἔπειτα καὶ τὰ κεκρυμμένα ἐν ταῖς θείαις Γραφαῖς μυστήρια, καὶ ἐν τοῖς αἰσθητοῖς κτίσμασιν. Ἔχει μὲν καὶ ἡ τούτων μήτηρ ταπείνωσις σημεῖον, ὡς προείρηται περὶ ἑαυτῆς, γινώσκεται δὲ ἐκ τούτου. Εἰ μὲν γάρ ἐστι ταπεινόφρων, ὀφείλει πᾶσαν ἀρετὴν ἔχειν καὶ ὡς μείζονα χρεωστῶν, ὑπὸ κάτω πάσης κτίσεως εἶναι ἐν ἀληθείᾳ πιστεύειν· εἰ δὲ μὴ οὕτως διάκειται,

διάκρισι. Διότι αὐτὴ μὲν γεννιέται ἀπὸ τὴν ταπεινοφροσύνη· σ᾽ αὐτὸν δὲ ποὺ τὴν ἔχει, γεννᾶ τὴν διόρασι, ὅπως λέγουν ὁ Μωϋσῆς καὶ ὁ [Ἰωάννης] τῆς Κλίμακος[ρμ']· ὥστε αὐτός, ὁ ὁποῖος τὴν ἔχει, νὰ προβλέπῃ τὶς κρυφὲς πανουργίες τοῦ ἐχθροῦ καὶ νὰ ἀποκόπτῃ ἀμέσως τὶς ἀφορμὲς αὐτῶν, κατὰ τὸν Δαδίβ. «Καὶ ἐπέβλεψεν ὁ ὀφθαλμός μου στοὺς ἐχθρούς μου». Σημεῖα δὲ [χαρακτηριστικὰ] τῆς διακρίσεως [εἶναι] τὸ νὰ γνωρίζῃ κανεὶς ἀληθινὰ τὰ καλὰ καὶ τὰ ἀντίθετα [κακά]. Ἔπειτα νὰ γνωρίζῃ τὸ θεῖο θέλημα, σὲ ὅλα του τὰ ἐγχειρήματα· τῆς δὲ διοράσεως [σημεῖο εἶναι], τὸ νὰ γνωρίζῃ [κανεὶς] καὶ τὰ δικά του σφάλματα, πρὶν νὰ φθάσουν νὰ γίνουν πρᾶξι καὶ αὐτὰ ποὺ γίνονται, ἀπὸ ἐξαπάτησι τῶν δαιμόνων. Ἔπειτα [νὰ γνωρίζῃ] τὰ κρυμμένα μυστήρια στὶς θεῖες Γραφὲς καὶ στὰ αἰσθητὰ κτίσματα. Ἔχει βέβαια καὶ ἡ μητέρα αὐτῶν ταπείνωσι, χαρακτηριστικὸ γνώρισμα, ὅπως ἔχει λεχθῆ προηγουμένως γι᾽ αὐτήν, καὶ ἀναγνωρίζεται ἀπὸ αὐτό. Ἂν μὲν εἶναι κανεὶς ταπεινόφρων, ὀφείλει νὰ ἔχῃ κάθε ἀρετὴ καὶ νὰ πιστεύῃ ἀληθινὰ ὅτι εἶναι κατώτερος ἀπὸ ὅλη τὴν κτίσι, ἐπειδὴ [νομίζει] ὅτι χρεωστεῖ περισσότερα. Ἂν ὅμως δὲν ἔχει αὐτὴ τὴν διάθε-

αὐτὸ τοῦτο πληροφορία ἐστιν, ὅτι χείρων πάσης τῆς κτίσεως ὑπάρχει, κἂν ἰσάγγελον πολιτείαν δοκῇ ἔχειν. Ἐπεὶ ὁ κατὰ ἀλήθειαν Ἄγγελος οὐκ ἠδύνατο μετὰ τοσαύτας ἀρετὰς καὶ σοφίαν ἀρέσαι τῷ Ποιητῇ, ταπεινώσεως δίχα. [151.] Τί λοιπὸν ἔχει εἰπεῖν ὁ οἰόμενος εἶναι Ἄγγελος, ἐκτὸς ταπεινώσεως τῆς πάντων τῶν ὄντων καὶ ἐσομένων ἀγαθῶν αἰτίας; ἐξ ἧς γεννᾶται ἡ διάκρισις ἡ φωτίζουσα τὰ πέρατα, ἧς χωρίς, πάντα εἰσὶ ζοφώδη. Φῶς γάρ ἐστι καὶ λέγεται, καὶ διὰ τοῦτο πρὸ παντὸς λόγου καὶ ἐπιτηδεύματος χρῄζομεν τούτου τοῦ φωτός, ἵνα τὰ λοιπὰ ὁρῶντες θαυμάζωμεν. Θαυμάζομεν δὲ καὶ τὸν Θεὸν πῶς ἐν τῇ πρώτῃ καὶ κυρίᾳ τῶν ἡμερῶν πρῶτον τὸ φῶς ἐποίησεν[181], ἵνα μὴ τὰ γινόμενα μετὰ τούτου [recte: μετὰ τοῦτο][ιθ'] ἀθεώρητα μένωσιν ὡς οὐκ ὄντα, φησὶν ὁ ἐκ Δαμασκοῦ. [152.] Φῶς μέν, ὡς προείρηται, ὑπάρχει ἡ διάκρισις, ἀναγκαιοτέρα δὲ πάντων τῶν χαρισμάτων ἐστὶν ἡ ἐκ ταύτης γεννηθεῖσα διόρασις. Τί γὰρ ἀναγκαιότερον τοῦ βλέπειν

σι, αὐτὸ καθ᾽ ἑαυτὸ εἶναι σημεῖο, ὅτι εἶναι χειρότερος, ἀπὸ ὅλη τὴ κτίσι, ἀκόμη κι ἂν ἡ βιοτή του φαίνεται ὅτι εἶναι ἰσάγγελη. Διότι [καὶ] ὁ πραγματικὸς Ἄγγελος δὲν θὰ μποροῦσε ὕστερα ἀπὸ τόσες ἀρετὲς καὶ σοφία νὰ ἀρέσῃ στὸν Δημιουργό, χωρὶς τὴν ταπείνωσι.

151. Τί λοιπὸν ἔχει νὰ πῇ, ἐκεῖνος ὁ ὁποῖος νομίζει ὅτι εἶναι Ἄγγελος χωρὶς τὴν ταπείνωσι, ἡ ὁποία εἶναι αἰτία ὅλων τῶν ἀγαθῶν ποὺ ὑπάρχουν καὶ ὅσων θὰ ὑπάρξουν; Ἀπὸ τὴν ὁποία γεννιέται ἡ διάκρισι, ἡ ὁποία φωτίζει τὰ πέρατα, [τῆς οἰκουμένης], χωρὶς τὴν ὁποία [ὅμως], τὰ πάντα εἶναι σκοτεινά. Διότι [ἡ διάκρισι] εἶναι καὶ λέγεται φῶς καὶ γι᾽ αὐτὸ χρειαζόμαστε αὐτὸ τὸ φῶς, πρὶν ἀπὸ κάθε λόγο καὶ ἔργο, γιὰ νὰ θαυμάζωμε βλέποντας τὰ ἄλλα [κτίσματα]. Θαυμάζομε ἐπίσης καὶ τὸ Θεό, πῶς στὴν πρώτη καὶ σπουδαιότερη ἡμέρα [τῆς Δημιουργίας] πρῶτα «ἔκανε τὸ φῶς», γιὰ νὰ μὴ μένουν, λέγει ὁ Δαμασκηνός, ἀόρατα αὐτὰ τὰ ὁποῖα ἔγιναν μετὰ ἀπὸ αὐτό, σὰν νὰ μὴν ὑπῆρχαν.

152. Φῶς λοιπόν, ὅπως ἔχει λεχθῆ προηγουμένως, εἶναι ἡ διάκρισι, πλέον ἀναγκαία ὅμως ἀπὸ ὅλα τὰ χαρίσματα εἶναι ἡ διόρασι, ἡ ὁποία γεννήθηκε ἀπὸ αὐτή. Διότι τί εἶναι ἀναγκαιότερο, ἀπὸ τὸ νὰ

τινὰ τὰς κλοπὰς τῶν δαιμόνων καὶ φυλάττειν τὴν ψυχὴν αὐτοῦ συνεργούσης τῆς χάριτος; Ἀναγκαιοτέρα δὲ πάλιν πασῶν τῶν ἐργασιῶν ἡ καθαρότης τῆς συνειδήσεως, φησὶν ὁ Ἅγιος Ἰσαάκ, καὶ ὁ ἁγιασμὸς τοῦ σώματος, οὗ χωρίς, οὐδεὶς ὄψεται τὸν Κύριον[182], ὥς φησιν ὁ Ἀπόστολος.

προβλέπη κανεὶς τὶς ἀπάτες τῶν δαιμόνων καὶ νὰ προφυλάσσῃ τὴν ψυχή του [ἀπὸ αὐτές], μὲ τὴν βοήθεια τῆς Χάριτος; Ἀλλὰ πάλι, πιὸ ἀναγκαία ἀπὸ ὅλες τὶς ἐργασίες εἶναι ἡ καθαρότητα τῆς συνειδήσεως, λέγει ὁ Ἅγιος Ἰσαάκ[ρμα'], καὶ «ὁ ἁγιασμὸς τοῦ σώματος, χωρὶς τὸν ὁποῖον κανεὶς δὲν θὰ δῇ τὸν Κύριο», ὅπως λέγει ὁ Ἀπόστολος.

ΠΕΡΙ ΤΟΥ ΜΗ ΑΠΟΓΙΝΩΣΚΕΙΝ ΕΙ ΚΑΙ ΠΟΛΛΑ ΠΤΑΙΕΙ ΤΙΣ

ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΔΕΝ ΠΡΕΠΕΙ ΝΑ ΑΠΕΛΠΙΖΕΤΑΙ ΚΑΝΕΙΣ ΑΝ ΚΑΙ ΣΕ ΠΟΛΛΑ ΑΜΑΡΤΑΝΗ

[153.] Πλὴν οὐ δεῖ ἀπογινώσκειν ἡμᾶς, μὴ ὄντας ὡς δεῖ εἶναι. Κακὸν μὲν ὅτι ἥμαρτες, ἄνθρωπε. Τί δὲ τὸν Θεὸν ἀδικεῖς καὶ ἔχεις αὐτὸν ἐξ ἀγνωσίας ἀδύνατον; Μὴ γὰρ τὸ σῶσαί σου τὴν ψυχὴν ἀδυνατεῖ ὁ τοσοῦτον κόσμον, ὃν ὁρᾷς, διὰ σὲ πεποιηκώς; Εἰ δὲ λέγεις, ὅτι μᾶλλον καὶ τοῦτο κατάκρισίς μου ἐστιν, ὥσπερ καὶ ἡ αὐτοῦ συγκατάβασις, μετανόησον, καὶ δέχεταί σου τὴν μετάνοιαν, ὡς τοῦ ἀσώτου[183] καὶ τῆς πόρνης[184]. Εἰδὲ οὐδὲ τοῦτο δύνασαι, ἀλλ᾽ ἐκ

153. Δὲν πρέπει ὅμως νὰ ἀπογοητευώμαστε, ὅταν δὲν εἴμαστε, ὅπως πρέπει νὰ εἴμαστε. [Εἶναι] κακὸ βέβαια, ἄνθρωπε, τὸ ὅτι ἁμάρτησες. Γιατὶ ὅμως ἀδικεῖς τὸν Θεὸ καὶ ἀπὸ ἄγνοια τὸν θεωρεῖς ἀδύναμον; Μήπως, διότι [νομίζεις] ὅτι ἀδυνατεῖ νὰ σώσῃ τὴν ψυχή σου, Αὐτὸς ὁ ὁποῖος ἔχει δημιουργήσει γιὰ σένα αὐτὸν τὸν τόσο μεγάλο κόσμο, τὸν ὁποῖο ἐσὺ βλέπεις; Ἂν ὅμως λέγῃς, ὅτι μᾶλλον καὶ αὐτὸ καταδίκη μου εἶναι, ὅπως ἀκριβῶς καὶ ἡ συγκατάβασί Του, μετανόησε, καὶ Αὐτὸς δέχεται τὴν μετάνοιά σου, ὅπως τοῦ «ἀσώτου» καὶ «τῆς πόρνης». Κι ἂν οὔτε αὐτὸ μπορῇς, ἀλλὰ ἀπὸ

συνηθείας πταίεις εἰς ἅπερ κἂν μὴ βούλεσαι, ἔχε ταπείνωσιν ὡς ὁ τελώνης[185], καὶ ἀρκεῖ σοι εἰς σωτηρίαν. Ὁ γὰρ ἀμετανοήτως ἁμαρτάνων καὶ μὴ ἀπογινώσκων, ἐξ ἀνάγκης ὑπὸ κάτω πάσης κτίσεως ἑαυτὸν ἔχει καὶ οὐ τολμᾷ κατακρίναι ἢ μέμψασθαί τινα ἄνθρωπον. Ἀλλὰ μᾶλλον θαυμάζει τὴν τοῦ Θεοῦ φιλανθρωπίαν καὶ εὐγνώμων πρὸς τὸν εὐεργέτην εὑρίσκεται, καὶ ἄλλα πολλὰ καλὰ ἔχειν δύναται. Καὶ εἰ τῷ διαβόλῳ εἰς τὸ ἁμαρτάνειν ὑπόκειται, ἀλλ᾽ οὖν πάλιν διὰ τὸν φόβον τοῦ Θεοῦ παρακούει τὸν ἐχθρόν, εἰς τὸ ἀπογινώσκειν ὠθοῦντα αὐτόν. Καὶ ἐκ τούτου μέρος τοῦ Θεοῦ ἐστιν, ἔχων εὐγνωμοσύνην, εὐχαριστίαν, ὑπομονήν, φόβον Θεοῦ, τὸ μὴ κρίνειν, ἵνα μὴ κριθῇ[186], ἅτινα ἀναγκαῖά εἰσι πάνυ, ὥς φησιν ὁ Χρυσόστομος περὶ τῆς γεένης, ὅτι σχεδὸν εὐεργετεῖ ἡμᾶς καὶ ὑπὲρ τὴν βασιλείαν τῶν οὐρανῶν, ὅτι διὰ ταύτης μὲν πολλοὶ εἰς τὴν βασιλείαν εἰσέρχονται, διὰ δὲ τῆς βασιλείας ὀλίγοι, ἀλλὰ διὰ τῆς φιλανθρωπίας τοῦ Θεοῦ. Ἡ μὲν διώκει τῷ φόβῳ,

συνήθεια ἁμαρτάνεις καὶ σ᾽ αὐτὰ [ἀκόμη] τὰ ὁποῖα δὲν θέλεις, ἔχε ταπείνωσι, ὅπως «ὁ τελώνης» καὶ αὐτὸ εἶναι ἀρκετὸ γιὰ τὴν σωτηρία σου. Διότι, ἐκεῖνος ὁ ὁποῖος ἁμαρτάνει χωρὶς μετάνοια [λόγῳ ἀδυναμίας], [ἀλλὰ] καὶ χωρὶς νὰ ἀπελπίζεται, ἐξ ἀνάγκης ἔχει [βάλλει] τὸν ἑαυτό του κάτω ἀπὸ ὅλη τὴν κτίσι καὶ δὲν τολμᾶ νὰ κατακρίνῃ ἢ νὰ κατηγορήσῃ κανέναν ἄνθρωπο. Ἀλλὰ μᾶλλον θαυμάζει τὴν φιλανθρωπία τοῦ Θεοῦ καὶ εἶναι εὐγνώμων πρὸς τὸν Εὐεργέτην καὶ ἄλλα πολλὰ καλὰ μπορεῖ νὰ ἔχῃ. Καὶ παρ᾽ ὅλο ποὺ ὑποτάσσεται στὸν διάβολο, [ὁ ὁποῖος τὸν κάνει] νὰ ἁμαρτάνῃ, ἐν τούτοις πάλι ἀπὸ τὸν φόβο τοῦ Θεοῦ, παρακούει τὸν ἐχθρό, ὁ ὁποῖος τὸν ὠθεῖ πρὸς τὴν ἀπόγνωσι. Καὶ ἐξ αἰτίας αὐτοῦ, εἶναι [μὲ τὸ] μέρος τοῦ Θεοῦ, ἐὰν ἔχῃ εὐγνωμοσύνη, εὐχαριστία, ὑπομονή, φόβο Θεοῦ, τὸ νὰ «μὴ κρίνῃ, γιὰ νὰ μὴ κριθῇ», τὰ ὁποῖα εἶναι *πάρα πολὺ ἀναγκαῖα*, ὅπως λέγει ὁ Χρυσόστομος[ρμβ΄] [ὅταν ὁμιλῇ] γιὰ τὴν γέεννα [τὸν τόπο τῆς κολάσεως], ὅτι σχεδὸν μᾶς εὐεργετεῖ καὶ μάλιστα περισσότερο ἀπὸ τὴν Βασιλεία τῶν Οὐρανῶν, διότι ἀπὸ [τὸν φόβο] αὐτῆς, πολλοὶ εἰσέρχονται εἰς τὴν Βασιλεία, [ἐνῶ] μὲ [τὸν πόθο] τῆς Βασιλείας ὀλίγοι, ἀλλὰ [καὶ αὐτοὶ] μὲ τὴν φιλανθρωπία τοῦ Θεοῦ. Ἡ μὲν [πρώτη] μᾶς ἀπωθεῖ μὲ τὸν φόβο,

ἡ δὲ ἀγκαλίζεται, καὶ δι᾽ ἀμφοτέρων σῳζόμεθα, χάριτι Χριστοῦ. [154.] *Ὥσπερ γὰρ οἱ πολεμούμενοι ὑπὸ πολλῶν παθῶν ψυχικῶν καὶ σωματικῶν, ἂν ὑπομένωσι καὶ οὔτε παραδίδουσι τὸ αὐτεξούσιον ἐξ ἀμελείας, οὔτε ἀπογινώσκουσι, στεφανοῦνται· οὕτω καὶ ὁ εὑρὼν ἀπάθειαν μετὰ ἀδείας καὶ κουφισμοῦ, ἐκπίπτει ταχέως, ἂν μὴ ὁμολογῇ τὰς χάριτας ἀεὶ ἐν τῷ μηδ᾽ ὅλως τινὰ κατακρῖναι. Εἰ δὲ τοῦτο τολμήσειεν, ἐμφαίνων, ὅτι ἰδίᾳ δυνάμει τὸν πλοῦτον ἑαυτῷ περιεποιήσατο, φησὶν ὁ Ἅγιος Μάξιμος· καὶ ὡς μέγαν κίνδυνον ἔχει ὁ ἐμπαθὴς ἔτι καὶ ἄμοιρος φωτισμοῦ γνώσεως, ἂν ἄρχῃ τινῶν, φησὶν ὁ Δαμασκηνός· οὕτω καὶ ὁ λαβὼν ἀπάθειαν παρὰ Θεοῦ καὶ πνευματικὴν γνῶσιν, ἂν μὴ καὶ ἄλλας ὠφελήσῃ ψυχάς.* [155.] *Οὐδὲν γὰρ ἄλλο συμφέρει τῷ ἀσθενεῖ, ὡς ἡ φυγὴ εἰς τὴν ἡσυχίαν· οὐδὲ τῷ ἐμπαθεῖ καὶ ἀγνώστῳ, ὡς ἡ ἐν αὐτῇ ὑποταγή· οὐδὲ κρεῖττον τοῦ γνῶναι τὴν οἰκείαν ἀσθένειαν καὶ ἀγνωσίαν· οὐδὲ χεῖρον τοῦ ταῦτα ἀγνοεῖν· οὐδὲ οὕτω μισητὸν*

ἐνῶ ἡ ἄλλη μᾶς ἐναγκαλίζεται [μὲ τὴν ἀγάπη] καὶ ἔτσι σωζόμαστε καὶ μὲ τὰ δύο, μὲ τὴν Χάρι τοῦ Χριστοῦ [βέβαια].

154. Ὅπως ἀκριβῶς, αὐτοὶ οἱ ὁποῖοι πολεμοῦνται ἀπὸ πολλὰ πάθη ψυχικὰ καὶ σωματικά, στεφανώνονται, ἂν κάνουν ὑπομονὴ καὶ δὲν παραδίδουν τὸ αὐτεξούσιό τους ἀπὸ ἀμέλεια, οὔτε ἀπελπίζονται· ἔτσι καὶ ἐκεῖνος, ὁ ὁποῖος εὑρῆκε τὴν ἀπάθεια μὲ ἀσφάλεια καὶ ἄνεσι, ἐκπίπτει γρήγορα [ἀπὸ αὐτήν], ἂν δὲν ὁμολογῇ πάντοτε τὶς εὐεργεσίες, [τὶς ὁποῖες δέχθηκε], μὲ τὸ νὰ μὴ κατακρίνῃ κανένα. Ἂν ὅμως ἤθελε τολμήση αὐτό, ἐμφανίζεται [νὰ νομίζῃ] ὅτι μὲ δική του δύναμι ἀπέκτησε αὐτὸν τὸν πλοῦτο [τῆς ἀπαθείας], λέγει ὁ Ἅγιος Μάξιμος· καὶ ὅπως ἀντιμετωπίζει μεγάλο κίνδυνο αὐτός, ποὺ εἶναι ἀκόμη ἐμπαθής, καὶ ἄμοιρος ἀπὸ τὸν φωτισμὸ τῆς γνώσεως, ἂν [ἔχῃ τοποθετηθῇ νὰ] ἐξουσιάζῃ κάποιους, λέγει ὁ Δαμασκηνός, ἔτσι καὶ ἐκεῖνος ὁ ὁποῖος ἔλαβε ἀπὸ τὸν Θεὸ ἀπάθεια καὶ πνευματικὴ γνῶσι, ἂν δὲν ὠφελήσῃ καὶ ἄλλες ψυχές.

155. Διότι τίποτα δὲν συμφέρει τὸν ἀδύνατο, ὅπως ἡ φυγὴ στὴν ἡσυχία· οὔτε τὸν ἐμπαθῆ καὶ στερημένο ἀπὸ γνῶσι, ὅπως ἡ ἐν τῇ ἡσυχίᾳ ὑποταγή· οὔτε [εἶναι] τίποτα ἀνώτερο ἀπὸ τό νὰ ἀναγνωρίζῃ κανεὶς τὴν ἀδυναμία του καὶ τὴν ἄγνοιά του [γι᾽ αὐτά]· οὔτε [καὶ ὑπάρχει] ἄλλο

ἄλλο πάθος, ὡς ἡ ὑπερηφανία· οὐδὲ καταγέλωτος ἄξιον, ὡς ἡ φιλαργυρία, αὕτη ῥίζα πάντων τῶν κακῶν[187]*. Διότι τὰ ἐκ τοῦ μετάλλου τῆς γῆς μετὰ πολλοῦ κόπου χρήματα ἀνύσαντες ἄνθρωποι, εἰς τὴν γῆν πάλιν ἀργὰ τιθέασιν. Διὰ τοῦτο φησιν ὁ Κύριος· μὴ θησαυρίζετε ἐπὶ τῆς γῆς*[188]*, καὶ τὰ ἑξῆς. Καὶ πάλιν· ὅπου ὁ θησαυρὸς ὑμῶν ἐστιν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν*[189]*. Ὁ γὰρ ἀνθρώπινος νοῦς, ἐν οἷς χρονίζει, τῷ πόθῳ ἕλκεται ὑπὸ τῆς συνηθείας, εἴτε εἰς τὰ γήϊνα πράγματα, εἴτε εἰς τὰ πάθη, εἴτε εἰς τὰ οὐράνια καὶ αἰώνια ἀγαθά. Ἡ συνήθεια δὲ χρονίζουσα, φύσεως ἰσχὺν λαμβάνειν πέφυκε, φησὶν ὁ Μέγας Βασίλειος. Ὅταν δὲ ἀσθενῇ τις, τότε μάλιστα ὀφείλει προσέχειν τῆς συνειδήσεως τῷ μαρτυρίῳ, ἵνα ἐκ πάσης κατακρίσεως ἐλευθερώσῃ τὴν ἑαυτοῦ ψυχήν, μήπως τὸ τέλος φθάσῃ τῆς ζωῆς καὶ μέλλει μεταμελεῖσθαι ἀνόνητα καὶ θρηνεῖν αἰώνια. [156.] Ὁ τοίνυν μὴ δυνάμενος ὑπὲρ Χριστοῦ αἰσθητὸν θάνατον ὑπομεῖναι ὡς ἐκεῖνος, κἂν τὸν κατὰ προ-*

πάθος [τόσο] μισητό, ὅπως ἡ ὑπερηφάνεια· οὔτε τόσο γελοῖο, ὅπως ἡ φιλαργυρία, ἡ ὁποία [εἶναι] ἡ «ρίζα ὅλων τῶν κακῶν». Διότι τὰ χρήματα, τὰ ὁποῖα μὲ πολὺ κόπο ἀπέκτησαν οἱ ἄνθρωποι, ἀπὸ τὸ μέταλλο αὐτὸ τῆς γῆς, τὰ τοποθετοῦν πάλι σ᾽ αὐτὴ τὴ γῆ ἄχρηστα. Γι᾽ αὐτὸ λέγει ὁ Κύριος· «μὴ συγκεντρώνετε θησαυροὺς ἐπάνω στὴ γῆ» καὶ τὰ λοιπά. Καὶ πάλι· «ὅπου εἶναι ὁ θησαυρός σας, ἐκεῖ εἶναι καὶ ἡ καρδία σας». Διότι ὁ ἀνθρώπινος νοῦς, σὲ ἐκεῖνα ποὺ παραμένει ἐπὶ πολὺ χρόνο, σ᾽ αὐτὰ ἑλκύεται μὲ πόθο ἀπὸ τὴν συνήθεια, εἴτε εἰς τα γήϊνα πράγματα, εἴτε εἰς τὰ πάθη, εἴτε εἰς τὰ ούράνια καὶ αἰώνια ἀγαθά. Ἡ συνήθεια δέ, ἡ ὁποία χρονίζει, ἀποκτᾶ δύναμι φύσεως, λέγει ὁ Μέγας Βασίλειος[ρμγ΄]. Ὅταν δὲ ἀσθενῇ κάποιος, τότε πρὸ πάντων ὀφείλει νὰ προσέχῃ τὴν μαρτυρία τῆς συνειδήσεώς του· ὥστε νὰ ἐλευθερώσῃ τὴν ψυχή του ἀπὸ κάθε [κίνδυνο] κατακρίσεώς της, μήπως φθάσῃ τὸ τέλος τῆς ζωῆς, καὶ [τότε] μέλλει νὰ μετανοῇ ἀνώφελα καὶ νὰ θρηνῇ αἰώνια.

156. Ἐκεῖνος, λοιπόν, ὁ ὁποῖος δὲν μπορεῖ νὰ ὑποστῇ γιὰ χάρι τοῦ Χριστοῦ τὸν αἰσθητὸ θάνατο, ὅπως Ἐκεῖνος, πρέπει νὰ ὑπομένῃ

αίρεσιν, ὑπομένειν δεῖ νοητῶς. Καὶ ἔσται μάρτυς κατὰ συνείδησιν, ἐν τῷ μὴ ὑποταγῆναι τοῖς πολεμοῦσιν αὐτὸν δαίμοσιν, ἢ θελήμασιν, ἀλλὰ νικᾶν αὐτούς· ὥσπερ οἱ Ἅγιοι Μάρτυρες καὶ οἱ Ὅσιοι Πατέρες· ὅτι οἱ μὲν αἰσθητῶς, οἱ δὲ νοητῶς ἐμαρτύρησαν. Μικρὸν τοίνυν βιασθείς, περιεγένετό τις του ἐχθροῦ· ἢ μικρὸν ἀμελήσας καὶ σκοτισθείς, ἀπώλετο.

νοητὰ τὸν κατὰ προαίρεσι [θάνατον]. Καὶ θὰ εἶναι μάρτυρας κατὰ τὴν συνείδησι[ρμδ'], μὲ τὸ νὰ μὴν ὑποταχθῇ οὔτε στοὺς δαίμονες, οἱ ὁποῖοι τὸν πολεμοῦν, οὔτε στὰ θελήματά του, ἀλλὰ νὰ τοὺς νικᾷ, ὅπως ἀκριβῶς οἱ Ἅγιοι Μάρτυρες καὶ οἱ Ὅσιοι Πατέρες· διότι οἱ μὲν [Μάρτυρες] μαρτύρησαν αἰσθητά, οἱ δὲ [ὅσιοι Πατέρες] νοητά. Λίγο, λοιπόν, ἂν βιάσῃ κανεὶς τὸν ἑαυτό του, κυριάρχησε πάνω στὸν ἐχθρό του ἢ λίγο ἂν ἀμελήσῃ καὶ σκοτισθῇ, χάθηκε.

ΣΥΝΤΟΜΙΑ ΠΡΟΣ ΚΤΗΣΙΝ ΤΩΝ ΑΡΕΤΩΝ ΚΑΙ ΑΠΟΧΗΝ ΤΩΝ ΠΑΘΩΝ

[157.] Οὐδὲν οὕτω, φησὶν ὁ Μέγας Βασίλειος, σκοτίζειν τὴν διάνοιαν πέφυκεν, ὡς ἡ πονηρία, οὐδὲ φωτίζει [recte: φωτίζειν][κ'] τὸν νοῦν, ὡς ἡ ἀνάγνωσις ἐν ἡσυχίᾳ· οὐδὲ πρὸς σύντομον πόνον ψυχῆς, ὡς ἡ τοῦ θανάτου ἔννοια πέφυκεν· οὐδὲ ἀφανὴς προκοπή, ὡς ἡ αὐτομεμψία καὶ ἐκκοπὴ των οἰκείων θελημάτων· οὐδὲ ἀφανὴς ἀπώλεια, ὡς ἡ οἴησις καὶ ἡ αὐταρέσκεια· οὐδὲ πρόξενος ἀποστροφῆς Θεοῦ καὶ παιδεύσεως τοῦ ἀνθρώπου, ὡς ὁ γογγυσμός· οὐδὲ

157. Τίποτα δὲν σκοτίζει τόσο πολὺ τὴ διάνοια, λέγει ὁ Μέγας Βασίλειος[ρμε'], ὅπως ἡ πονηρία, οὔτε [τίποτα ἄλλο] φωτίζει τὸν νοῦ, ὅπως ἡ ἀνάγνωσι στὴν ἡσυχία. Οὔτε [ἄλλος λογισμὸς] εἶναι τόσο γρήγορος πρὸς τὸ [νὰ προκαλῇ] πόνο στὴν ψυχή, ὅσο ἡ ἔννοια τοῦ θανάτου· οὔτε [ἄλλο ὁδηγεῖ] σὲ κρυφὴ προκοπή, ὅσο ἡ αὐτομεμψία καὶ ἡ ἐκκοπὴ τῶν δικῶν μας θελημάτων· οὔτε σὲ ἀφανῆ ἀπώλεια, ὅσο ὁ ἐγωϊσμὸς καὶ ἡ αὐταρέσκεια. Οὔτε τίποτα ἄλλο μπορεῖ νὰ προξενήσῃ τὴν ἀποστροφὴ τοῦ Θεοῦ [πρὸς ἐμᾶς] καὶ τὴν [ἐπακολουθοῦσα παιδευτικὴ] τιμωρία τοῦ ἀνθρώπου, ὅσο ὁ γογγυσμός· οὔτε [ἄλλο ὁδηγεῖ]

εὔκολος εἰς τὸ ἁμαρτάνειν, ὡς ἡ σύγχυσις καὶ ἡ πολυλογία· οὐδὲ σύντομον πρᾶγμα πρὸς κτῆσιν ἀρετῆς, ὡς ἡ μόνωσις καὶ ἡ σύννοια· οὐδὲ πρὸς εὐγνωμοσύνην καὶ εὐχαριστίαν, ὡς ἡ μελέτη τῶν τοῦ Θεοῦ δωρεῶν καὶ τῶν ἡμετέρων κακῶν· οὐδὲ πρὸς αὔξησιν τῶν εὐεργεσιῶν, ὡς αἱ τούτων εὐφημίαι· οὐδὲ σωτηρίαν ἀκούσιον προσφέρειν εἴωθεν, ὡς οἱ πειρασμοί· οὐδὲ σύντομος ὁδὸς πρὸς τὸν Χριστόν, ἤτοι πρὸς τὴν ἀπάθειαν καὶ τὴν σοφίαν τοῦ Πνεύματος, ὡς ἡ ὁδὸς ἡ Βασιλικὴ ἡ ἀπέχουσα τῶν ὑπερβολῶν καὶ ἐλλείψεων ἐν πᾶσιν· οὐδὲ ἄλλη ἀρετὴ δύναται καταλαβεῖν τὸ θεῖον θέλημα, ὡς ἡ ταπεινοφροσύνη καὶ τὸ καταλιπεῖν πᾶν νόημα καὶ θέλημα ἴδιον· οὐδὲ συνεργὸς εἰς πᾶν ἔργον ἀγαθόν, ὡς ἡ καθαρὰ προσευχή· οὐδὲ ἐμπόδιον πρὸς κτῆσιν ἀρετῶν, ὡς ὁ περισπασμὸς καὶ μετεωρισμὸς τῆς διανοίας, κἂν λίαν μικρὸς ᾖ. [158.] Ὅσην γὰρ καθαρότητα ἔχει τις, τοσοῦτον φαίνεται πταίειν πολλὰ ἐκ τοῦ βλέπειν· καὶ ὅσον πολλὰ πταίει, σκοτίζεται, κἂν

στὸν εὔκολο [δρόμο] γιὰ τὴν ἁμαρτία, ὅσο ἡ σύγχυσι καὶ ἡ πολυλογία· οὔτε [κανένα ἄλλο] πρᾶγμα [βοηθεῖ] τόσο σύντομα γιὰ τὴν ἀπόκτησι τῆς ἀρετῆς, ὅπως ἡ μόνωσι καὶ ἡ συγκέντρωσι τοῦ νοῦ· οὔτε [ἄλλο ποὺ νὰ κινῇ] πρὸς εὐγνωμοσύνη καὶ εὐχαριστία, ὅσο ἡ μελέτη τῶν δωρεῶν τοῦ Θεοῦ καὶ τῶν δικῶν μας κακῶν· οὔτε [ἄλλο συντελεῖ] στὴν αὔξησι τῶν εὐεργεσιῶν, ὅσο οἱ ἔπαινοί τους. Οὔτε [τίποτε ἄλλο] συνηθίζει νὰ προσφέρῃ ἀκουσίως τὴν σωτηρία, ὅπως οἱ πειρασμοί· οὔτε [ὑπάρχει ἄλλη τόσο] σύντομη ὁδὸς πρὸς τὸν Χριστό, δηλαδὴ πρὸς τὴν ἀπάθεια καὶ τὴν σοφία τοῦ Πνεύματος, ὅσο ἡ Βασιλικὴ [μέση] ὁδός, ἡ ὁποία σὲ ὅλα ἀπέχει ἀπὸ τὶς ὑπερβολὲς καὶ τὶς ἐλλείψεις [ἐξ ἴσου]. Οὔτε ἄλλη ἀρετὴ μπορεῖ νὰ κατανοήσῃ [καὶ ἐργασθῇ] τὸ θεῖο θέλημα, ὅσο ἡ ταπεινοφροσύνη καὶ ἡ ἐγκατάλειψι κάθε προσωπικοῦ νοήματος καὶ θελήματος· οὔτε [ἄλλος] συνεργὸς σὲ κάθε ἀγαθὸ ἔργο, ὅσο ἡ καθαρὴ προσευχή· οὔτε [καὶ ἄλλο μεγαλύτερο] ἐμπόδιο γιὰ τὴν ἀπόκτησι τῶν ἀρετῶν, ὅσο ὁ περισπασμὸς καὶ ὁ μετεωρισμὸς [ἡ διάχυσι] τῆς διανοίας, ἔστω κι ἂν εἶναι πάρα πολὺ μικρός.

158. Διότι, ὅση καθαρότητα ἔχει κάποιος, τόσο πιὸ πολὺ φαίνεται ὅτι σφάλλει, ἐπειδὴ [μπορεῖ] καὶ βλέπει [καθαρά]. Καὶ ὅσο πιὸ πολὺ ἁμαρτάνει, τόσο σκοτίζεται, ἀκόμη

φαίνηται ἔχων καθαρότητα. Καὶ πάλιν· ὅσην γνῶσιν ἔχει, τοσοῦτον φαίνεται ἄγνωστος· καὶ ὅσον ἀγνοεῖ τις τὴν ἑαυτοῦ ἀγνωσίαν καὶ τὴν ἐκ μέρους πνευματικὴν γνῶσιν, τοσοῦτον δοκεῖ γνωστικὸς εἶναι· καὶ ὅσον ὑπομένει τὰς θλίψεις ὁ ἀθλητής, τοσοῦτον νικήσει τὸν ἐχθρόν· καὶ ὅσον ἀγωνίζεταί τις ποιῆσαί τι ἀγαθὸν μίαν ἡμέραν, τοσοῦτον χρεωστεῖ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, φησὶν ὁ ἅγιος Μάρκος· ἂν αὐτοῦ ᾖ ἡ δύναμις καὶ ἡ προθυμία δηλαδή· εἰ δὲ [recte: ἡ δὲ][κα'] *χάρις ἐστὶ τοῦ Θεοῦ· καὶ διὰ τοῦτο, ὅταν ἦλθεν ἡ χάρις, ἐδύνατο, τί καύχημα ἔχει ὁ τοιοῦτος; ὅτι οἴεταί τι ποιεῖν ἀγαθὸν ἀφ' ἑαυτοῦ δύνασθαι, καὶ τοὺς μὴ δυναμένους κατακρίνων ἀδίκως. Ὁ γὰρ τὸν πλησίον τι ἀπαιτῶν, ἑαυτοῦ μᾶλλον ὀφείλει ἀπαιτεῖν δικαιότερον. Ὥσπερ γὰρ οὖν οἱ ἁμαρτάνοντες ὀφείλουσιν, ὡς παροργίσαντες τὸν Θεόν, οὕτω καὶ οἱ σκεπασθέντες ὑπὸ τῆς χάριτος αὐτοῦ διὰ τὴν ἀσθένειαν αὐτῶν καὶ ἑτοιμότητα πρὸς ἀπόγνωσιν, ὀφείλουσι τρέμειν μᾶλλον, ὡς πολλὰ χρεωστοῦντες.*

κι ἂν φαίνεται ὅτι ἔχει καθαρότητα. Καὶ πάλι· ὅση γνῶσι ἔχει, τόσο περισσότερο θεωρεῖ ὅτι ἀγνοεῖ· καὶ ὅσο [πιὸ πολὺ] ἀγνοεῖ κάποιος τὴ δική του ἀγνωσία καὶ τὴν ἐπὶ μέρους πνευματικὴ γνῶσι, τόσο νομίζει ὅτι εἶναι γνωστικός· καὶ ὅσο ὑπομένει τὶς θλίψεις ὁ ἀγωνιστής, τόσο περισσότερο θὰ νικήση τὸν ἐχθρό· καὶ ὅσο ἀγωνίζεται κανεὶς νὰ κάνῃ κάτι καλὸ μία ἡμέρα, τόσο χρεωστεῖ [νὰ ἀγωνίζεται] σὲ ὅλες τὶς ἡμέρες τῆς ζωῆς του, λέγει ὁ ἅγιος Μᾶρκος[ρμστ']· δηλαδὴ [ἀκόμη καὶ] ἂν εἶναι δική του ἡ δύναμι καὶ ἡ προθυμία, ἡ Χάρι ὅμως εἶναι [ὁπωσδήποτε] τοῦ Θεοῦ· καὶ γι' αὐτό, [ἀφοῦ μόνον] ὅταν ἦλθε ἡ Χάρι βρῆκε τὴν δύναμι [γιὰ τὸ ἔργο], τί καύχησι [μπορεῖ] νὰ ἔχῃ αὐτός; Ἐπειδὴ νομίζει ὅτι μπορεῖ νὰ κάνῃ ἀπὸ μόνος του κάτι καλὸ καὶ νὰ κατακρίνῃ ἄδικα αὐτοὺς ποὺ δὲν μποροῦν. Διότι ἐκεῖνος, ὁ ὁποῖος ἀπαιτεῖ κάτι ἀπὸ τὸν πλησίον του, πιὸ δίκαιο [εἶναι καὶ] ὀφείλει μᾶλλον νὰ τὸ ἀπαιτῇ ἀπὸ τὸν ἴδιο τὸν ἑαυτό του. Ὅπως δηλαδὴ ὀφείλουν [νὰ τρέμουν], ἐκεῖνοι ποὺ ἁμαρτάνουν, ἐπειδὴ παρώργισαν τὸν Θεό, ἔτσι καὶ ἐκεῖνοι, οἱ ὁποῖοι σκεπάσθηκαν ἀπὸ τὴν Χάρι Του, λόγῳ τῆς ἀδυναμίας τους καὶ τῆς ἑτοιμότητός τους πρὸς τὴν ἀπόγνωσι, ὀφείλουν νὰ τρέμουν περισσότερο, διότι χρεωστοῦν πολλά.

Καὶ ὥσπερ μέγας ἐστὶ κρημνός, ἡ ἄγνοια τῶν Γραφῶν, φησὶν ὁ Ἅγιος Ἐπιφάνιος, οὕτω μεῖζόν ἐστι κακόν, ἡ ἐν γνώσει παράβασις καὶ μείζων ἐστὶν ἡ εὐεργεσία τῆς ψυχῆς διὰ λόγου ἢ τῆς προσευχῆς. [159.] Καὶ ὅταν ὑπομείνῃ τις τὸν πλησίον, ἵνα μὴ θλίβεται ὁ ἀδικῶν αὐτόν, ἀλλ᾽ ὅπως ἀναπαύσῃ αὐτοῦ τὸ θέλημα ἐν τῷ καιρῷ τῆς ταραχῆς αὐτοῦ, φησὶν ὁ Ἅγιος Δωρόθεος, ποιῶν ἔλεος μετὰ τῆς ψυχῆς αὐτοῦ, βαστάζων αὐτοῦ τὸ βάρος καὶ εὔχεται ὑπὲρ αὐτοῦ ποθῶν αὐτοῦ τὴν σωτηρίαν, καὶ εἴ τι ἄλλο ἐστὶν ἀγαθόν, σωματικόν τε καὶ ψυχικόν. Καὶ αὕτη ἐστὶν ἡ καθαρὰ ἀνεξικακία, ἡ καθαίρουσα τὴν ψυχὴν καὶ ἀνάγουσα αὐτὴν πρὸς Θεόν. Ὅτι ἡ θεραπεία τοῦ ἀνθρώπου, κρείττων ἐστὶ πάσης ἐργασίας καὶ ἀρετῆς· οὐδὲ γὰρ μεῖζον καὶ τελεώτερον τῆς τοῦ πλησίον ἀγάπης ἐν ἀρεταῖς. Σημεῖον δὲ ταύτης οὐ μόνον τὸ μὴ ἔχειν τι πρᾶγμα, ὅπερ ἄλλος δέεται, ἀλλὰ καὶ τὸν θάνατον αὐτοῦ ὑπομένειν μετὰ χαρᾶς[190]*, καὶ [recte: κατὰ] τὴν ἐντολὴν τοῦ Κυρίου, καὶ ταῦ-*

Καὶ ὅπως εἶναι μεγάλος γκρεμὸς ἡ ἄγνοια τῶν Γραφῶν, λέγει ὁ Ἅγιος Ἐπιφάνιος[ρμζ'], ἔτσι [καὶ] μεγαλύτερο κακὸ εἶναι ἡ συνειδητὴ παράβασι [τῶν ἐντολῶν τοῦ Θεοῦ] καὶ ἡ μεγαλύτερη εὐεργεσία τῆς ψυχῆς, εἶναι [αὐτὴ ποὺ γίνεται] μὲ λόγο ἢ μὲ τὴν προσευχή. 159. Καὶ ὅταν κάνῃ κανεὶς ὑπομονὴ στὸν πλησίον [του], ὥστε νὰ μὴν [ἀφήνῃ] νὰ στενοχωρῆται αὐτὸς ποὺ τὸν ἀδικεῖ, ἀλλὰ [καὶ] νὰ τοῦ ἱκανοποιῇ τὸ θέλημά του στὸν καιρὸ τῆς ταραχῆς του, λέγει ὁ Ἅγιος Δωρόθεος[ρμη'], μὲ τὸ νὰ δείχνῃ εὐσπλαχνία γιὰ τὴν ψυχή του, βαστάζοντας τὸ βάρος του καὶ νὰ προσεύχεται γι᾽ αὐτὸν καὶ γιὰ ὁτιδήποτε ἄλλο εἶναι καλὸ γι᾽ αὐτόν, σωματικὸ καὶ ψυχικό. Καὶ αὐτὴ εἶναι ἡ καθαρὴ ἀνεξικακία, ἡ ὁποία καθαρίζει τὴν ψυχὴ καὶ τὴν ἀνεβάζει στὸ Θεό. Διότι ἡ θεραπεία [τῆς ψυχῆς] τοῦ ἀνθρώπου εἶναι ἀνώτερη ἀπὸ κάθε ἐργασία καὶ ἀρετή· οὔτε [ὑπάρχει] μεγαλύτερη καὶ τελειότερη μεταξὺ τῶν ἀρετῶν, ἀπὸ τὴν ἀγάπη στὸν πλησίον. Γνώρισμα δὲ αὐτῆς [τῆς ἀγάπης εἶναι], ὄχι μόνον τὸ νὰ μὴν ἔχῃ κανεὶς κάποιο πρᾶγμα, τὸ ὁποῖο ὁ ἄλλος ἔχει ἀνάγκη, ἀλλὰ καὶ τὸν θάνατο γι᾽ αὐτὸν νὰ ὑπομένῃ μὲ χαρά, σύμφωνα μὲ τὴν ἐντολὴ τοῦ Κυρίου καὶ αὐ-

*τα ὡς χρέος λογίζεσθαι· καὶ εἰκότως. Χρεωστεῖ γὰρ οὐ μόνον τὸν πλησίον μέχρι θανάτου φιλεῖν, διὰ τὸ τῆς φύσεως δικαίωμα, ἀλλὰ καὶ τὸ ἐκχυθὲν ὑπὲρ ἡμῶν ὑπέρτιμον αἷμα τοῦ ἐντειλαμένου Χριστοῦ. [**160.**] Μὴ γίνου φίλαυτος, φησὶν ὁ Ἅγιος Μάξιμος, καὶ ἔσῃ φιλόθεος· μὴ γίνου αὐτάρεσκος, καὶ ἔσῃ φιλάδελφος· αὕτη μὲν οὖν ἐκ τῆς ἐλπίδος γίνεται. Ἐλπὶς δέ ἐστι τὸ ἀδιστάκτως πιστεύειν ἐκ πάσης διανοίας, ὅτι πάντως τεύξεται τοῦ ἐλπιζομένου. Καὶ αὕτη πάλιν ἐκ τῆς βεβαίας πίστεως γεννᾶται ὅτι τὸ μηδ᾽ ὅλως φροντίδα ποιεῖν τινα περὶ τῆς ἑαυτοῦ ζωῆς ἢ θανάτου, ἀλλὰ πᾶσαν μέριμναν εἰς τὸν Θεὸν ἐᾶσαι[191], ὡς προείρηται, περὶ τοῦ θέλοντος τυχεῖν τῆς ἀπαθείας τῶν σημείων, ὧν ἡ πίστις θεμέλιον ὑπάρχει· ἣν ὁ ἔχων λογίζεσθαι ὀφείλει, ὅτι ὥσπερ τὰ πάντα ἐποίησεν ὁ Θεός, καὶ ἡμᾶς μετὰ πάντων, ἐκ μὴ ὄντων, δι᾽ ἄκραν ἀγαθότητα, οὕτω πάντως καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα οἰκονομῆσαι ἔχει, ὡς οἶδεν αὐτός*

τὰ νὰ τὰ θεωρῇ ὡς χρέος [του]· καὶ εὔλογα. Διότι ὀφείλει ὄχι μόνον νὰ ἀγαπᾷ τὸν πλησίον [του] μέχρι θανάτου, λόγῳ τοῦ ὅτι εἶναι δίκαιον τῆς φύσεως [ἐπειδὴ ἔχουν καὶ οἱ δύο τὴν ἴδια φύσι], ἀλλὰ καὶ γιὰ τὸ ὅτι ἐχύθηκε τὸ ὑπέρτιμο αἷμα τοῦ Χριστοῦ γιὰ μᾶς, ὁ Ὁποῖος [καὶ] ἔδωσε [αὐτὴ] τὴν ἐντολὴ [τῆς ἀγάπης].

160. Μὴ γίνεσαι φίλαυτος, λέγει ὁ Ἅγιος Μάξιμος[ρμθ´], καὶ θὰ γίνῃς φιλόθεος· μὴ γίνεσαι αὐτάρεσκος καὶ θὰ γίνῃς φιλάδελφος. Αὐτὴ λοιπὸν [ἡ ἀγάπη] προέρχεται ἀπὸ τὴν ἐλπίδα. Ἐλπίδα δὲ εἶναι, τὸ νὰ πιστεύῃ κανεὶς ἀδίστακτα μὲ ὅλη του τὴν διάνοια, ὅτι θὰ ἐπιτύχῃ ὁπωσδήποτε αὐτό, τὸ ὁποῖο ἐλπίζει. Καὶ αὐτὴ πάλι γεννιέται ἀπὸ τὴν βεβαία πίστι[ρν´], δηλαδὴ τὸ νὰ μὴ φροντίζῃ κανεὶς καθόλου γιὰ τὴ ζωή του ἢ τὸν θανατό του, ἀλλὰ ὅλη τὴν μέριμνά του νὰ τὴν ἀφήσῃ στὸ Θεό, ὅπως προείπαμε γιὰ ἐκεῖνον, ὁ ὁποῖος θέλει νὰ ἐπιτύχῃ τὴν ἀπάθεια μὲ τὰ γνωρίσματα, γιὰ τὰ ὁποῖα ἡ πίστι εἶναι τὸ θεμέλιο· ἐκεῖνος ὁ ὁποῖος ἔχει αὐτήν, ὀφείλει νὰ σκέπτεται, ὅτι ὅπως ὁ Θεὸς δημιούργησε τὰ πάντα καὶ μαζὶ μὲ ὅλα καὶ ἐμᾶς ἐκ τοῦ μὴ ὄντος [ἀπὸ τὴν ἀνυπαρξία], ἀπὸ ἄκρα ἀγαθότητα, ἔτσι, ὁπωσδήποτε, μπορεῖ νὰ οἰκονομήσῃ καὶ τὴν ψυχὴ καὶ τὸ σῶμα μας, ὅπως Αὐτὸς γνωρίζει.

ΠΕΡΙ ΤΟΥ ΠΩΣ ΚΤΑΤΑΙ ΤΙΣ ΤΗΝ ΑΛΗΘΗ ΠΙΣΤΙΝ

ΠΕΡΙ ΤΟΥ ΠΩΣ ΑΠΟΚΤΑ ΚΑΝΕΙΣ ΤΗΝ ΑΛΗΘΙΝΗ ΠΙΣΤΙ

[161.] Πλὴν ὁ ταύτης ποθῶν τὴν κτῆσιν (ἥτις ἐστὶ θεμέλιον πάντων τῶν ἀγαθῶν καὶ θύρα τῶν μυστηρίων τοῦ Θεοῦ καὶ νίκη ἀκόπωτος τῶν ἐχθρῶν καὶ ἀναγκαιοτέρα πάσης ἀρετῆς καὶ πτερὰ τῆς προσευχῆς καὶ ἐνοίκησις τοῦ Θεοῦ ἐν τῇ ψυχῇ), χρεωστεῖ ὑπομένειν πᾶσαν δοκιμήν, ἣν μέλλει δοκιμασθῆναι ὑπὸ τῶν ἐχθρῶν καὶ τῶν πολλῶν καὶ ποικίλων λογισμῶν, ὧν οὐδεὶς δύναται κατανοεῖν, μήτε λέγειν τι περὶ τούτων, ἢ εὑρεῖν, εἰ μὴ ὁ εὑρετὴς τῆς κακίας διάβολος. Ἀλλὰ θαρσείτω ὁ τοιοῦτος, ὅτι ἂν περιγένηται τῶν ἐπερχομένων αὐτῷ πειρασμῶν μετὰ βίας πολλῆς καὶ κατέχῃ τὸν νοῦν αὐτοῦ, τοῦ μὴ ἐνδοῦναι τοῖς λογισμοῖς τοῖς φυομένοις ἐν τῇ καρδίᾳ αὐτοῦ, νικῆσαι ἔχει ἐφάπαξ πάντα τὰ πάθη· ὅτι οὐκ αὐτός ἐστιν ὁ νικήσας, ἀλλ' ὁ ἐν αὐτῷ παραγενόμενος Χριστὸς διὰ τῆς πίστεως. Περὶ τῶν τοιούτων φησὶν ὁ Κύριος, ὅτι ὁ ἔχων πίστιν ὡς κόκκον σινάπεως[192], καὶ τὰ ἑξῆς. Ἀλλὰ κἂν ὁ λογι-

161. Ἐκεῖνος ὅμως, ὁ ὁποῖος ἐπιθυμεῖ τὴν ἀπόκτησι [τῆς πίστεως], (ἡ ὁποία εἶναι [τὸ] θεμέλιο ὅλων τῶν ἀγαθῶν καὶ θύρα τῶν μυστηρίων τοῦ Θεοῦ[ρνα'] καὶ νίκη χωρὶς κόπο [κατὰ] τῶν ἐχθρῶν καὶ ἡ πιὸ ἀναγκαία ἀπὸ κάθε [ἄλλη] ἀρετὴ καὶ φτερὰ τῆς προσευχῆς καὶ κατοικία τοῦ Θεοῦ στὴν ψυχή), ὀφείλει νὰ ὑπομένῃ κάθε δοκιμασία, τὴν ὁποία πρόκειται νὰ δεχθῇ ἀπὸ τοὺς ἐχθροὺς καὶ ἀπὸ τοὺς πολλοὺς καὶ ποικίλους λογισμούς, τοὺς ὁποίους κανεὶς δὲν μπορεῖ νὰ διανοηθῇ, οὔτε νὰ ὁμιλῇ γι' αὐτούς, οὔτε νὰ τοὺς ἐφεύρῃ παρὰ μόνον ὁ ἐφευρέτης τῆς κακίας διάβολος. Ἀλλά, ἂς ἔχῃ θάρρος ὁ ἄνθρωπος αὐτός, διότι ἂν νικήσῃ τοὺς πειρασμούς, οἱ ὁποῖοι τοῦ ἐπιτίθενται μὲ τόσο μεγάλη βιαιότητα καὶ συγκρατῇ τὸν νοῦ του, ὥστε νὰ μὴν ὑποχωρήσῃ στοὺς λογισμούς, οἱ ὁποῖοι φυτρώνουν μέσα στὴν καρδία του, μπορεῖ νὰ κυριαρχήσῃ μὲ μιᾶς σὲ ὅλα τὰ πάθη· διότι δὲν εἶναι αὐτὸς ὁ νικητής, ἀλλὰ ὁ Χριστός, ὁ ὁποῖος ἦλθε βοηθὸς μέσα του, διὰ τῆς πίστεως. Γι' αὐτοὺς [τοὺς ἀνθρώπους] λέγει ὁ Κύριος, ὅτι «ὅποιος ἔχει πίστι σὰν κόκκο σιναπιοῦ», καὶ τὰ λοιπά. Ἀλλὰ καὶ ἂν ὁ λογισμός του, ἐπει-

σμὸς ἀσθενήσας ἐνδώσῃ, μὴ δειλιάσῃ, μηδὲ ἀπογινώσκῃ, μηδὲ τῆς ἰδίας ψυχῆς ἐπιγράφῃ τὰ λεγόμενα ὑπὸ τοῦ ἀρχεκάκου. Ἀλλὰ μεθ᾽ ὑπομονῆς τὴν κατὰ δύναμιν ἐργασίαν τῶν ἀρετῶν καὶ φυλακὴν τῶν ἐντολῶν ἐπιμελῶς ποιῶν, ἐν ἡσυχίᾳ καὶ σχολῇ κατὰ Θεόν, ἐκ πάντων τῶν ἑκουσίως λογιζομένων· ἵνα πᾶσαν μηχανήν καὶ φαντασίαν νύκτωρ καὶ μεθ᾽ ἡμέραν κινήσας ὁ ἐχθρὸς καὶ μὴ εὑρὼν αὐτὸν φροντίδα ποιοῦντα τοῖς γινομένοις ὑπ᾽ αὐτοῦ παιγνίοις καὶ σχήμασι, σὺν πᾶσι τοῖς νοήμασιν, οἷς καταπτήσσων δῆθεν, ὡς ἀληθῶς δεικνύων τὰ ψεύδους μεστὰ παίγνια, ἀκηδιάσας ἀναχωρῇ. Καὶ λαβὼν πεῖραν ὁ ἐργάτης τῶν ἐντολῶν τοῦ Χριστοῦ τῆς τοῦ ἐχθροῦ ἀσθενείας, οὐκ ἔτι ὑπ᾽ οὐδενὸς αὐτοῦ μηχανήματος θροεῖται· ἀλλὰ μετὰ χαρᾶς πᾶν εἴ τι θέλει καὶ βούλεται κατὰ Θεόν, ἀκωλύτως ποιεῖ, τῇ πίστει κραταιούμενος καὶ βοηθούμενος ὑπὸ τοῦ Θεοῦ, εἰς ὃν πεπίστευκεν· ὡς αὐτὸς ὁ Κύριος φησί· πάντα δυνατὰ τῷ πιστεύοντι[193]. Διότι οὐκ αὐτός

δὴ ἐξασθένησε, ὑποχωρήσῃ, [ἐκεῖνος] ἂς μὴ δειλιάσῃ, οὔτε νὰ ἀπογοητευθῇ, οὔτε νὰ καταλογίσῃ στὴν ψυχή του [ὡς ἰδικά της] αὐτά, τὰ ὁποῖα τῆς ὑποβάλλει ὁ ἀρχέκακος [ὁ ἀρχηγός τοῦ κακοῦ διάβολος]. Ἀλλά, ἂς ἐργάζεται κατὰ δύναμι μὲ ὑπομονὴ τὶς ἀρετές, καὶ ἂς φυλάσσῃ μὲ ἐπιμέλεια τὶς ἐντολές, μὲ ἡσυχία καὶ κατὰ Θεὸν ἀποχὴ ἀπὸ ὅλους τοὺς ἑκουσίους λογισμούς, [τοὺς ὁποίους προκαλεῖ καὶ ἀποδέχεται]· ὥστε ὁ ἐχθρός, ἀφοῦ κινήσῃ [ἐναντίον του] κάθε τέχνασμα καὶ φαντασία, νύκτα καὶ ἡμέρα, καὶ δὲν τὸν βρῇ νὰ τὸν ἀπασχολοῦν καθόλου [ὅλα] τὰ παιχνίδια καὶ τὰ σχήματα, μαζὶ μὲ ὅλες τὶς ἐπινοήσεις του, μὲ τὰ ὁποῖα [προσπαθεῖ] δῆθεν νὰ τὸν τρομάζῃ, δείχνοντας ὡς ἀληθινὰ τὰ ψεύτικα παιχνίδια του, ἀφοῦ βαρεθῇ, νὰ ἀναχωρῇ. Καὶ ἂν μάθῃ μὲ τὴν πεῖρα ὁ ἐργάτης τῶν ἐντολῶν τοῦ Χριστοῦ τὴν ἀδυναμία τοῦ ἐχθροῦ, δὲν ταράσσεται πλέον ἀπὸ κανένα μεθόδευμά του· ἀλλά, μὲ χαρὰ ὁτιδήποτε θέλει καὶ ἐπιθυμεῖ κατὰ Θεόν, τὸ ἐπιτελεῖ χωρὶς κανένα ἐμπόδιο, ἐνδυναμούμενος μὲ τὴν πίστι καὶ βοηθούμενος ἀπὸ τὸν Θεό, στὸν Ὁποῖο [καὶ] ἔχει πιστεύσει, ὅπως ὁ ἴδιος ὁ Κύριος εἶπε· «ὅλα εἶναι δυνατὰ σ᾽ ὅποιον πιστεύει». Διότι δὲν εἶναι αὐτὸς [πλέον], ποὺ

ἐστιν ὁ πολεμῶν τὸν ἐχθρόν, ἀλλ' ὁ μεριμνῶν περὶ αὐτοῦ Θεὸς διὰ τῆς πίστεως, φησὶν ὁ Προφήτης· τὸν ὕψιστον ἔθου καταφυγήν σου[194], καὶ τὰ ἑξῆς. Οὐκ ἔτι γὰρ ὁ τοιοῦτος ὅλως περί τινος φροντίδα ποιεῖ, γινώσκων, ὅτι ἵππος ἑτοιμάζεται εἰς πόλεμον, παρὰ δὲ Θεῷ ἡ σωτηρία αὐτοῦ[195], φησὶν ὁ Σολομών. Καὶ διὰ ταύτης πάντων κατατολμᾷ, ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ· κτῆσαι πίστιν ἐν σεαυτῷ, ἵνα καταπατήσῃς τοὺς ἐχθρούς σου. Οὐδὲ γὰρ ὡς αὐτεξούσιος διάγει, ἀλλ' ὡς κτῆνος ἀγόμενος τῷ θελήματι τοῦ Θεοῦ, ὥς φησιν ὁ Προφήτης· κτηνώδης ἐγενήθην παρὰ σοί, καγὼ διὰ παντὸς μετὰ σοῦ[196]. Βούλει με, φησίν, ἀναπαῦσαι διὰ τῆς σῆς γνώσεως, οὐκ ἀντιλέγω· θέλεις πάλιν, ταπεινώσεως χάριν, πειρασμοὺς παραχωρεῖν με ἔχειν, ὡσαύτως εἰμὶ μετὰ σοῦ· οὐκ ἔχω τι ποιῆσαι ὅλως ἀπ' ἐμαυτοῦ. Ἐκτός σου γὰρ οὐκ ἐγενόμην ἐκ μὴ ὄντος, οὐδὲ ζῆσαι ἢ σωθῆναι δύναμαι. Εἴ τι βούλει τὸ σὸν πλάσμα ποίησον. Πιστεύω δέ, ὅτι ἀγαθὸς ὤν, ἀγαθά μοι

πολεμεῖ τὸν ἐχθρό, ἀλλὰ ὁ Θεός, ὁ Ὁποῖος φροντίζει γι' αὐτόν, μέσῳ τῆς πίστεώς [του]· λέγει ὁ Προφήτης, «τὸν ὕψιστο κατέστησας [ἀσφαλὲς] καταφύγιό σου», καὶ τὰ λοιπά. Διότι αὐτὸς [ὁ ἄνθρωπος] δὲν φροντίζει [πλέον] καθόλου γιὰ τίποτε, ἐπειδὴ γνωρίζει, ὅτι «τὸ ἱππικὸ ἑτοιμάζεται» γιὰ πόλεμο, ἀπὸ τὸν Θεὸ ὅμως [ἔρχεται] ἡ σωτηρία του, λέγει ὁ Σολομών. Καὶ μέσῳ αὐτῆς [τῆς πίστεως] τολμᾶ [καὶ ἐπιχειρεῖ] τὰ πάντα, ὅπως λέγει ὁ Ἅγιος Ἰσαάκ[ρνβ']· ἀπόκτησε πίστι μέσα σου, γιὰ νὰ [μπορέσῃς] νὰ καταπατήσῃς τοὺς ἐχθρούς σου. Διότι [πλέον] δὲν ζεῖ ὡς αὐτεξούσιος[10], ἀλλὰ σὰν ὑποζύγιο, ὁδηγούμενο ἀπὸ τὸ θέλημα τοῦ Θεοῦ, ὅπως λέγει ὁ Προφήτης «ἔγινα ἐνώπιόν Σου σὰν κτῆνος καὶ ἐγὼ [θὰ εἶμαι] πάντοτε μαζί Σου». [Ἂν] θέλῃς, λέγει [στὸν Θεὸ] νὰ μὲ ἀναπαύσῃς [δίνοντάς μου] τὴν γνῶσι Σου, δὲν ἀντιλέγω· [ἂν] θέλῃς πάλι, πρὸς ταπείνωσί μου, νὰ παραχωρῇς νὰ ἔχω πειρασμούς, ἐπίσης [καὶ πάλι] μαζί Σου θὰ εἶμαι· δὲν ἔχω τίποτε ἀπολύτως, ποὺ [νὰ μπορῶ] νὰ κάνω ἀπὸ μόνος μου. Διότι χωρὶς Ἐσένα δὲν θὰ ἐρχόμουν στὴν ὕπαρξι ἀπὸ τὸ μὴ ὂν [τὴν ἀνυπαρξία], οὔτε μπορῶ νὰ ζήσω ἢ νὰ σωθῶ. Ὅ,τι Ἐσὺ θέλεις κάνε τὸ πλάσμα Σου. Πιστεύω ὅμως, ἐπειδὴ εἶσαι ἀγαθός, ὅτι μπορεῖς κατὰ τὴν [θεία]

οἰκονομῆσαι ἔχεις, κἂν πρὸς τὸ συμφέρον οὐ γινώσκω ταῦτα· ἀλλ᾽ οὔτε ἄξιός εἰμι τοῦ γνῶναι, οὐδὲ αἰτοῦμαι τοῦ μαθεῖν, ἵνα ἄνεσιν ἔχω· ἴσως οὐ συμφέρει μοι. Οὐδὲ κουφισμὸν πολέμου τινὸς παρακαλέσαι τολμῶ, εἰ καὶ ἀσθενῶ καὶ ἐν πᾶσι καταπονοῦμαι, ὅτι οὐ γινώσκω ποῖον συμφέρει. Σὺ οἶδας πάντα[197]*, καὶ ὡς οἶδας ποίησον· μόνον μὴ ἀστοχήσω, εἴ τι κἂν γένηται· ἀλλὰ κἂν θέλω, κἂν μὴ θέλω, σῶσόν με. Καὶ τοῦτο, εἰ ἀρεστόν σοι ἐστίν. Ἐγὼ τοίνυν πρᾶγμα οὐκ ἔχω· ἐνώπιόν σου εἰμί, ὡς ἄψυχός τις. Τὴν ψυχήν μου εἰς τὰς ἀχράντους σου χεῖρας παρατίθημι*[198] *ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. Σὺ μὲν πάντα δύνασαι καὶ πάντα γινώσκεις καὶ πᾶν ἀγαθὸν πᾶσι θέλεις, καὶ ποθεῖς ἀεὶ τὴν σωτηρίαν μου. Καὶ δῆλον ἐκ πασῶν τῶν εὐεργεσιῶν, ὧν ἐποίησας καὶ ποιεῖς ἀεὶ μεθ᾽ ἡμῶν κατὰ χάριν, φανερῶς καὶ ἀφανῶς, ὧν ἴσμεν καὶ ὧν οὐκ ἴσμεν καὶ ἐξ αὐτῆς τῆς ὑπὲρ νοῦν συγκαταβάσεώς σου πρὸς ἡμᾶς, Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ. Ἐγὼ δὲ τίς εἰμι, ὅτι τολμῶ*

οἰκονομία Σου νὰ μοῦ δώσῃς ἀγαθά, κι ἂν [ἀκόμη εἶναι] πρὸς τὸ συμφέρον μου [καὶ] δὲν τὰ γνωρίζω. Ἀλλὰ οὔτε [καὶ] εἶμαι ἄξιος νὰ τὰ γνωρίσω, οὔτε ζητῶ νὰ μάθω, γιὰ νὰ ἔχω ἄνεσι· ἴσως [καὶ νὰ] μὴν μὲ συμφέρῃ. Οὔτε τολμῶ νὰ παρακαλέσω γιὰ ἐλάφρυνσι ἀπὸ κάποιον πόλεμο, ἂν καὶ εἶμαι ἀδύναμος καὶ ταλαιπωροῦμαι σ᾽ ὅλα, διότι δὲν γνωρίζω τί μὲ συμφέρει. Σὺ γνωρίζεις τὰ πάντα, καὶ ὅπως γνωρίζεις κάνε, μόνο νὰ μὴν ἀποτύχω στοὺς στόχους μου, ἔστω κι ἂν κάτι συμβῇ· ἀλλὰ κι ἂν θέλω κι ἂν δὲν θέλω, σῶσε με. Καὶ αὐτό, ἐὰν [πάλι] Σοῦ ἀρέσῃ. Ἐγὼ λοιπὸν δὲν ἔχω κανένα δικό μου πρᾶγμα [ἢ θέλημα]. Ἐνώπιόν Σου εἶμαι σὰν ἄψυχος. Τὴν ψυχή μου παραδίδω εἰς τὰ ἄχραντα χέρια Σου στὸν παρόντα αἰῶνα καὶ στὸν μέλλοντα. Ἐσὺ [Κύριε] ὅλα τὰ μπορεῖς καὶ ὅλα τὰ γνωρίζεις καὶ θέλεις κάθε καλὸ γιὰ ὅλους, καὶ ποθεῖς πάντοτε τὴν σωτηρία μου. Καὶ [αὐτὸ εἶναι] φανερὸ ἀπὸ ὅλες τὶς εὐεργεσίες, τὶς ὁποῖες ἔκανες, καὶ κάνεις κατὰ Χάριν πάντοτε σ᾽ ἐμᾶς, φανερὰ καὶ κρυφά, ὅσες γνωρίζομε καὶ ὅσες δὲν γνωρίζομε καὶ ἀπὸ αὐτὴ τὴν ὑπέρλογη συγκατάβασί Σου σ᾽ ἐμᾶς, Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ. Ἐγὼ ὅμως ποιὸς εἶμαι, ποὺ τολμῶ

ἀναγγέλειν σοι καρδιογνῶστα; Ἀλλ᾽ ἵνα ἐμαυτῷ γνωρίσω, καὶ τοῖς ἐχθροῖς ὅτι πρὸς σὲ καταφεύγω τὸν λιμένα τῆς σωτηρίας μου, ταῦτα λέγω. Ἰδοὺ γὰρ ἔγνων ὑπὸ τῆς χάριτός σου, ὅτι Θεός μου εἶ σύ[199]*, καὶ οὐκ ἔτι πολλὰ τολμῶ λέγειν, ἀλλὰ νοῦν μόνον ἀργόν, κωφόν τε καὶ ἄλαλον παραστῆσαί σοι βούλομαι. Οὐκ ἐγὼ δέ, ἀλλ᾽ ἡ χάρις σου τὸ πᾶν ἐργάζεται. Οὐ γὰρ οἶδα ἐμαυτόν ποτε ἀγαθὸν ποιοῦντα, ἀλλὰ πλήθη κακῶν ἀεί, ὑπὲρ ὧν τὸ δουλικὸν σχῆμα προσπίπτων σοι δεικνύω, ὅτι μετανοεῖν με ἠξίωσας καὶ ὅτι δοῦλός σου εἰμὶ καὶ υἱὸς τῆς παιδίσκης σου*[200]*. Ἀλλὰ μὴ ἐάσῃς με, Κύριέ μου, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου, ποιεῖν ἢ λαλεῖν ἢ λογίζεσθαι ἅπερ οὐ θέλεις. Ἀρκεῖ μοι γὰρ τὸ πλῆθος τῶν τοσούτων προγινομένων [recte: προγενομένων]*[κβ΄] *μου ἁμαρτιῶν· ἀλλ᾽ ὡς θέλεις ἐλέησόν με. Ἥμαρτον, ἐλέησόν με ὡς οἶδας. Πιστεύω Κύριε, ὅτι ἐπακούεις μου τῆς ἐλεεινῆς ταύτης φωνῆς. Βοήθει μου τῇ ἀπιστίᾳ*[201]*, ὁ χαρισάμενός μου μετὰ τὸ εἶναι, καὶ τὸ εἶναί με Χριστιανόν.*

νὰ ἀπευθύνωμαι σὲ Σένα, καρδιογνῶστα; Ἀλλά, τὰ λέγω αὐτά, γιὰ νὰ γνωρίσω στὸν ἑαυτό μου καὶ στοὺς ἐχθρούς μου, ὅτι [μόνον] σὲ Σένα καταφεύγω, τὸν λιμένα τῆς σωτηρίας μου. Ἰδοὺ λοιπόν, ἐγνώρισα ἀπὸ τὴν Χάρι Σου, «ὅτι Σὺ εἶσαι ὁ Θεός μου» καὶ δὲν τολμῶ [πλέον] νὰ ὁμιλῶ [γιὰ] πολλά, ἀλλὰ θέλω μόνο νὰ παρουσιάσω ἐνώπιόν Σου τὸν νοῦ [μου] ἀργό, κουφὸ καὶ ἄλαλο. Ὄχι ἐγὼ ὅμως, ἀλλὰ ἡ Χάρι Σου κατεργάζεται τὰ πάντα. Γιατὶ δὲν γνωρίζω νὰ ἔκανε ποτὲ ὁ ἑαυτός μου [κάτι] καλό, ἀλλὰ πάντοτε πλήθη κακῶν, ὑπὲρ τῶν ὁποίων πέφτω μπροστά Σου καὶ δείχνω τὸ σχῆμα τοῦ δούλου, γιατὶ μὲ ἀξίωσες νὰ μετανοῶ καὶ γιὰ τὸ ὅτι εἶμαι δοῦλος Σου καὶ υἱὸς τῆς δούλης Σου». Ἀλλὰ μὴ μὲ ἀφήσῃς Κύριέ μου Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου, νὰ κάνω ἢ νὰ λέω ἢ νὰ σκέπτωμαι, ἐκεῖνα, τὰ ὁποῖα δὲν θέλεις. Γιατὶ μοῦ εἶναι ἀρκετὸ τὸ πλῆθος τῶν τόσων προηγουμένων μου ἁμαρτιῶν· ἀλλά, ὅπως Ἐσὺ θέλεις, ἐλέησέ με. Ἁμάρτησα, ἐλέησέ με, ὅπως ξέρεις. Πιστεύω Κύριε, ὅτι εἰσακούεις αὐτὴ τὴν ἐλεεινή μου φωνή. «Βοήθησέ με στὴν ἀπιστία μου», Ἐσὺ ὁ ὁποῖος μοῦ χάρισες μαζὶ μὲ τὴν ὕπαρξι καὶ [τὴ δωρεὰ] νὰ εἶμαι Χριστιανός.

Μέγα μοί ἐστι, φησὶν ὁ Καρπάθιος, ὅτι ἐκλήθην Μοναχὸς καὶ Χριστιανός· ὡς εἶπας, Κύριε, πρός τινα τῶν δούλων σου, ὅτι μέγα σοι ἐστίν, ὅτι ἐκλήθη ἐπὶ σοὶ τὸ ὄνομά μου[202]. Κρεῖττόν μοι ἔστι τοῦτο ὑπὲρ πάσας τὰς βασιλείας τῆς γῆς καὶ τοῦ οὐρανοῦ, μόνον μὴ ἀποτύχω τῆς κλήσεως τοῦ γλυκυτάτου ὀνόματός σου. Δέσποτα πολυέλεε, εὐχαριστῶ σοι, καὶ τὰ ἑξῆς, ὡς προεγράφη. Ὥσπερ οὖν ἄλλα ἀναγνώσματα πρέπουσι τῷ πρακτικῷ καὶ ἄλλα ῥήματα καὶ δάκρυα καὶ εὐχή· οὕτω καὶ ἄλλη πίστις αὕτη παρὰ τὴν πρώτην τὴν γεννῶσαν τὴν ἡσυχίαν. Ἐκείνη μὲν πίστις τῆς ἀκοῆς, αὕτη δὲ τῆς θεωρίας, ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ. Ἡ δὲ θεωρία τῆς ἀκοῆς ἀσφαλεστέρα. Ἐκ γὰρ τῆς φυσικῆς γνώσεως γεννᾶται ἡ πρώτη καὶ κοινὴ τῶν ὀρθοδόξων πίστις, ἐξ ἧς γεννᾶται ἡ κατὰ Θεὸν σχολή, ὡς εἴρηται, ἡ νηστεία καὶ ἀγρυπνία, ἡ ἀνάγνωσις, ἡ ψαλμῳδία, ἡ προσευχὴ καὶ ἐρώτησις τῶν ἐμπείρων. Καὶ ἐκ τούτων πάντων γεννῶνται αἱ ἀρεταὶ τῆς ψυχῆς, ἤτοι ἡ τῶν ἐντο-

Εἶναι [πολὺ] μεγάλο γιὰ μένα, λέγει ὁ Καρπάθιος[ρνγ΄], τὸ ὅτι ἐκλήθηκα Μοναχὸς καὶ Χριστιανός· ὅπως εἶπες, Κύριε, σὲ κάποιον ἀπὸ τοὺς δούλους Σου, ὅτι εἶναι μεγάλη [τιμὴ] γιὰ σένα τὸ ὅτι καλεῖσαι μὲ τὸ ὄνομά Μου. Αὐτὸ γιὰ μένα εἶναι προτιμώτερο ἀπὸ ὅλες τὶς βασιλεῖες τῆς γῆς καὶ τοῦ οὐρανοῦ, μόνο νὰ μὴν ἀποτύχω τῆς [τιμῆς] τῆς κλήσεως μὲ τὸ γλυκύτατό Σου ὄνομα. Δέσποτα πολυέλεε, Σὲ εὐχαριστῶ καὶ τὰ λοιπά, ὅπως γράφτηκαν προηγουμένως. Ὅπως λοιπὸν στὸν πρακτικὸ ἁρμόζουν ἄλλα ἀναγνώσματα καὶ ἄλλα λόγια, δάκρυα καὶ προσευχή, ἔτσι καὶ αὐτὴ εἶναι ἄλλη πίστι ἀπὸ τὴν πρώτη, ἡ ὁποία γεννᾶ τὴν ἡσυχία. Ἐκείνη μὲν [εἶναι ἡ] πίστι [ἐκ] τῆς ἀκοῆς, ἐνῶ αὐτὴ τῆς θεωρίας, ὅπως λέγει ὁ Ἅγιος Ἰσαάκ[ρνδ΄]. Ἡ δὲ θεωρία εἶναι πιὸ ἀσφαλὴς ἀπὸ τὴν ἀκοή. Γιατὶ ἀπὸ τὴ φυσικὴ γνῶσι γεννιέται ἡ πρώτη καὶ κοινὴ τῶν Ὀρθοδόξων πίστι, ἀπὸ τὴν ὁποία γεννιέται ἡ κατὰ Θεὸν βιοτή, ὅπως ἔχει λεχθῆ, ἡ νηστεία καὶ ἡ ἀγρυπνία, ἡ ἀνάγνωσι, ἡ ψαλμωδία, ἡ προσευχὴ καὶ ἡ ἐρώτησι τῶν ἐμπείρων. Καὶ ἀπὸ ὅλα αὐτὰ γεννιῶνται οἱ ἀρετὲς τῆς ψυχῆς, δηλαδὴ ἡ φύλαξι καὶ

λῶν καὶ ἠθῶν φυλακὴ καὶ κατάστασις, δι' ὧν ἡ μεγάλη πίστις, ἐλπὶς καὶ τελεία ἀγάπη, ἡ ἁρπάζουσα τὸν νοῦν πρὸς τὸν Θεόν, ὡς εἴρηται, ἐν τῇ προσευχῇ, ὅταν τις ἑνοῦται τῷ Θεῷ νοερῶς, ὥς φησιν ὁ Ἅγιος Νεῖλος. Τὰ ῥήματα δὲ τῆς προσευχῆς ἅπαξ ἐγράφη, ἵνα ἀεὶ τὴν αὐτὴν εὔχηται ὁ βουλόμενος τὸν νοῦν αὐτοῦ ἀκίνητον παραστῆσαι ἐνώπιον τῆς Ἁγίας καὶ Ζωαρχικῆς Τριάδος, ὡς δοκῶν ὁρᾶσθαι, εἰ καὶ ὁρᾶν τι τὸ παράπαν ἀδύνατον, ἀλλὰ ἀνείδεον, ἀσχημάτιστον, ἄχροον, ἀτάραχον, ἀπερίσπαστον, ἀκίνητον, ἄϋλον, μηδενὸς ὅλως τῶν ἐν πάσῃ τῇ κτίσει νοουμένων καὶ κατανοουμένων, ἀλλ' ἐν εἰρήνῃ βαθείᾳ καὶ τελείᾳ ἀταραξίᾳ προσομιλεῖν τῷ Θεῷ καὶ τὴν ἁγίαν αὐτοῦ μνήμην ἔχειν καὶ μόνην, ἄχρις ἂν φθάσῃ εἰς τὴν ἁρπαγὴν τοῦ νοός, μετὰ τοῦ καταξιωθῆναι αὐτὸν λέγειν, ὡς δεῖ, τὴν τοῦ Κυρίου εὐχήν, ἤτοι τὸ Πάτερ ἡμῶν· ὥσπερ ὁ Ἅγιος Φιλήμων, ἡ Ἁγία Εἰρήνη μετὰ τῶν Ἁγίων Ἀποστόλων, Μαρτύρων τε καὶ Ὁσίων εἶπον. Τὸ

διατήρησι τῶν ἐντολῶν καὶ τῶν ἠθῶν, ἀπὸ τὶς ὁποῖες [προέρχονται] ἡ μεγάλη πίστι, ἡ ἐλπίδα καὶ ἡ τελεία ἀγάπη, ἡ ὁποία ἁρπάζει τὸν νοῦ πρὸς τὸν Θεὸ μέσα [ἀπὸ] τὴν προσευχή, ὅπως ἔχει λεχθῆ, ὅταν κανεὶς ἑνώνεται μὲ τὸν Θεὸ νοερά, ὅπως λέγει ὁ Ἅγιος Νεῖλος[ρνε']. Τὰ λόγια τῆς προσευχῆς γράφτηκαν μία φορά, γιὰ νὰ προσεύχεται πάντοτε μὲ αὐτή, [τὴν ἴδια προσευχή], αὐτὸς ὁ ὁποῖος θέλει νὰ παρουσιάσῃ τον νοῦ του ἀκίνητο ἐνώπιον τῆς Ἁγίας καὶ Ζωαρχικῆς Τριάδος, διότι θεωρεῖ, ὅτι βλέπεται [ἀπὸ τὸν Θεὸ] καὶ ἐνῶ εἶναι ἐντελῶς ἀδύνατο νὰ βλέπῃ [ὁ ἴδιος] τὸ παραμικρό, [ἀλλὰ νὰ κρατᾷ τὸν νοῦ] ἄμορφο, ἀσχημάτιστο, ἄχρωμο, ἀτάραχο, ἀπερίσπαστο, ἀκίνητο, ἄϋλο, [νὰ μὴν ἀντιλαμβάνεται] ἀπολύτως τίποτε ἀπὸ ὅσα νοοῦνται καὶ κατανοοῦνται σὲ ὅλη τὴν κτίσι, ἀλλὰ μὲ βαθειὰ εἰρήνη καὶ τελεία ἀταραξία νὰ συνομιλῇ μὲ τὸν Θεὸ καὶ νὰ ἔχῃ μόνην τὴν ἁγίαν Αὐτοῦ μνήμη, ἕως ὅτου φθάσῃ στὴν ἁρπαγὴ τοῦ νοῦ[11] [ὥστε] νὰ καταξιωθῇ νὰ λέγῃ αὐτός, ὅπως πρέπει, τὴν προσευχὴ τοῦ Κυρίου, δηλαδὴ τὸ «Πάτερ ἡμῶν» ὅπως ἀκριβῶς εἶπαν· ὁ Ἅγιος Φιλήμων, ἡ ἁγία Εἰρήνη, μαζὶ μὲ τοὺς ἁγίους Ἀποστόλους, Μάρτυρες καὶ Ὁσίους.

δὲ τούτων ἐκτός, χλεύη ἐστὶν ἐξ οἰήσεως γινομένη. Ἀόριστον γὰρ τὸ θεῖον καὶ ἀπερίγραπτον, καὶ ὁ γενόμενος ἐν ἑαυτῷ [recte: ἐν αὐτῷ][κγ'] *νοῦς, οὕτω δεῖ εἶναι, ἵνα κατὰ χάριν ἀξιωθῇ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου Πνεύματος. Οὐκ ἀπὸ εἴδους, ἀλλὰ διὰ πίστεως περιπατοῦμεν*[203]*, φησὶν ὁ Ἀπόστολος. Διὰ τοῦτο χρονίζειν ὀφείλομεν ἐν τῇ ἀσκήσει, ἵνα τῷ πολλῷ χρόνῳ ὁ νοῦς ἐπὶ τὰ θεῖα τῷ πόθῳ ἕλκηται ἐκ τῆς συνηθείας· ὅτι ἐὰν μὴ εὕρῃ ὁ νοῦς ἄλλο τι μεῖζον τῶν αἰσθητῶν πραγμάτων, οὐχ ἕλκει τὴν ἐπιθυμίαν ἐπὶ τοῦτο, καὶ καταλείπειν ἅπερ ἐκ τῆς πολυχρονίας ἐσυνήθισεν. Ὥσπερ οὖν οἱ φιλάνθρωποι καὶ ἀπαθεῖς οὐ κατὰ πολὺ βλάπτονται ἀπὸ τῶν πραγμάτων τοῦ βίου, διότι καλῶς ταῦτα οἰκονομοῦσιν· οὕτω καὶ οἱ ἔχοντες τὰ μεγάλα χαρίσματα, διότι τῷ Θεῷ ἐπιγράφουσι τὰ κατορθώματα.*

Ὁτιδήποτε ἐκτὸς αὐτῶν, εἶναι χλευασμὸς [τοῦ ἰδίου τοῦ ἀνθρώπου], ποὺ γίνεται ἀπὸ ὑπερηφάνεια. Διότι τὸ Θεῖον εἶναι ἀόριστο καὶ ἀπερίγραπτο καὶ ὁ νοῦς, ὁ ὁποῖος συγκεντρώθηκε σ᾽ Αὐτό, ἔτσι πρέπει νὰ εἶναι, ὥστε νὰ ἀξιωθῇ κατὰ Χάριν, νὰ δεχθῇ τὴν ἐπιφοίτησι τοῦ Ἁγίου Πνεύματος[12]. Γιατί, ὅπως λέγει ὁ Ἀπόστολος, «δὲν διερχόμεθα [τὴν ζωὴ] μὲ αἰσθητὸ τὸν Κύριο, ἀλλὰ μὲ τὴν πίστι». Γι᾽ αὐτὸ ὀφείλομε νὰ μένωμε πολὺ καιρὸ στὴν ἄσκησι, γιὰ νὰ ἕλκεται ὁ νοῦς, μὲ πόθο πρὸς τὰ θεῖα, ἀπὸ τὴν συνήθεια, ἐκ τοῦ πολλοῦ χρόνου. Διότι, ἂν δὲν εὕρῃ ὁ νοῦς κάτι ἄλλο ἀνώτερο ἀπὸ τὰ αἰσθητὰ πράγματα, δὲν σύρει τὴν ἐπιθυμία του σ᾽ αὐτὸ καὶ δὲν ἐγκαταλείπει ἐκεῖνα, τὰ ὁποῖα ἐσυνήθισε μὲ τὴν πολυκαιρία. Ὅπως, λοιπόν, οἱ φιλάνθρωποι καὶ ἀπαθεῖς δὲν βλάπτονται πολὺ ἀπὸ τὰ πράγματα τοῦ βίου, διότι καλῶς τὰ διευθετοῦν, ἔτσι καὶ ὅσοι ἔχουν τὰ μεγάλα χαρίσματα [δὲν βλάπτονται], γιατὶ ἀποδίδουν στὸν Θεὸ τὰ κατορθώματά τους.

ΟΤΙ ΜΑΛΛΟΝ ΣΥΜΦΕΡΕΙ ΤΟΙΣ ΕΜΠΑΘΕΣΙΝ Η ΗΣΥΧΙΑ

ΟΤΙ ΠΕΡΙΣΣΟΤΕΡΟ ΣΥΜΦΕΡΕΙ ΕΙΣ ΤΟΥΣ ΕΜΠΑΘΕΙΣ Η ΗΣΥΧΙΑ

[162.] Πᾶσι μὲν συμφέρει ἡ ἡσυχία καὶ ἡ φυγὴ τῶν πραγμάτων τε καὶ ἀνθρώπων, ἐπὶ πλεῖον δὲ τοῖς ἐμπαθέσι καὶ ἀσθενέσιν· ὅτι οὐ δύναται ὁ νοῦς ἐκ μόνης πράξεως τῆς ἔξωθεν ἀπαθὴς γενέσθαι, ἐὰν μὴ διαδέχωνται αὐτὸν πολλαὶ καὶ πνευματικαὶ θεωρίαι. Οὐδὲ ὁ περισπασμὸς καὶ τὸ ἄρχειν ἀβλαβῶς παρέρχεται τινά, ἐὰν μὴ πρῶτον ἀπὸ τῆς φυγῆς ἀπάθειαν κτήσηται. Ἡ δὲ μέριμνα τοῦ βίου καὶ ἡ σύγχυσις καὶ τοὺς τελείους βλάπτειν εἴωθε καὶ τοὺς ἀπαθεῖς. Οὐδὲν γὰρ ὄφελος γίνεται, φησὶν ὁ Χρυσόστομος, ἐκ τῆς ἐργασίας τοῦ ἀνθρώπου, δίχα τῆς ἄνωθεν ῥοπῆς. Οὐδὲ ἡ ἄνωθεν ῥοπὴ ἐπὶ τὸν μὴ προαιρούμενον πάλιν παραγίνεται· ἀλλ' ἀμφοτέρων δεόμεθα καὶ θείας καὶ ἀνθρωπίνης· καὶ πράξεως καὶ γνώσεως· καὶ φόβου καὶ ἐλπίδος· καὶ πένθους καὶ παρακλήσεως· καὶ δειλίας καὶ ταπεινώσεως· καὶ διακρίσεως καὶ ἀγάπης. Διότι, φησί, πάντα τὰ τοῦ βίου διπλᾶ εἰσιν, ἡμέρα καὶ νύξ· φῶς

162. Σὲ ὅλους βέβαια συμφέρει ἡ ἡσυχία καὶ ἡ ἀποφυγὴ καὶ τῶν πραγμάτων καὶ τῶν ἀνθρώπων, περισσότερο ὅμως στοὺς ἐμπαθεῖς καὶ ἀδυνάτους· διότι δὲν μπορεῖ ὁ νοῦς νὰ γίνη ἀπαθής, μόνο ἀπὸ τὴν ἐξωτερικὴ [σωματικὴ] πρᾶξι καὶ [ἄσκησι], ἂν δὲν ἔχη διαδοχικὰ πολλὲς καὶ πνευματικὲς θεωρίες. Οὔτε ὁ περισπασμὸς καὶ ἡ ἐξουσία ἀφήνουν κάποιον χωρὶς βλάβη, ἂν δὲν αποκτήση πρῶτα τὴν ἀπάθεια ἀπὸ τὴν φυγὴ [ἐκ τοῦ κόσμου]. Ἡ μέριμνα ὅμως τοῦ βίου καὶ ἡ σύγχυσις συνηθίζει νὰ βλάπτη καὶ τοὺς τελείους καὶ τοὺς ἀπαθεῖς. Διότι καμμία ὠφέλεια δὲν προέρχεται, λέγει ὁ Χρυσόστομος, ἀπὸ τὴν ἐργασία τοῦ ἀνθρώπου, χωρὶς τὴν ἐξ ὕψους βοηθητικὴ δύναμι. Οὔτε πάλι ἡ ἐκ τῶν ἄνω βοηθητικὴ δύναμι ἔρχεται σὲ ἐκεῖνον, ὁ ὁποῖος δὲν τὴν θέλει, ἀλλὰ ἔχομε ἀνάγκη καὶ ἀπὸ τὰ δύο καὶ ἀπὸ τὴν θεία [βοήθεια] καὶ ἀπὸ τὴν ἀνθρώπινη ἐργασία[13]· καὶ ἀπὸ τὴν πρᾶξι καὶ ἀπὸ τὴν γνῶσι· καὶ ἀπὸ τὸν φόβο καὶ ἀπὸ τὴν ἐλπίδα· καὶ ἀπὸ τὸ πένθος καὶ ἀπὸ τὴν παρηγορία· καὶ ἀπὸ τὴν δειλία καὶ ἀπὸ τὴν ταπείνωσι· καὶ ἀπὸ τὴν διάκρισι καὶ ἀπὸ τὴν ἀγάπη. Διότι λέγει, ὅλα τοῦ βίου εἶναι διπλᾶ, ἡμέρα καὶ νύχτα· φῶς

καὶ σκότος· ὑγεία καὶ νόσος· ἀρετὴ καὶ κακία· εὐχέρεια καὶ δυσχέρεια· ζωὴ καὶ θάνατος· ἵνα διὰ τῶν μέν, οἱ ἀσθενεῖς τὸν Θεὸν ἀγαπῶμεν, διὰ τῶν δέ, τὸ ἁμαρτάνειν φύγωμεν φόβῳ τῶν πειρασμῶν. Οἱ δὲ δυνατοὶ διὰ πάντων ἀγαπῶμεν ὡς Πατέρα τὸν Θεόν, γινώσκοντες ὅτι πάντα καλὰ λίαν[204] *εἰσὶ καὶ συμφερόντως ταῦτα ὁ Θεὸς οἰκονομεῖ. Καὶ ἐκ μὲν τῶν ἡδέων ἐγκρατεύονται, τῶν δὲ δυσχερῶν ἐφίενται, εἰδότες, ὅτι διὰ μὲν τῶν, τὰ σώματα ζωογονοῦνται πρὸς δόξαν τοῦ Ποιητοῦ, διὰ δὲ τῶν, αἱ ψυχαὶ πρὸς τὸ σωθῆναι βοηθήσονται [recte: βοηθηθήσονται], δι᾽ ἄφατον ἔλεος Θεοῦ. Τρεῖς γάρ εἰσι καταστάσεις οἱ ἄνθρωποι, δοῦλοι, μισθωτοὶ καὶ υἱοί. Καὶ οἱ μὲν δοῦλοι οὐκ ἀγαπῶσι τὸ ἀγαθόν, ἀλλὰ τοῦ πονηροῦ, φόβῳ τῶν κολάσεων, ἀπέχονται· καὶ ἔστι μὲν τοῦτο, φησὶν ὁ Ἅγιος Δωρόθεος, ἀγαθόν, οὐ μέντοι καὶ εὐάρεστον. Οἱ δὲ μισθωτοί, ἀγαπῶσι τὸ ἀγαθὸν καὶ μισοῦσι τὸ πονηρόν, ἀλλ᾽ ἐλπίδι μισθοῦ. Οἱ δὲ υἱοί, ὡς τέλειοι ὄντες, οὔτε φόβῳ τῶν κολάσεων ἀπέχον-*

καὶ σκοτάδι· ὑγεία καὶ ἀσθένεια· ἀρετὴ καὶ κακία· εὐκολία καὶ δυσκολία· ζωὴ καὶ θάνατος· ὥστε διὰ τῶν μὲν [πρώτων] οἱ ἀδύνατοι νὰ ἀγαποῦμε τὸν Θεό, μὲ τὰ δὲ [δεύτερα] νὰ ἀποφεύγωμε τὴν ἁμαρτία, ἀπὸ τὸν φόβο τῶν πειρασμῶν. Οἱ δὲ δυνατοί, μὲ ὅλα [ὅσα ἐπιτρέπει ὁ Θεὸς νὰ μᾶς συμβοῦν] νὰ ἀγαποῦμε ὡς Πατέρα τὸν Θεὸ γνωρίζοντας, ὅτι «ὅλα εἶναι πολὺ καλὰ» καὶ ὅτι πρὸς τὸ συμφέρον μας τὰ οἰκονομεῖ ὁ Θεός. Καὶ ἀπὸ μὲν τὰ ἡδονικὰ ἐγκρατεύονται, ἐπιθυμοῦν δὲ τὰ δύσκολα, ἐπειδὴ γνωρίζουν, ὅτι μὲ τὰ μὲν [πρῶτα] ζωογονοῦνται τὰ σώματα πρὸς δόξαν τοῦ Δημιουργοῦ, ἐνῶ μὲ τὰ [ἄλλα] θὰ βοηθηθοῦν οἱ ψυχὲς γιὰ νὰ σωθοῦν, χάρις εἰς τὸ ἀνέκφραστο ἔλεος τοῦ Θεοῦ. Διότι οἱ ἄνθρωποι [ἀνήκουν] σὲ τρεῖς κατηγορίες, δοῦλοι, μισθωτοὶ καὶ υἱοί. Καὶ οἱ μὲν δοῦλοι δὲν ἀγαποῦν τὸ ἀγαθό, ἀλλὰ ἀποφεύγουν τὸ πονηρὸ ἀπὸ τὸν φόβο τῆς κολάσεως· καὶ εἶναι μὲν αὐτό, λέγει ὁ Ἅγιος Δωρόθεος[ϙνστ΄], καλὸ ὄχι ὅμως καὶ εὐάρεστο [στὸν Θεό]. Οἱ δὲ μισθωτοὶ ἀγαποῦν τὸ καλὸ καὶ μισοῦν τὸ πονηρό, ἀλλὰ μὲ τὴν ἐλπίδα κάποιου [ἀνταποδοτικοῦ] μισθοῦ. Οἱ υἱοὶ ὅμως, ἐπειδὴ εἶναι τέλειοι, οὔτε ἀπὸ τὸν φόβο τῆς κολάσεως ἀποφεύγουν

ται τοῦ πονηροῦ, ἀλλ' ἰσχυρῶς τοῦτο μισοῦσιν· οὔτε πάλιν τὸ ἀγαθὸν ἐλπίδι μισθοῦ ποιοῦσιν, ἀλλ' ὡς χρέος τοῦτο λογίζονται· καὶ τὴν ἀπάθειαν φιλοῦσιν ὡς μίμημα Θεοῦ καὶ πρόξενον τῆς αὐτοῦ ἐνοικήσεως· δι' ἧς πάσης κακίας ἀπέχονται, κἂν μὴ πρόκειται ἀπειλή. Ἐπειδὴ εἰ μὴ ἀπαθὴς γένηταί τις, οὐ καταπέμπει ὁ Ἅγιος Θεὸς τὸ Πανάγιον Πνεῦμα ἐπ' αὐτόν, ἵνα μὴ ἐκ τῆς συνηθείας ἔτι ἑλκόμενος πρὸς τὰ πάθη εὑρεθῇ· καὶ γίνεται ἔνοχος τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου Πνεύματος, καὶ μείζονα κατάκρισιν ἔχει. Ἀλλ' ὅταν ἀπὸ τῆς ἕξεως τῆς ἀρετῆς μηκέτι φιλίαν ἔχῃ μετὰ τῶν ἐχθρῶν, μηδὲ ἀπὸ τῆς τῶν παθῶν συνηθείας ἕλκηται, τότε μεταλαμβάνει τὴν χάριν καὶ οὕτως ἀκατάκριτος μένει ἐν τῷ λαβεῖν τὸ χάρισμα. Διὰ τοῦτο φησιν ὁ τῆς Κλίμακος· οὐκ ἀποκαλύπτει ἡμῖν ὁ Θεὸς τὸ θέλημα αὐτοῦ, ἵνα μὴ τοῦτο μαθόντες παρακούωμεν, καὶ μειζόνως κατακριθῶμεν· εἰ καὶ ὡς νήπιοι ἀγνοοῦμεν τὴν ἄπειρον αὐτοῦ εὐσπλαχνίαν εἰς [recte: τὴν εἰς][κδ'] *ἡμᾶς τοὺς*

τὸ κακό, ἀλλὰ τὸ μισοῦν μὲ ὅλη τους τὴν δύναμι· οὔτε πάλι κάνουν τὸ καλὸ μὲ τὴν ἐλπίδα τοῦ μισθοῦ, ἀλλὰ [ἐπειδὴ] τὸ θεωροῦν ὡς χρέος τους· καὶ ἀγαποῦν τὴν ἀπάθεια ὡς μίμησι Θεοῦ καὶ πρόξενον τῆς ἐντός τους κατοικήσεως [Αὐτοῦ], μὲ τὴν ὁποία ἀπέχουν ἀπὸ κάθε κακία, ἀκόμη καὶ ἂν δὲν ὑπάρχῃ μπροστά τους καμία ἀπειλή. Διότι, ἂν δὲν γίνῃ κανεὶς ἀπαθής, δὲν στέλνει σ' αὐτὸν ὁ Ἅγιος Θεὸς τὸ Πανάγιον Πνεῦμα, γιὰ νὰ μὴν εὑρεθῇ νὰ ἕλκεται ἀκόμη πρὸς τὰ πάθη ἀπὸ τὴν συνήθεια· καὶ ἔτσι γίνεται ἔνοχος γιὰ τὴν ἐπιφοίτησι τοῦ Ἁγίου Πνεύματος [τὴν ὁποία ἔχει δεχθῆ] καὶ ἔχει μεγαλύτερη κατάκρισι. Ἀλλά, ὅταν ἀπὸ τὴν ἕξι τῆς ἀρετῆς δὲν ἔχει πλέον καμία φιλία μὲ τοὺς ἐχθρούς, οὔτε παρασύρεται ἀπὸ τὴν συνήθεια τῶν παθῶν, τότε γίνεται μέτοχος τῆς Χάριτος καὶ ἔτσι μένει [πλέον] χωρὶς κατάκρισι, γιὰ τὸ χάρισμα, τὸ ὁποῖο ἔλαβε. Γι' αὐτὸ λέγει ὁ τῆς Κλίμακος[ρνζ'], ὅτι δὲν μᾶς φανερώνει τὸ θέλημά Του, γιὰ νὰ μή, ἀφοῦ τὸ μάθωμε, παρακούωμε καὶ καταδικαστοῦμε περισσότερο· ἂν καὶ ὡς νήπιοι δὲν γνωρίζωμε τὴν ἄπειρη τοῦ Θεοῦ εὐσπλαχνία, τὴν [ὁποία δείχνει] πρὸς ἐμᾶς τοὺς

ἀχαρίστους. Ὁ γὰρ τὸ θεῖον θέλημα, φησί, μαθεῖν θέλων, χρεωστεῖ ἀποθανεῖν ἀπὸ παντὸς τοῦ κόσμου καὶ τῶν οἰκείων θελημάτων ἐν πᾶσι. Διὰ τοῦτο πᾶν πρᾶγμα ἔχον δισταγμὸν οὐκ ὀφείλει τις ποιεῖν τοῦτο, ἢ στήσειν ὡς καλόν, εἰ μήπου οὐ δύναται ζῆσαι ἢ σωθῆναι δίχα τούτου. Καὶ λοιπὸν ἐρωτήσεως τῶν ἐμπείρων δεῖται, τότε ἐκ βεβαίας πίστεως καὶ προσευχῆς ἡ τοιαύτη πληροφορία, πρὶν τῆς τελείας ἀπαθείας τῆς ποιούσης τὸν νοῦν ἀήττητον καὶ ἀνίκητον, εἰς πᾶν ἔργον ἀγαθόν. Ὥστε πολύς ἐστιν ὁ πόλεμος, ὁ δὲ ἄνθρωπος ἀβλαβὴς διαμένει. Ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται[205], φησὶν ὁ Κύριος. Καὶ ὁ Ἀπόστολος· ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι[206]. Τὸ γὰρ ἀπολέμητον εἶναί τινα, οὐκ ἔστι καλόν. Ἐπειδὴ ἀναχωροῦσιν οἱ δαίμονες πολλάκις, φησὶν ὁ τῆς Κλίμακος, διὰ πολλῶν τρόπων, ἢ ἐνέδρας χάριν ἢ οἰήσεως, καταλιπόντες ἢ ἔπαρσιν ἢ ἄλλο τι κακόν, ἀρκούμενοι ἐν τούτῳ, ὡς ἀναπληροῦν δυναμένῳ τῶν ἄλλων παθῶν τὸν τόπον.


ἀχαρίστους. Διότι, λέγει, ἐκεῖνος ὁ ὁποῖος θέλει νὰ μάθῃ τὸ θεῖο θέλημα, ὀφείλει νὰ πεθάνῃ γιὰ ὅλο τὸν κόσμο καὶ γιὰ τὰ δικά του θελήματα σὲ ὅλα. Γι᾽ αὐτὸ κάθε πρᾶγμα, γιὰ τὸ ὁποῖο ὑπάρχει ἀμφιβολία [καὶ ἀβεβαιότης], δὲν πρέπει νὰ τὸ κάνῃ κανεὶς ἢ νὰ τὸ θεωρήσῃ ὡς καλό, ἐκτὸς ἐὰν δὲν μπορῇ νὰ ζήσῃ ἢ νὰ σωθῇ χωρὶς αὐτό. Καὶ λοιπὸν τότε χρειάζεται νὰ ἐρωτᾷ τοὺς ἐμπείρους, ὁπότε ἡ πληροφορία [θὰ εἶναι ἡ σωστὴ ὡς προερχομένη] ἐκ βεβαίας πίστεως καὶ προσευχῆς, πρὶν [νὰ φθάσῃ] στὴν τελεία ἀπάθεια, ἡ ὁποία κάνει τὸν νοῦ ἄπτωτο καὶ ἀνίκητο σὲ κάθε καλὸ ἔργο. Ὥστε [λοιπὸν] ὁ πόλεμος εἶναι μὲν μεγάλος, ἀλλὰ ὁ ἄνθρωπος παραμένει ἀβλαβής. Γιατὶ λέγει ὁ Κύριος, «ἡ δύναμίς μου φανερώνεται τελειότερη μέσα στὴν [ἀνθρώπινη] ἀδυναμία». Καὶ ὁ Ἀπόστολος, «ὅταν ἀσθενῶ, τότε εἶμαι δυνατός». Διότι, τὸ νὰ εἶναι κανεὶς ἀπολέμητος, δὲν εἶναι καλό. Ἐπειδὴ πολλὲς φορὲς οἱ δαίμονες, [συνηθίζουν νὰ δείχνουν] ὅτι ὑποχωροῦν, λέγει ὁ τῆς Κλίμακος[ρνη'], μὲ πολλοὺς τρόπους, ἢ [γιὰ νὰ στήσουν] ἐνέδρα [στὸν ἄνθρωπο], ἢ γιὰ [νὰ τὸν ρίξουν] σὲ ὑπερηφάνεια, ἀφήνοντάς του ἢ τὴν ἔπαρσι ἢ κάποιο ἄλλο κακό, ἀρκούμενοι σ᾽ αὐτό, διότι αὐτὸ μπορεῖ νὰ ἀναπληρώσῃ τὴ θέσι τῶν ἄλλων παθῶν.

Διότι, οἱ μὲν Πατέρες, φησὶ τὸ Γεροντικόν, ἐφύλαξαν τὰς ἐντολάς, οἱ δὲ μετ᾽ ἐκείνους ἔγραψαν ταύτας, ἡμεῖς δὲ τὰ γεγραμμένα εἰς τὰς θυρίδας τεθείκαμεν. Εἰδὲ καὶ ἀναγινώσκειν βουλόμεθα, οὐ σχολάζομεν κἂν εἰς αὐτὸ τοῦτο τὸ κατανοεῖν τὰ λεγόμενα καὶ ποιεῖν αὐτά· ἀλλ᾽ ἢ ὡς πάρεργον ἀναγινώσκομεν, ἢ δοκοῦμεν μέγα τι ποιοῦντες, ἐπαιρόμεθα· ἀγνοοῦντες, ὅτι μᾶλλον κατάκρισιν ἔχομεν ἂν μὴ ἐργαζώμεθα, ὥς φησιν ὁ Χρυσόστομος. Ὁ γνούς, φησὶν ὁ Κύριος, τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ[207]*, καὶ τὰ ἑξῆς. Ὥστε καλὴ μὲν ἡ ἀνάγνωσις καὶ ἡ γνῶσις, ἀλλ᾽ ὅταν πρὸς μείζονα ταπείνωσιν ἄγῃ. Ὡσαύτως καὶ ἡ συμβουλή, ὅταν μὴ περιεργάζηταί τις τὸν βίον τοῦ διδασκάλου, ὥς φησιν ὁ Θεολόγος· μὴ ζήτει ἀξιοπιστίαν τοῦ διδάσκοντός σε ἢ κηρύσσοντος. Καὶ ὥς φησιν ὁ Κύριος· ὅσα ἂν λέγωσιν ὑμῖν*[208] *οἱ ἱερεῖς, καὶ τὰ ἑξῆς. Οὐδεμία γὰρ βλάβη τινὶ ἐρωτῶντι γίνεται, ἐκ τῶν ἔργων τοῦ διδάσκοντος αὐτόν, ἀλλ᾽ οὔτε πάλιν ὠφέλεια, εἰ μὴ ἐργά-*

Διότι οἱ μὲν Πατέρες, λέγει τὸ Γεροντικό, ἐφύλαξαν τὶς ἐντολές, οἱ δὲ μετὰ ἀπὸ αὐτοὺς τὶς ἔγραψαν καὶ ἐμεῖς ὅσα ἔχουν γράψει τὰ ἔχομε τοποθετήσει στὰ ράφια [τῶν βιβλιοθηκῶν]. Καί, ἐὰν θέλωμε νὰ τὰ διαβάζωμε, δὲν ἀφοσιωνόμαστε μὲ προσοχὴ στὸ νὰ κατανοοῦμε τὰ λεγόμενα καὶ νὰ τὰ ἐργαζώμαστε· ἀλλὰ ἢ τὰ διαβάζομε σὰν πάρεργο, ἢ νομίζομε, ὅτι κάνομε κάτι σπουδαῖο καὶ ὑπερηφανευόμαστε· ἀγνοώντας, ὅτι μᾶλλον κατάκρισι προξενοῦμε στοὺς ἑαυτούς μας, ἂν δὲν τὰ ἐργαζώμαστε, ὅπως λέγει ὁ Χρυσόστομος[ρνθ']. [Διότι] λέγει ὁ Κύριος, «ἐκεῖνος ὁ ὁποῖος ἐγνώρισε τὸ θέλημα τοῦ Κυρίου του» καὶ τὰ λοιπά. Ὥστε [εἶναι] καλὴ μὲν ἡ ἀνάγνωσι καὶ ἡ γνῶσι, ἀλλὰ ὅταν [μᾶς] ὁδηγῇ σὲ μεγαλύτερη ταπείνωσι. Ἐπίσης καὶ ἡ συμβουλὴ [εἶναι καλή], ὅταν δὲν πολυεξετάζῃ κανεὶς τὸν βίο τοῦ διδασκάλου του, ὅπως λέγει ὁ Θεολόγος[ρξ']. Μὴν ἀναζητᾶς τὴν ἀξιοπιστία [στὰ λόγια καὶ τὰ ἔργα] ἐκείνου, ὁ ὁποῖος σὲ διδάσκει ἢ κυρήσσει. Καί, ὅπως λέγει ὁ Κύριος, «ὅσα σᾶς λέγουν οἱ Ἱερεῖς», καὶ τὰ λοιπά. Διότι καμμία βλάβη δὲν προκαλεῖται σὲ κάποιον, ποὺ ἐρωτᾶ, ἀπὸ [τὰ μὴ ὀρθὰ] ἔργα ἐκείνου, ὁ ὁποῖος τὸν διδάσκει, ἀλλὰ οὔτε πάλι ὄφελος, ἂν δὲν ἐρ-

ζεται αὐτός. Διότι ἕκαστος ὑπὲρ ἑαυτοῦ λόγον δώσει. Ὁ μὲν διδάσκαλος ὑπὲρ τοῦ λόγου αὐτοῦ· ὁ δὲ διδασκόμενος ὑπὲρ τῆς ἐξ ἔργων ὑπακοῆς αὐτοῦ[κε΄]*. Τὸ δὲ ἔξωθεν τούτων, παρὰ τὴν φύσιν ἐστὶ καὶ κατακρίσεως ἄξιον· διότι, ὥς φησιν ὁ Ἅγιος Εὐστράτιος, ἀγαθὸς ὢν ὁ Θεὸς καὶ δίκαιος, καὶ διὰ τῆς ἀγαθότητος πᾶν ἀγαθὸν ἡμῖν χαρίζεται, ὅταν κατ᾽ εὐγνωμοσύνην ἔχωμεν, ὡς ἀπὸ δικαίου πόρου δῆθεν διὰ τῆς εὐχαριστίας. Ἀλλ᾽ ἐὰν ἀγνώμονες φαινώμεθα, ἐκπίπτομεν τοῦ ἀγαθοῦ τῇ δικαιοκρισίᾳ τοῦ Θεοῦ. Ὥστε παντὸς μὲν ἀγαθοῦ, ἡ τοῦ Θεοῦ ἀγαθότης καὶ δικαιοσύνη ἡμῖν πρόξενοι κατὰ φύσιν, κατὰ δὲ παράχρησιν, κολάσεως αἰωνίου.*

γάζεται ὁ ἴδιος [αὐτὰ ποὺ διδάσκεται]. Διότι ὁ καθένας θὰ δώση λόγο γιὰ τὸν ἑαυτόν του. Ὁ μὲν διδάσκαλος γιὰ τοὺς λόγους του, ὁ δὲ μαθητὴς γιὰ τὴν ὑπακοὴ [τὴν ὁποία δείχνει] μὲ τὰ ἔργα του. Ὁτιδήποτε πέρα ἀπὸ αὐτά, εἶναι παρὰ φύσιν καὶ ἄξιο κατακρίσεως. Διότι, ὅπως λέγει ὁ Ἅγιος Εὐστράτιος[ρξα΄], ἐπειδὴ ὁ Θεὸς εἶναι ἀγαθὸς καὶ δίκαιος, μᾶς χαρίζει, λόγῳ τῆς ἀγαθότητός του, κάθε καλό, ὅταν εἴμαστε εὐγνώμονες, [ἀφοῦ μεταχειρίζεται] τὴν εὐχαριστία [μας] σὰν δῆθεν δίκαιο μέσον διαβιβάσεως [πρὸς ἐμᾶς τῶν εὐεργεσιῶν Του]. Ἀλλά, ἐὰν φανοῦμε ἀγνώμονες, ἐκπίπτομε ἀπὸ [κάθε] ἀγαθὸ [Του], σύμφωνα μὲ τὴν δικαία κρίσι τοῦ Θεοῦ. Ὥστε ἡ τοῦ Θεοῦ ἀγαθότης καὶ δικαιοσύνη εἶναι μὲν πρόξενοι κάθε ἀγαθοῦ [σ᾽ ἐμᾶς], ὅταν [τὸ χρησιμοποιοῦμε] κατὰ φύσι, ὅταν ὅμως [κάνωμε] κακὴ χρῆσι του, [γίνεται πρόξενο] αἰωνίου κολάσεως.



[163.] Πλήν, ἐάν τις βουληθῇ πάλιν, βάλλει ἀρχὴν διὰ τῆς μετανοίας· ἔπεσας, φησίν, ἀνάστα[209]. Καὶ πάλιν ἔπεσας, πάλιν ἀνάστα, μὴ ἀπογινώσκων ὅλως τὴν σεαυτοῦ σωτηρίαν, εἴ τι κἂν γίνηται· μηδὲ προδίδου σεαυτὸν ἑκουσίως τῷ ἐχθρῷ καὶ ἀρκεῖ σοι ἡ ὑπομονὴ αὕτη σὺν τῇ αὐτομεμψίᾳ εἰς σωτηρίαν. Ἦμεν, φησὶν ὁ Ἀπόστολος, καὶ ἡμεῖς ποτε ἀνόητοι, πορευόμενοι κατὰ τὰς ἐμαυτῶν ἐπιθυμίας[210], καὶ τὰ ἑξῆς. Καὶ σὺ οὖν μὴ ἀπελπίσῃς ὅλως τὴν τοῦ Θεοῦ βοήθειαν ἀγνοῶν, δύναται γὰρ ὅσα θέλει ποιῆσαι· ἀλλ᾽ ἔλπισον ἐπ᾽ αὐτόν, καὶ ἓν τούτων μέλλει ποιῆσαι· ἢ ὅτι διὰ πειρασμῶν τινων ἢ ἄλλων τρόπων, ὧν οἶδεν αὐτός, τὴν σὴν διόρθωσιν γενέσθαι κατασκευάσει, ἢ δέχεταί σου τὴν ὑπομονὴν καὶ ταπείνωσιν ἀντὶ ἐργασίας· ἢ ἄλλον τρόπον, ὃν οὐκ οἶδας, διὰ τῆς ἐλπίδος ποιήσεται φιλανθρώπως, πρὸς τὸ σῶσαί σου τὴν ἀπαῤῥησίαστον ψυχήν. Μόνον μὴ καταλίπῃς τὸν ἰατρόν, ἐπεὶ κακῶς μέλλεις ὑπομένειν τὸν διπλοῦν θάνατον, διὰ

163. Ἐὰν ὅμως θελήσῃ κανεὶς πάλι νὰ βάλῃ ἀρχὴ [πνευματικοῦ ἀγῶνος, μπορεῖ] μὲ τὴν μετάνοια· «ἔπεσες», λέγει, «σήκω». Καὶ πάλι ἔπεσες, πάλι σήκω[ρξβ'], χωρὶς νὰ ἀπελπίζεσαι καθόλου γιὰ τὴν σωτηρία σου, ὅ,τι κι ἂν γίνῃ· οὔτε νὰ παραδίδῃς τὸν ἑαυτό σου μὲ τὴ θέλησί σου στὸν ἐχθρὸ καὶ σοῦ εἶναι ἀρκετὴ ἡ ὑπομονή σου αὐτὴ μαζὶ μὲ τὴν αὐτομεμψία, γιὰ τὴ σωτηρία [σου]. Εἴμασταν, λέγει ὁ Ἀπόστολος, «καὶ ἐμεῖς κάποτε ἀνόητοι καὶ πορευόμασταν σύμφωνα μὲ τὶς ἐπιθυμίες μας» καὶ τὰ λοιπά. Καὶ σὺ λοιπὸν μὴν ἀπελπιστῇς καθόλου, ἀγνοώντας τὴν βοήθεια τοῦ Θεοῦ, διότι [Αὐτὸς] μπορεῖ νὰ κάνῃ, ὅσα θέλει· ἀλλὰ ἔχε τὴν ἐλπίδα σου σ᾽ Αὐτὸν καὶ [Αὐτὸς] πρόκειται νὰ κάνῃ ἕνα ἀπὸ αὐτά· ἢ μὲ κάποιους πειρασμοὺς ἢ [καὶ μὲ] ἄλλους τρόπους, τοὺς ὁποίους Αὐτὸς γνωρίζει, θὰ ἑτοιμάσῃ τὴν δική σου διόρθωσι ἢ θὰ δεχθῇ τὴν ὑπομονὴ καὶ τὴν ταπείνωσί σου ἀντὶ γιὰ τὴν ἐργασία [σου]· ἢ μὲ τὴν φιλανθρωπία [Του] θὰ εὕρῃ ἄλλο τρόπο, τὸν ὁποῖο ἐσὺ δὲν ξέρεις, μέσω τῆς ἐλπίδος σου, γιὰ νὰ σώσῃ τὴν ψυχή σου, ποὺ δὲν ἔχει παρρησία. Μόνο μὴν ἐγκαταλείψῃς τὸν Ἰατρό, ἐπειδὴ μέλλεις κακῶς νὰ ὑποστῇς τὸν διπλὸ θάνατο [ψυχικὸ καὶ σωματικό], διότι

τὸ μὴ γινώσκειν τὸν σκοπὸν τοῦ Θεοῦ τὸν κεκρυμμένον. Ὡς εἴρηται περὶ τῆς γνώσεως καὶ νῦν ῥηθήσεται περὶ τῆς πράξεως· ὅτι μέσον ἓξ παγίδων ἐστὶ πᾶσα σωματικὴ καὶ ψυχικὴ πρᾶξις· δεξιὰ λέγω καὶ ἀριστερά, ἤτοι ὑπερβολῇ καμάτων καὶ ἐλλείψει· ἄνω καὶ κάτω, ἐπάρσει καὶ ἀπογνώσει· ἔσωθεν καὶ ἔξωθεν, ἤτοι δειλίᾳ καὶ θράσει· περὶ οὗ φησιν ὁ Θεολόγος, ὅτι μακράν ἐστιν ἀπὸ τοῦ θάρσους καθ᾽ ὑπερβολήν, εἰ καὶ τῷ ὀνόματι παρόμοιόν ἐστι· μέσον δὲ τῶν ἓξ παγίδων ἡ σύμμετρος ἐργασία ἐν ταπεινώσει καὶ ὑπομονῇ. Θαυμάσαι δὲ χρὴ τὸν ἀνθρώπινον νοῦν, πῶς μετατρέπει τὰ ὄντα πάντα ἐν ἑαυτῷ, ὡς βούλεται, εἰ καὶ ἀμετάτρεπτά εἰσι καὶ ἐν ἄλλοις οὕτω μένουσι. Καὶ τούτου χάριν τὸν αὐτὸν σκοπὸν οὐ πάντες ἔχομεν περὶ τῶν ὄντων, ἀλλ᾽ ἕκαστος ὡς θέλει χρᾶται τοῖς πράγμασιν, εἴτε καλῶς, εἴτε κακῶς· τὰ μὲν αἰσθητά, ἔργῳ· τὰ δὲ νοητά, λόγῳ καὶ διαλογισμῷ. Τέσσαρες, ὡς ἐμοὶ δοκεῖ, θεωρίαι εἰσι, κατὰ δὲ τὸν Θεολόγον καταστάσεις, πάντες

δὲν γνωρίζεις τὸν κρυφὸ σκοπὸ τοῦ Θεοῦ. Ὅπως ἔχει λεχθῆ περὶ τῆς γνώσεως, [ἔτσι] καὶ τώρα θὰ λεχθῇ περὶ τῆς πράξεως. Κάθε δηλαδὴ σωματικὴ καὶ ψυχικὴ πρᾶξι εὑρίσκεται ἀνάμεσα σὲ ἓξ παγίδες, δεξιὰ λέγω καὶ ἀριστερά· δηλαδὴ [ἀνάμεσα] στὴν ὑπερβολὴ καὶ τὴν ἔλλειψι τῶν κόπων· ἐπάνω καὶ κάτω [δηλαδὴ ἀνάμεσα] στὴν ὑψηλοφροσύνη καὶ στὴν ἀπόγνωσι· ἐσωτερικὰ καὶ ἐξωτερικὰ [δηλαδὴ ἀνάμεσα] στὴν δειλία καὶ στὸ θράσος· για τὸ ὁποῖο [θράσος] λέγει ὁ Θεολόγος[ρξγ΄], ὅτι ἀπέχει πάρα πολὺ ἀπὸ τὸ θάρρος, ἂν καὶ στὸ ὄνομα εἶναι παρόμοιο· στὸ μέσον δὲ τῶν ἓξ παγίδων εὑρίσκεται ἡ ἐργασία μὲ μέτρο, [ποὺ γίνεται] μὲ ταπείνωσι καὶ ὑπομονή. Πρέπει δὲ νὰ θαυμάσῃ [κανεὶς] τὸν ἀνθρώπινο νοῦ, πῶς μετατρέπει μέσα του ὅλα τὰ ὄντα, ὅπως [αὐτὸς] θέλει, ἂν καὶ εἶναι ἀμετάβλητα καὶ σὲ ἄλλους παραμένουν ἔτσι [ὅπως ἀκριβῶς εἶναι]. Καὶ γι᾽ αὐτὸ δὲν ἔχομε ὅλοι τὸν ἴδιο στόχο γιὰ τὰ ὄντα, ἀλλὰ ὁ καθένας μεταχειρίζεται τὰ πράγματα ὅπως θέλει, εἴτε καλῶς εἴτε κακῶς· τὰ μὲν αἰσθητὰ μὲ τὸ ἔργο, τὰ δὲ νοητὰ μὲ τὸν λόγο καὶ τὸν λογισμό. Σὲ τέσσερις, ὅπως νομίζω, θεωρίες ἢ κατὰ τὸν Θεολόγο καταστάσεις, ἀνήκουν ὅλοι οἱ ἄνθρωποι. Ἄλλοι μὲν εἶναι καλὰ [δηλαδὴ σὲ καλὴ κατάστασι] καὶ ἐδῶ [στὸν κόσμο αὐτὸ]

οἱ ἄνθρωποι. Οἱ μέν, καλῶς ὧδε καὶ ἐν τῷ μέλλοντι, ὡς οἱ ἅγιοι πάντες, καὶ οἱ ἀπαθεῖς γενόμενοι· οἱ δέ, ὧδε μόνον καλῶς, ὡς εὐεργετούμενοι ἀναξίως ψυχικῶς ἢ σωματικῶς, διὰ τὸ μὴ ἔχειν εὐγνωμοσύνην περὶ τὸν Εὐεργέτην, ὡς ὁ πλούσιος ἐκεῖνος καὶ οἱ τοιοῦτοι· ἄλλοι πάλιν, ὧδε μόνον κολάζονται, ὡς οἱ μακρᾷ νόσῳ κεκρατημένοι, ὡς ὁ παράλυτος ἐκεῖνος καὶ οἱ πειραζόμενοι εὐχαρίστως ἐξ ἰδίας γνώμης· καὶ ἕτεροι πάλιν ὧδε κἀκεῖ κολάζονται· ὡς οἱ πειραζόμενοι ἐξ ἰδίων θελημάτων, κατὰ τὸν Ἰούδαν καὶ τοὺς τοιούτους. Καὶ πάλιν τέσσαρας ἔχουσι σκοποὺς περὶ τῶν αἰσθητῶν πραγμάτων. Οἱ μέν, μισοῦσι τὰ ἔργα τοῦ Θεοῦ, ὡς οἱ δαίμονες, καὶ ἐκ κακῆς προαιρέσεως κακίζουσιν· οἱ δέ, ὡς καλὰ φιλοῦσι, πλὴν ἐμπαθῶς, ὡς τὰ ἄλογα ζῷα, μηδὲν περὶ φυσικῆς θεωρίας ἢ εὐχαριστίας μεριμνῶντες· καὶ ἄλλοι, ὡς ἄνθρωποι, φυσικῶς μετὰ γνώσεως πνευματικῆς καὶ εὐχαριστίας, χρώμενοι πᾶσι μετ' ἐγκρατείας· ἕτεροι δὲ πάλιν ὑπερ-

καὶ στὴν μέλλουσα ζωή, ὅπως ὅλοι οἱ Ἅγιοι, καὶ ἐκεῖνοι, οἱ ὁποῖοι ἔγιναν ἀπαθεῖς· ἄλλοι δέ, εἶναι μόνον ἐδῶ καλά, διότι εὐεργετοῦνται ἀναξίως ψυχικὰ ἢ σωματικά, ἐπειδὴ δὲν ἔχουν εὐγνωμοσύνη πρὸς τὸν Εὐεργέτη, ὅπως ἐκεῖνος ὁ πλούσιος [τῆς παραβολῆς] καὶ οἱ ὅμοιοί [του]· ἄλλοι πάλι ἐδῶ μόνο τιμωροῦνται, ὅπως αὐτοί, οἱ ὁποῖοι ἔχουν κυριευθῆ ἀπὸ μακροχρόνια ἀσθένεια, σὰν ἐκεῖνον τὸν παράλυτο [τῆς παραβολῆς] καὶ ὅσοι δοκιμάζονται [καὶ δέχονται τὸν πειρασμὸ] μὲ εὐχαρίστησι ἀπὸ [καλή τους] προαίρεσι· καὶ ἄλλοι πάλι [καὶ] ἐδῶ καὶ ἐκεῖ τιμωροῦνται, ὅπως αὐτοὶ ποὺ πειράζονται ἐξ αἰτίας τῶν δικῶν τους θελημάτων, σὰν τὸν Ἰούδα καὶ τοὺς ὁμοίους [του]. Καὶ πάλι, [οἱ ἄνθρωποι] ἔχουν τέσσερις σκοποὺς [στόχους ἢ διαθέσεις] γιὰ τὰ αἰσθητὰ πράγματα. Ἄλλοι μισοῦν τὰ ἔργα τοῦ Θεοῦ, ὅπως οἱ δαίμονες, καὶ ἀπὸ κακὴ προαίρεσι τὰ κατηγοροῦν [ὡς κακά]· ἄλλοι τὰ ἀγαποῦν ὡς καλά, ἀλλὰ μὲ ἐμπάθεια, ὅπως τὰ ἄλογα ζῶα, χωρὶς νὰ φροντίζουν καθόλου γιὰ τὴ φυσικὴ θεωρία ἢ τὴν εὐχαριστία [τοῦ Θεοῦ]. Καὶ ἄλλοι ὡς ἄνθρωποι κατὰ φύσιν μὲ πνευματικὴ γνῶσι καὶ εὐχαριστία τὰ χρησιμοποιοῦν ὅλα μὲ ἐγκράτεια· ἄλλοι δὲ πάλι, ὑπερφυ-

φυῶς, ὡς Ἄγγελοι, θεωροῦσι πρὸς δόξαν τοῦ Ποιητοῦ πάντα, μηδὲν χρώμενοι τούτων, εἰ μὴ μόνον τὰ πρὸς τὸ ζῆν, κατὰ τὸν Ἀπόστολον[211], ἀναγκαῖα.

σικὰ σὰν ἄγγελοι, τὰ θεωροῦν ὅλα πρὸς δόξα τοῦ Δημιουργοῦ, χωρὶς νὰ χρησιμοποιοῦν τίποτα ἀπὸ αὐτά, παρὰ μόνον τὰ «ἀπαραίτητα γιὰ τὴ ζωή τους», κατὰ τὸν Ἀπόστολο.

ΠΕΡΙ ΤΩΝ ΠΕΡΙΕΚΤΙΚΩΝ ΚΑΙ ΙΔΙΚΩΝ ΕΥΕΡΓΕΣΙΩΝ ΤΟΥ ΘΕΟΥ

ΠΕΡΙ ΤΩΝ ΓΕΝΙΚΩΝ ΚΑΙ ΕΙΔΙΚΩΝ ΕΥΕΡΓΕΣΙΩΝ ΤΟΥ ΘΕΟΥ

[164.] Διὰ τοῦτο ὀφείλομεν εὐχαριστεῖν ἀεὶ τῷ Θεῷ πάντες οἱ ἄνθρωποι, ὑπέρ τε τῶν περιεκτικῶν καὶ τῶν ἰδικῶν εὐεργεσιῶν, τῶν τε ψυχικῶν καὶ τῶν σωματικῶν. Καὶ τὰ μὲν περιεκτικά εἰσι τέσσαρα στοιχεῖα, καὶ πάντα τὰ ἐξ αὐτῶν γινόμενα καὶ πάντα τὰ ἐν ταῖς θείαις Γραφαῖς κείμενα τοῦ Θεοῦ θαυμάσια καὶ ἐξαίσια πράγματα· τὰ δὲ ἰδικά, ὅσα ὁ Θεὸς ἑκάστῳ ἀνθρώπῳ δέδωκεν· εἴτε πλοῦτον πρὸς ἐλεημοσύνην, εἴτε πενίαν πρὸς ὑπομονὴν εὐχάριστον, εἴτε ἐξουσίαν πρὸς δικαιοκρισίαν καὶ σύστασιν ἀρετῆς, εἴτε ὑποταγὴν καὶ δουλείαν πρὸς ἕτοιμον σωτη-

164. Γι᾽ αὐτὸ ὀφείλομε νὰ εὐχαριστοῦμε πάντοτε τὸν Θεὸ ὅλοι οἱ ἄνθρωποι, καὶ γιὰ τὶς γενικὲς καὶ γιὰ τὶς εἰδικὲς εὐεργεσίες καὶ τὶς ψυχικὲς καὶ τὶς σωματικές· καὶ τὰ μὲν γενικὰ [εὐεργετήματα] εἶναι τὰ τέσσερα στοιχεῖα [ἀήρ, ὕδωρ, γῆ, πῦρ] καὶ ὅλα ὅσα προέρχονται ἀπὸ αὐτά, [ὡς] καὶ ὅλα τὰ θαύματα καὶ ἐξαίσια πράγματα, τὰ ὁποῖα εὑρίσκονται στὶς θεῖες Γραφές· τὰ δὲ εἰδικὰ [εἶναι] ὅσα ὁ Θεὸς ἔχει δώσει ἰδιαιτέρως στὸν κάθε ἄνθρωπο· εἴτε πλοῦτο [νὰ τὸν χρησιμοποιῇ] γιὰ ἐλεημοσύνη, εἴτε πτωχεία γιὰ νὰ τὴν ὑπομένῃ μὲ εὐχαριστία, εἴτε ἐξουσία γιὰ νὰ ἀποδίδῃ τὴν δικαιοσύνη καὶ ὅ,τι συνιστᾶ τὴν ἀρετή, εἴτε ὑποταγὴ καὶ δουλεία γιὰ ἄμεση σωτη-

ρίαν ψυχῆς, εἴτε ὑγείαν πρὸς βοήθειαν τοῖς χρήζουσι καὶ ἐργασίαν κατὰ Θεόν, εἴτε νόσον πρὸς στέφανον τῆς ὑπομονῆς, εἴτε γνῶσιν καὶ δύναμιν πρὸς κτῆσιν ἀρετῶν, εἴτε ἀδυναμίαν καὶ ἀγνωσίαν πρὸς ὑποταγὴν ἐν ἡσυχίᾳ μετὰ ταπεινώσεως καὶ φυγῆς τῶν πραγμάτων· εἴτε ἀκούσιον στέρησιν τῶν πραγμάτων, πρὸς σωτηρίαν ἑκούσιον καὶ βοήθειαν τοῖς μὴ δυναμένοις ἐλθεῖν πρὸς τελειότητα τῆς ἀκτημοσύνης, ἢ κἂν πρὸς ἐλεημοσύνην, εἴτε ἄνεσιν καὶ εὐημερίαν, πρὸς τὸ ἑκουσίως ἀγωνίζεσθαι καὶ πονεῖν εἰς τὰς ἀρετάς, ὥστε ἀπαθεῖς γενέσθαι καὶ ἄλλας σῶσαι ψυχάς· εἴτε πειρασμὸν καὶ δυσχέρειαν, πρὸς τὸ ἀκουσίως σωθῆναι τοὺς μὴ δυναμένους ἐκκόψαι τὰ οἰκεῖα θελήματα, ἢ πάλιν πρὸς τελειότητα τῶν δυναμένων ὑπομεῖναι μετὰ χαρᾶς. Πάντα τοίνυν τὰ εἰρημένα, κἂν ἐναντία ἀλλήλων εἰσίν, ἀλλ᾽ οὖν κατὰ χρῆσιν μὲν πάντα καλὰ λίαν· παρὰ δὲ τὴν χρῆσιν, οὐκ εἰσὶ καλά, ἀλλὰ μᾶλλον βλαβερὰ τῇ ψυχῇ καὶ τῷ σώματι. Κρείττων δὲ πάντων τῶν

ρία τῆς ψυχῆς, εἴτε ὑγεία [ἀφ᾽ ἑνὸς] γιὰ νὰ βοηθῇ αὐτούς, οἱ ὁποῖοι ἔχουν ἀνάγκη καὶ [ἀφ᾽ ἑτέρου αὐτὸς νὰ κάνῃ] τὴν κατὰ Θεὸν ἐργασίαν, εἴτε ἀσθένεια [πρόξενον] στεφάνου τῆς ὑπομονῆς, εἴτε γνῶσι καὶ δύναμι πρὸς ἀπόκτησι τῶν ἀρετῶν, εἴτε ἀδυναμία καὶ ἐπίγνωσι ἀγνοίας [ὥστε νὰ καταφύγῃ] στὴν ὑποταγὴ μὲ ταπείνωσι καὶ φυγὴ ἀπὸ τὰ πράγματα [τοῦ κόσμου], εἴτε ἀκούσια στέρησι τῶν ὑπαρχόντων του [γιὰ νὰ ἐπιτευχθῇ ἔτσι] σωτηρία μὲ τὴ θέλησί μας καὶ βοήθεια ἐκείνων, οἱ ὁποῖοι δὲν μποροῦν νὰ φθάσουν στὴν τελειότητα τῆς ἀκτημοσύνης ἢ τουλάχιστον γιὰ ἐλεημοσύνη, εἴτε ἄνεσι καὶ εὐημερία, γιὰ νὰ [μποροῦν μὲ τὴ θέλησί τους] νὰ ἀγωνίζωνται καὶ νὰ κοπιάζουν γιὰ τὶς ἀρετές, ὥστε νὰ γίνουν ἀπαθεῖς καὶ νὰ σώσουν κι ἄλλες ψυχές· εἴτε πειρασμὸ καὶ δυσκολία γιὰ νὰ σωθοῦν καὶ χωρὶς νὰ θέλουν, ἐκεῖνοι οἱ ὁποῖοι δὲν μποροῦν νὰ κόψουν τὰ δικά τους θελήματα ἢ πάλι γιὰ [νὰ φθάσουν] στὴν τελειότητα ἐκείνων, οἱ ὁποῖοι μποροῦν νὰ κάνουν ὑπομονὴ μὲ χαρά. Ὅλα λοιπόν, ὅσα ἐλέχθηκαν κι ἂν ἀκόμη εἶναι ἀντίθετα μεταξύ τους, εἶναι ὅμως ὅλα πολὺ καλά, ἀρκεῖ νὰ χρησιμοποιηθοῦν [σωστά]· ἂν ὅμως δὲν χρησιμοποιηθοῦν, ὅπως πρέπει, δὲν εἶναι καλά, ἀλλὰ μᾶλλον βλαβερὰ στὴν ψυχὴ καὶ στὸ σῶμα. Καλύτερο ὅμως ἀπὸ ὅλα ὅσα

εἰρημένων ἡ τῶν θλιβερῶν ὑπομονή· καὶ ὁ καταξιωθεὶς τοῦ μεγάλου τούτου χαρίσματος ὀφείλει εὐχαριστεῖν τῷ Θεῷ, ὡς μείζονα εὐεργετηθείς. Μίμημα γὰρ Χριστοῦ, καὶ τῶν ἁγίων Ἀποστόλων αὐτοῦ, Μαρτύρων τε καὶ Ὁσίων ἐγένετο· διότι πολλὴν δύναμιν καὶ γνῶσιν παρὰ Θεῷ ἔλαβε, πρὸς τὸ ἑκουσίως τῶν ἡδέων ἀπέχεσθαι καὶ τῶν δυσχερῶν μᾶλλον ἐφίεσθαι δι᾽ ἐκκοπῆς τῶν οἰκείων θελημάτων καὶ ἀρνήσεως τῶν μὴ κατὰ Θεὸν νοημάτων, ἵνα τὰ ἀρέσκοντα Θεῷ ποιῇ καὶ νοῇ ἀείποτε. Καὶ οἱ μὲν καταξιωθέντες μετελθεῖν τὰ πράγματα κατὰ χρῆσιν ὀφείλουσι τῷ Θεῷ μεγάλως εὐχαριστεῖν, ἐν ταπεινώσει πολλῇ, ὅτι ἀπὸ τῶν παρὰ φύσιν καὶ τῆς παραβάσεως τῶν ἐντολῶν ἠλευθερώθησαν, χάριτι Θεοῦ. Ἡμεῖς δὲ οἱ ἔτι ἐμπαθεῖς καὶ παραχρώμενοι τοῖς πράγμασιν, ὡς παρὰ φύσιν ποιοῦντες, τρέμειν ὀφείλομεν καὶ μεγάλως εὐχαριστεῖν τῷ Εὐεργέτῃ μετὰ πάσης εὐγνωμοσύνης, θαυμάζοντες αὐτοῦ τὴν ἄφατον μακροθυμίαν, ὅτι καὶ παρακούοντες αὐτοῦ τὰς ἐντολὰς

εἴπαμε εἶναι ἡ ὑπομονὴ στὶς θλιβερὲς καταστάσεις· καὶ ἐκεῖνος, ὁ ὁποῖος ἀξιώθηκε αὐτοῦ τοῦ μεγάλου χαρίσματος, ὀφείλει νὰ εὐχαριστῇ τὸν Θεό, γιατὶ εὐεργετήθηκε, ἐπειδὴ ἔγινε μιμητὴς τοῦ Χριστοῦ καὶ τῶν ἁγίων Ἀποστόλων Του, τῶν Μαρτύρων καὶ τῶν Ὁσίων· διότι ἔλαβε μεγάλη δύναμι καὶ γνῶσι ἀπὸ τὸν Θεό, νὰ ἀπομακρυνθῇ ἀπὸ τὰ ἡδονικὰ μὲ τὴν θέλησί του καὶ νὰ ἐπιθυμῇ μᾶλλον τὰ δύσκολα μὲ τὴν ἀποκοπὴ τῶν δικῶν του θελημάτων καὶ μὲ τὴν ἄρνησι τῶν λογισμῶν του, ποὺ δὲν εἶναι σύμφωνες μὲ τὸ θέλημα τοῦ Θεοῦ, γιὰ νὰ κάνῃ καὶ νὰ σκέπτεται πάντοτε ὅσα ἀρέσουν στὸν Θεό. Καὶ αὐτοὶ μέν, οἱ ὁποῖοι ἀξιώθηκαν νὰ μεταχειρισθοῦν τὰ πράγματα σύμφωνα μὲ τὴν φυσική τους χρῆσι, ὀφείλουν μὲ πολλὴ ταπείνωσι νὰ εὐχαριστοῦν ὑπερβαλλόντως τὸν Θεό, διότι μὲ τὴν Χάρι Του ἐλευθερώθηκαν ἀπὸ τὰ παρὰ φύσιν καὶ ἀπὸ τὴν παράβασι τῶν ἐντολῶν [Του]. Ἐμεῖς ὅμως, [οἱ ὁποῖοι εἴμαστε] ἀκόμη ἐμπαθεῖς καὶ οἱ ὁποῖοι κάνομε κακὴ χρῆσι τῶν πραγμάτων, γιατὶ ἐνεργοῦμε παρὰ φύσιν, ὀφείλομε νὰ διακατεχώμαστε ἀπὸ δέος καὶ νὰ εὐχαριστοῦμε πολὺ τὸν Εὐεργέτη μὲ ὅλη [μας] τὴν εὐγνωμοσύνη, θαυμάζοντας τὴν ἀνέκφραστη μακροθυμία Του, διότι ἂν καὶ παρακοῦμε τὶς ἐντολές Του

καὶ παραχρώμενοι τοῖς πράγμασι καὶ τὰς δωρεὰς αὐτοῦ ἀποστρεφόμενοι, ἀνέχεται ἡμῶν τὴν ἀγνωμοσύνην καὶ εὐεργετῶν ἡμᾶς οὐ διαλιμπάνει, ἀλλ᾽ ἀναμένει τὴν ἐπιστροφὴν ἡμῶν καὶ μετάνοιαν ἕως ἐσχάτης ἀναπνοῆς. Ὥστε εὐχαριστεῖν αὐτῷ ὀφείλομεν πάντες οἱ ἄνθρωποι, ὡς εἴρηται· ἐν παντὶ εὐχαριστεῖτε[212]*. Καὶ ἐκ τούτου γίνεται ἕτερον ῥῆμα τοῦ Ἀποστόλου, ὥς φησιν· ἀδιαλείπτως προσεύχεσθε*[213]*, ἤτοι τὸ ἔχειν μνήμην Θεοῦ ἐν παντὶ καιρῷ, τόπῳ τε καὶ πράγματι. Ὅτι εἴ τι δ᾽ ἂν ποιῇ τις, ὀφείλει ἔχειν τὴν μνήμην τοῦ ποιητοῦ τοῦ τυχόντος πράγματος. Οἷον βλέπεις τὸ φῶς, μὴ ἐπιλάθῃ τὸν τοῦτό σοι δωρησάμενον. Βλέπεις οὐρανὸν καὶ γῆν, θάλασσαν καὶ πάντα τὰ ὄντα, θαύμασον καὶ δόξασον τὸν ποιήσαντα. Ἱμάτιον περιεβάλου, γίνωσκε τίνος τὸ δώρημα καὶ ὕμνησον τὸν προνοοῦντά σου τὴν ζωήν. Καὶ ἁπλῶς πᾶν κίνημα, ἀφορμὴ πρὸς δόξαν Θεοῦ γενέσθω σοι, καὶ ἰδοὺ ἀδιαλείπτως προσεύχῃ. Καὶ ἐκ τούτων πάντοτε ἡ ψυχὴ χαίρεται, κατὰ τὸν Ἀπόστολον*[214]*.*

καὶ κάνωμε κακὴ χρῆσι τῶν πραγμάτων καὶ ἀποστρεφώμεθα τὶς δωρεές Του, ἀνέχεται τὴν ἀχαριστία μας καὶ δὲν παύει νὰ μᾶς εὐεργετῇ· ἀλλὰ ἀναμένει τὴν ἐπιστροφὴ καὶ τὴν μετάνοιά μας, ἕως ἐσχάτης μας ἀναπνοῆς. Ὥστε ὅλοι οἱ ἄνθρωποι ὀφείλομε νὰ εὐχαριστοῦμε Αὐτόν, ὅπως ἔχει λεχθῆ, «γιὰ τὸ κάθε τι νὰ εὐχαριστῆτε». Καὶ ἀπὸ αὐτὸ προέρχεται ὁ ἄλλος λόγος τοῦ Ἀποστόλου, ὁ ὁποῖος λέγει, «νὰ προσεύχεσθε ἀδιάκοπα», δηλαδὴ νὰ ἔχῃς τὴν μνήμη τοῦ Θεοῦ, σὲ κάθε χρόνο καὶ πρᾶγμα. Διότι ὁτιδήποτε καὶ ἂν κάνῃ κανείς, ὀφείλει νὰ θυμᾶται τὸν Δημιουργὸ τοῦ κάθε πράγματος. Ὅπως [ὅταν] βλέπῃς τὸ φῶς, μὴν λησμονήσῃς Αὐτὸν ποὺ σοῦ τὸ χάρισε. Βλέπεις τὸν οὐρανὸ καὶ τὴ γῆ, τὴν θάλασσα καὶ ὅλα τὰ ὄντα, θαύμασε καὶ δόξασε Ἐκεῖνον, ὁ Ὁποῖος τὰ ἐδημιούργησε. Ἐντύθηκες φόρεμα, γνώριζε τίνος [εἶναι] τὸ δῶρο καὶ ὕμνησε Ἐκεῖνον, ὁ ὁποῖος προνοεῖ [γιὰ ὅλη] τὴν ζωή σου. Καὶ γενικὰ κάθε κίνησι νὰ σοῦ γίνῃ ἀφορμὴ γιὰ δοξολογία τοῦ Θεοῦ· καὶ ἰδοὺ θὰ προσεύχεσαι ἀδιάκοπα. Καὶ ἀπὸ [ὅλα] αὐτὰ ἡ ψυχὴ «χαίρεται πάντοτε», κατὰ τὸν Ἀπόστολο.

Ἡ γὰρ μνήμη τοῦ Θεοῦ εὐφραίνει αὐτήν, φησὶν ὁ Ἅγιος Δωρόθεος, μάρτυρα τὸν Δαβὶδ ἐπιφέρων· ἐμνήσθην, φησί, τοῦ Θεοῦ καὶ ηὐφράνθην[215].

Διότι ἡ μνήμη τοῦ Θεοῦ εὐφραίνει αὐτήν, λέγει ὁ Ἅγιος Δωρόθεος[ρξδ'], φέρνοντας μάρτυρα τὸν Δαβίδ, ὁ ὁποῖος λέγει: «ἔφερα στὴ μνήμη μου τὸν Θεὸ καὶ εὐφράνθηκε ἡ [ψυχή μου].

ΟΤΙ ΠΑΝΤΑ ΠΡΟΣ ΤΟ ΣΥΜΦΕΡΟΝ ΗΜΙΝ ΕΠΟΙΗΣΕΝ Ο ΘΕΟΣ

ΟΤΙ ΟΛΑ ΠΡΟΣ ΤΟ ΣΥΜΦΕΡΟΝ ΜΑΣ ΤΑ ΕΚΑΝΕ Ο ΘΕΟΣ

[165.] Διότι πάντα τὰ ὄντα πρὸς ὠφέλειαν ἡμῶν ὁ Θεὸς ἐποίησεν· ὑπὸ μὲν τῶν Ἀγγέλων φυλαττόμεθα καὶ διδασκόμεθα, ὑπὸ δὲ τῶν δαιμόνων πειραζόμεθα, πρὸς τὸ ταπεινωθῆναι καὶ φεύγειν πρὸς τὸν Θεόν· δι᾽ ὧν σῳζόμεθα, καὶ τῆς ἐπάρσεως καὶ ἀμελείας λυτρούμεθα φόβῳ τῶν πειρασμῶν. Καὶ πάλιν· ἐκ μὲν τῶν ἡδέων τοῦ κόσμου, ὑγείας, φημί, εὐημερίας, ἰσχύος, ἀναπαύσεως, χαρᾶς, φωτός, γνώσεως, πλούτου, προκοπῆς ἐν πᾶσιν, εἰρηνικῆς καταστάσεως, ἀπολαύσεως τιμῆς, ἐξουσίας, δαψιλείας καὶ πάντων τῶν νομιζομένων καλῶν ἐν τῷ βίῳ τούτῳ, ἀναγόμεθα πρὸς εὐχαριστίαν καὶ

165. Διότι ὁ Θεὸς ἔκανε ὅλα τὰ ὄντα γιὰ δική μας ὠφέλεια· ἀπὸ μὲν τοὺς Ἀγγέλους προστατευόμαστε καὶ διδασκόμαστε, ἀπὸ δὲ τοὺς δαίμονες πειραζόμαστε, γιὰ νὰ ταπεινωθοῦμε καὶ νὰ καταφεύγωμε στὸν Θεό· διὰ τῶν ὁποίων σωζόμαστε καὶ μὲ τὸν φόβο τῶν πειρασμῶν λυτρωνόμαστε ἀπὸ τὴν ἔπαρσι καὶ τὴν ἀμέλεια. Καὶ πάλι· ἀπὸ τὰ εὐχάριστα τοῦ κόσμου, ἐννοῶ τὴν ὑγεία, τὴν εὐημερία, τὴν δύναμι, τὴν ἀνάπαυσι, τὴν χαρά, τὸ φῶς, τὴν γνῶσι, τὸν πλοῦτο, τὴν προκοπὴ σὲ ὅλα, τὴν εἰρηνικὴ κατάστασι, τὴν ἀπόλαυσι τῆς τιμῆς, τὴν ἐξουσία, τὴν ἀφθονία καὶ ὅλα τὰ θεωρούμενα καλὰ στὴ ζωὴ αὐτή, ὁδηγούμεθα στὴν εὐχαριστία καὶ

εὐγνωμοσύνην περὶ τὸν Εὐεργέτην· καὶ πρὸς τὸ ἀγαπᾶν αὐτὸν καὶ ποιεῖν τὸ κατὰ δύναμιν ἀγαθόν, ὡς χρέος ἔχοντες φυσικὸν ὑπὲρ τῶν δωρεῶν δι' ἀγαθοεργίας ἀνταμεῖψαι νομίζοντες δῆθεν, καίπερ οὐκ ἔστι δυνατὸν τοῦτο, ἀλλὰ μεῖζον χρέος. Ἐκ δὲ τῶν νομιζομένων δυσχερῶν, νόσου, δυσχερείας, κόπου, ἀσθενείας, λύπης ἀκουσίου, σκότους, ἀγνωσίας, πενίας, δυστυχίας ἐν πᾶσι, φόβου στερήσεως, ἀτιμίας, καταπονήσεως, ἐνδείας καὶ πάντων τῶν ἐναντιουμένων τοῖς προειρημένοις, ἐρχόμεθα πρὸς ὑπομονήν, ταπείνωσίν τε καὶ ἀγαθὴν ἐλπίδα ἐν τῷ μέλλοντι· οὐ μόνον δὲ ἀλλὰ καὶ ἐν τῷ νῦν αἰῶνι μεγάλων παρακλήσεων ἡμῖν πρόξενοι γίνονται. Ὥστε πάντα καλὰ ἡμῖν ὁ Θεὸς ᾠκονόμησε θαυμασίως, δι' ἄφατον ἀγαθότητα. Καὶ ὁ μὲν θέλων ταῦτα γινώσκειν καὶ ὡς δεῖ ἔχειν, ἀγωνιζέσθω εἰς τὴν κτῆσιν τῶν ἀρετῶν, ὥστε πάντα τὰ εἰρημένα δέχεσθαι μετ' εὐχαριστίας, τά τε καλὰ καὶ τὰ φαινόμενα ἐναντία, καὶ ἐν πᾶσιν ἀτάραχος εὑρίσκεται. Καὶ οὐ μόνον

στὴν εὐγνωμοσύνη πρὸς τὸν Εὐεργέτη· καὶ στὸ νὰ Τὸν ἀγαποῦμε καὶ νὰ κάνωμε κατὰ δύναμι τὸ ἀγαθόν, ὡς νὰ ἔχωμε φυσικὸ τὸ χρέος γιὰ τὶς δωρεές [Του], νομίζοντας ὅτι θὰ Τὸν ἀνταμείψωμε δῆθεν μὲ τὶς ἀγαθοεργίες [μας], ἂν καὶ αὐτὸ δὲν εἶναι δυνατόν, ἀλλὰ καὶ [κάνει] τὸ χρέος μας μεγαλύτερο. Ἀπὸ αὐτὰ δέ, τὰ ὁποῖα θεωροῦνται δυσάρεστα, δηλαδὴ τὴν ἀρρώστια, τὴν δοκιμασία, τὸν κόπο, τὴν ἀδυναμία, τὴν ἀκούσια λύπη, τὸ σκοτάδι, τὴν ἄγνοια, τὴν πτωχεία, τὴν δυστυχία σὲ ὅλα, τὸ φόβο τῆς στερήσεως τῶν ἀγαθῶν, τὴν ἀτιμία, τὴν καταπόνησι, τὴν ἔλλειψι [τῶν ἀναγκαίων] καὶ ὅλα ὅσα εἶναι ἀντίθετα ἀπὸ τὰ προηγούμενα [εὐχάριστα], φθάνομε στὴν ὑπομονή, στὴν ταπείνωσι καὶ στὴν ἀγαθὴ ἐλπίδα γιὰ τὰ μελλοντικά· καὶ ὄχι μόνον [αὐτό], ἀλλὰ καὶ στὴν παροῦσα ζωὴ μᾶς προξενοῦν μεγάλη παρηγορία. Ὥστε ὅλα καλὰ τὰ οἰκονόμησε ὁ Θεὸς γιὰ μᾶς, μὲ θαυμαστὸ τρόπο, μὲ τὴν ἀπερίγραπτη ἀγαθότητά Του. Καὶ αὐτός, ὁ ὁποῖος θέλει νὰ τὰ γνωρίζῃ αὐτὰ καὶ νὰ τὰ κατέχῃ ὅπως πρέπει, ἂς ἀγωνίζεται γιὰ τὴν ἀπόκτησι τῶν ἀρετῶν, ὥστε νὰ δέχεται ὅλα ὅσα ἔχομε ἀναφέρει προηγουμένως μὲ εὐχαριστία καὶ τὰ καλὰ καὶ ὅσα φαίνονται ἀντίθετα καὶ νὰ εἶναι ἀτάραχος σὲ ὅλα. Καὶ ὄχι μόνον

ἐν τούτοις, ἀλλὰ καὶ ὅταν ὑπερήφανον λογισμόν, πρὸς τὸ ὑψῶσαι αὐτόν, οἱ δαίμονες προβάλλωσι, τότε μιμνήσκεται τὰ πρῴην ὑπ᾽ αὐτῶν λεγόμενα αἴσχιστα, καὶ καταβάλλει τοῦτον καὶ πρὸς ταπείνωσιν ἔρχεται. Καὶ ὅταν πάλιν αἴσχιστόν τι προβάλλωσι, τὸν ὑπερήφανον ἐκεῖνον μνησθείς, καταβάλλει τοῦτον. Ὥστε καταβάλλειν ἀλλήλους ποιεῖ, συνεργίᾳ τῆς χάριτος διὰ τῆς μνήμης· ἵνα μήτε πρὸς ἀπόγνωσιν διὰ τὰ αἴσχιστα, μήτε πρὸς ἀπόνοιαν διὰ τὴν οἴησιν ἔλθῃ ποτέ· ἀλλ᾽ ὅταν ὑψώσῃ τὸν νοῦν αὐτοῦ, φεύγει πρὸς τὴν ταπείνωσιν. Καὶ ὅταν ταπεινώσωσιν αὐτὸν οἱ ἐχθροί, πρὸς τὸν Θεὸν ὑψοῦται διὰ τῆς ἐλπίδος, ἵνα μηδέποτε θορυβήσας πέσῃ, μηδὲ πάλιν δειλιάσας ἀπογινώσκῃ, ἕως ἐσχάτης ἀναπνοῆς. Καὶ αὕτη ἐστὶν ἡ μεγάλη ἐργασία τοῦ Μοναχοῦ, ὡς λέγει τὸ Γεροντικόν. Ἀλλ᾽ ὅταν ταύτην προβάλλωσιν οἱ πολέμιοι, αὐτὸς τὴν ἄλλην προβάλλει· καὶ ὅταν ἐκεῖνοι τὴν ἄλλην, αὐτὸς ταύτην εἰς μέσον ἄγει, γινώσκων ὅτι οὐδέν ἐστιν ἐν τῷ βίῳ τού-

σ᾽ αὐτά, ἀλλὰ καὶ ὅταν οἱ δαίμονες τοῦ προτείνουν ὑπερήφανο λογισμό, γιὰ νὰ τὸν [κάνουν] νὰ ὑψηλοφρονήσῃ, τότε νὰ ἀνακαλῇ στὴν μνήμη του τὰ προηγούμενα αἰσχρότατα, τὰ ὁποῖα αὐτοὶ τοῦ ἔλεγαν καὶ νὰ νικᾷ [τὸν λογισμὸν αὐτὸ] καὶ νὰ ὁδηγῆται στὴν ταπείνωσι. Καὶ ὅταν πάλι τοῦ ὑποβάλλουν κάποιον πολὺ αἰσχρὸ [λογισμό], νὰ θυμᾶται τὸν ὑπερήφανο ἐκεῖνον [προηγούμενο λογισμὸ] καὶ ἔτσι νὰ νικᾷ αὐτόν. Ὥστε, μέσῳ τῆς μνήμης, νὰ κάνῃ τὸν ἕνα λογισμὸ νὰ νικᾷ τὸν ἄλλο μὲ τὴ βοήθεια τῆς Χάριτος· γιὰ νὰ μὴν φθάσῃ ποτέ, οὔτε στὴν ἀπόγνωσι ἐξ αἰτίας τῶν πολὺ αἰσχρῶν, οὔτε στὴν παραφροσύνη ἐξ αἰτίας τῆς ἀλαζονείας του, ἀλλὰ ὅταν [νοιώθῃ] νὰ ὑψηλοφρονῇ, [τότε] νὰ καταφεύγῃ στὴν ταπείνωσι. Καὶ ὅταν οἱ ἐχθροὶ τὸν ταπεινώσουν, αὐτὸς [τότε] μὲ τὴν ἐλπίδα ὑψώνεται πρὸς τὸν Θεό, γιὰ νὰ μὴν πέσῃ ποτέ, ἐπειδὴ ἀποδέχτηκε πλήρως [ὅσα τοῦ ὑπέβαλαν οἱ δαίμονες], οὔτε πάλι ἐπειδὴ ἐδειλίασε νὰ ἀπογοητεθῇ μέχρι τὴν τελευταία του πνοή. Καὶ αὐτὴ εἶναι ἡ μεγάλη ἐργασία τοῦ Μοναχοῦ, ὅπως λέγει τὸ Γεροντικό[ρξε´]. Ἀλλά, ὅταν οἱ ἐχθροὶ τοῦ προβάλλουν αὐτὴν [δηλαδὴ τὴν ἀπόγνωσι], αὐτὸς ἀντιπροβάλλει τὴν ἄλλη [δηλαδὴ τὴν ἐλπίδα]· καὶ ὅταν ἐκεῖνοι τοῦ παρουσιάζουν τὴν ἄλλη [δηλαδὴ τὴν ὑπερηφάνεια], αὐτὸς φέρνει στὴ μέση αὐτὴ [δηλαδὴ τὴν ταπείνωσι], διότι γνωρίζει ὅτι τίποτα στὴ ζωὴ αὐτὴ

τῳ ἀναλλοίωτόν τι τὸ παράπαν. Ἀλλ᾽ ὁ μὲν ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται[216]*· ὁ δὲ θέλων τὰ πράγματα γενέσθαι ὡς θέλει, οὐκ οἶδε ποῦ ὑπάγει· ἀλλ᾽ ὡς τυφλὸς ῥιπιζόμενος παντὶ ἀνέμῳ, εἴ τι δ᾽ ἂν αὐτῷ ἔρχηται, ὅλος δι᾽ ὅλου ἐκείνου γίνεται· καὶ ὡς δοῦλος φοβεῖται τὰ λυπηρὰ καὶ ὡς αἰχμάλωτος συναπάγεται τῇ οἰήσει· ἐκ τῆς ἀλόγου χαρᾶς δοκῶν ἔχειν ἅπερ οὐδέποτε εἶδε τί*[κστ´]*, καὶ πόθεν ἐστίν. Εἰδὲ λέγει εἰδέναι, τότε μᾶλλον μειζόνως τυφλοῦται· τοῦτο γὰρ ἐκ τοῦ μὴ μέμφεσθαι ἑαυτὸν γίνεται· ἥτις λέγεται αὐταρέσκεια καὶ ἀφανὴς ἀπώλεια, ὥς φησιν ὁ Ἅγιος Μακάριος εἰς τὰ κεφάλαια περὶ τοῦ ἀπολεσθέντος Μοναχοῦ μετὰ τὸ ἰδεῖν αὐτὸν τὴν ἄνω Ἱερουσαλήμ, εὐχομένου αὐτοῦ μετά τινων ἀδελφῶν, ἐν τῷ ἁρπαγῆναι τὸν νοῦν αὐτοῦ· διὰ τὸ οἴεσθαι αὐτόν τι πεφθακέναι καὶ οὐ μᾶλλον χρέος μεῖζον ἔχειν. Ὥσπερ τοίνυν οἱ ἄγαν ἐμπαθεῖς οὐδὲ τὰ φανερὰ τοῖς πολλοῖς ἴσασιν ἐκ τῆς ἀχλύος τῶν παθῶν, οὕτω καὶ οἱ ἀπαθεῖς τὰ τοῖς πολλοῖς ἀγνοούμενα γι-*

δὲν εἶναι καθ᾽ ὁλοκληρίαν ἀμετάβλητο. Ἀλλά, «ἐκεῖνος ποὺ θὰ ὑπομείνῃ ὡς τὸ τέλος, αὐτὸς θὰ σωθῇ»· ἐκεῖνος ὅμως ποὺ θέλει νὰ γίνουν τὰ πράγματα, σύμφωνα μὲ τὴ δική του θέλησι [καὶ γνώμη], δὲν γνωρίζει ποῦ πηγαίνει, ἀλλὰ σὰν τυφλὸς ποὺ παρασύρεται ἀπὸ τὸν κάθε ἄνεμο, ὅ,τι κι ἂν τοῦ συμβῇ, τὸν κατακυριεύει ἐξ ὁλοκλήρου καὶ σὰν δοῦλος φοβᾶται τὰ λυπηρὰ καὶ σὰν αἰχμάλωτος σύρεται ἀπὸ τὴν ἀλαζονεία· ἐπειδὴ νομίζει, ἀπὸ τὴν παράλογη χαρά [του], ὅτι ἔχει [γνῶσι] ἐκείνων, τὰ ὁποῖα ποτὲ δὲν εἶδε τί [εἶναι] καὶ ἀπὸ ποῦ [εἶναι]. Ἐὰν δὲ καὶ λέγει ὅτι [τὰ] γνωρίζει, τότε πολὺ περισσότερο τυφλώνεται· διότι αὐτὸ γίνεται ἀπὸ τὸ ὅτι δὲν κατηγορεῖ τὸν ἑαυτόν του, πρᾶγμα τὸ ὁποῖο λέγεται αὐταρέσκεια καὶ κρυμμένη ἀπώλεια, ὅπως λέγει ὁ Ἅγιος Μακάριος[ρξστ´] στὰ κεφάλαια γιὰ τὸν ἀπωλεσθέντα Μοναχό, ὁ ὁποῖος [χάθηκε] μετά, ἀφοῦ [πρῶτα] εἶδε τὴν ἄνω Ἱερουσαλήμ, ὅταν προσευχόταν μαζὶ μὲ κάποιους ἄλλους ἀδελφοὺς καὶ ἁρπάχθηκε ὁ νοῦς του· διότι νόμιζε, ὅτι ἔχει φθάσει [καὶ κατορθώσει] κάτι καὶ ὄχι ὅτι αὐτὸ τὸν [ἔκανε] νὰ ἔχῃ μεγαλύτερο χρέος. Ὅπως λοιπὸν οἱ ὑπερβολικὰ ἐμπαθεῖς δὲν γνωρίζουν οὔτε ὅσα εἶναι φανερὰ στοὺς πολλούς, ἐξ αἰτίας τοῦ σκοτασμοῦ τῶν παθῶν, ἔτσι καὶ οἱ ἀπαθεῖς γνωρίζουν, ὅσα οἱ πολλοὶ

νώσκουσιν ἐκ τῆς τοῦ νοὸς καθαρότητος.

ἀγνοοῦν, χάρις στὴν καθαρότητα τοῦ νοῦ [τους].

ΟΤΙ ΟΥΚ ΕΣΤΙ ΠΟΛΥΛΟΓΙΑ Ο ΛΟΓΟΣ ΤΟΥ ΘΕΟΥ

ΟΤΙ ΔΕΝ ΕΙΝΑΙ ΠΟΛΥΛΟΓΙΑ Ο ΛΟΓΟΣ ΤΟΥ ΘΕΟΥ

[166.] Ὁ λόγος γὰρ τοῦ Θεοῦ, φησὶν ὁ Ἅγιος Μάξιμος, οὐκ ἔστι πολυλογία, ἀλλ' ὅταν λέγωμεν πάντες οἱ ἄνθρωποι πολλά, τότε ἕνα λόγον Θεοῦ οὐκ ἐπληρώσαμεν· οἷον, εἰ εἶπεν ὁ Θεός, Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης, καὶ τὰ ἑξῆς[217]*, πόσα ἄρα εἶπον οἱ Πατέρες, πόσα δὲ καὶ ἔγραψαν καὶ ἔτι λέγουσι καὶ γράφουσι καὶ οὐκ ἐπλήρωσαν τὸ ἓν τοῦτο ῥητόν; Τὸ γὰρ ἐξ ὅλης ψυχῆς, φησὶν ὁ Μέγας Βασίλειος, τὸ μηδ' ὅλως τι σὺν Θεῷ ἀγαπᾶν ἐστιν. Ἐπειδὴ ἐάν τις τὴν ἑαυτοῦ ψυχὴν φιλεῖ, οὐκ ἀγαπᾷ ἐξ ὅλης ψυχῆς τὸν Θεόν, ἀλλ ἐξ ἡμισείας· εἰ δὲ ἑαυτοὺς καὶ ἄλλα ἀναρίθμητα ἀγαπῶμεν, πῶς τὸν Θεὸν ἀγαπᾶν δυνάμεθα ἢ τολμῶμεν τοῦτο εἰπεῖν; Ὡσαύτως δὲ καὶ ἐπὶ τῆς τοῦ πλησίον ἀγάπης· ἂν τὴν πρόσκαι-*

166. Ὁ λόγος τοῦ Θεοῦ, λέγει ὁ Ἅγιος Μάξιμος[ρξζ΄], δὲν εἶναι πολυλογία, ἀλλὰ [καὶ] ὅταν ὅλοι οἱ ἄνθρωποι λέμε πολλά, τότε ἕνα λόγο τοῦ Θεοῦ δὲν [μποροῦμε νὰ ποῦμε ὅτι] ὁλοκληρώσαμε· ὅπως γιὰ παράδειγμα αὐτὸν [τὸν λόγο] ποὺ εἶπε ὁ Θεός· «νὰ ἀγαπήσῃς Κύριον τὸν Θεόν σου μὲ ὅλη», καὶ τὰ λοιπά. Πόσα ἄραγε εἶπαν οἱ Πατέρες καὶ πόσα ἔγραψαν καὶ ἀκόμα λέγουν καὶ γράφουν καὶ δὲν ὁλοκλήρωσαν τό ἕνα αὐτὸ ῥητό; Διότι τὸ «μὲ ὅλη σου τὴν ψυχή», λέγει ὁ Μέγας Βασίλειος[ρξη΄], σημαίνει τὸ νὰ μὴν ἀγαπᾷ [κανεὶς] τίποτε ἄλλο μαζὶ μὲ τὸν Θεό. Ἐπειδή, ἂν ἀγαπᾷ κανεὶς τὴν ζωή του, δὲν ἀγαπᾶ μὲ ὅλη του τὴν ψυχὴ τὸν Θεό, ἀλλὰ μὲ τὴν μισή· ἂν ὅμως τοὺς ἑαυτούς μας καὶ ἄλλα ἀναρίθμητα [πράματα] ἀγαποῦμε, πῶς μποροῦμε νὰ ἀγαποῦμε τὸν Θεὸ καὶ νὰ τολμοῦμε νὰ τὸ ποῦμε αὐτό; Τὸ ἴδιο [συμβαίνει] καὶ μὲ τὴν ἀγάπη τοῦ πλησίον· ἂν [καὶ] τὴν πρόσκαιρη

ρον ζωήν, τάχα δὲ καὶ τὴν μέλλουσαν, μὴ ὑπὲρ τοῦ πλησίον ἀποβαλώμεθα, ὡς ὁ Μωυσῆς καὶ ὁ Ἀπόστολος, πῶς λέγομεν ἀγαπᾶν αὐτόν; Διότι ὁ μὲν ἔφη περὶ τοῦ λαοῦ πρὸς τὸν Θεόν· εἰ μὲν ἀφήσεις αὐτοῖς τὰ πταίσματα, ἄφες· εἰδ᾽ οὖν καὶ ἐμὲ ἐξάλειψον ἐκ τῆς βίβλου τῆς ζωῆς ἧς ἔγραψας[218]. Ὁ δὲ Ἀπόστολός φησιν, ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ[219], καὶ τὰ ἑξῆς· ηὔχετο γὰρ τὴν ἑαυτοῦ ἀπώλειαν γενέσθαι, ἵνα ἄλλοι σωθῶσι, καὶ ταῦτα οἱ ζητοῦντες αὐτὸν ἀποκτεῖναι, οἵτινές εἰσιν Ἰσραηλῖται[220]. Τοιαῦται ψυχαί εἰσιν αἱ τῶν Ἁγίων· τοὺς ἐχθροὺς ὑπὲρ ἑαυτοὺς φιλοῦσιν· ὥστε ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι προτιμῶσι τὸν πλησίον ἐν πᾶσι, κἂν ἴσως ἐχθρὸς αὐτῶν ἐκ κακῆς προαιρέσεως ὑπάρχῃ· μὴ ζητοῦντες ἀντάμειψιν ἀπὸ τῶν φιλουμένων παρ᾽ αὐτῶν, ἀλλ᾽ ὡς λαμβάνοντες χαίρουσιν ἐν τῷ διδόναι ἄλλοις τὰ ἑαυτῶν πάντα, ἵνα τῷ Εὐεργέτῃ ἀρέσωσι καὶ κατὰ δύναμιν μιμήσωνται αὐτοῦ τὴν φιλανθρωπίαν· ὅτι χρηστός ἐστι ἐπὶ τοὺς ἀχαρίστους καὶ ἁμαρ-

ζωή, ἴσως δὲ καὶ τὴν μέλλουσα, δὲν ἀπορρίπτομε γιὰ χάρι τοῦ πλησίον μας, ὅπως ὁ Μωϋσῆς καὶ ὁ Ἀπόστολος [Παῦλος], πῶς [μποροῦμε νὰ] λέμε, ὅτι ἀγαποῦμε αὐτόν; Διότι ὁ μὲν Μωϋσῆς] εἶπε πρὸς τὸν Θεὸ γιὰ τὸ λαό του· «ἂν [θέλῃς] νὰ συγχωρήσῃς τὶς ἁμαρτίες τους, συγχώρησέ τους· διαφορετικὰ σβῆσε καὶ ἐμένα ἀπὸ τὸ βιβλίο τῆς ζωῆς, στὸ ὁποῖο μὲ ἔγραψες», καὶ τὰ λοιπά. Ὁ δὲ Ἀπόστολος λέγει, «νὰ εἶμαι ἀνάθεμα [χωρισμένος] ἀπὸ τὸν Χριστό», καὶ τὰ λοιπά. Προσευχόταν, δηλαδή, νὰ ἀπωλεσθῇ ὁ ἴδιος, γιὰ νὰ σωθοῦν οἱ ἄλλοι καὶ μάλιστα ἐκεῖνοι, ποὺ ζητοῦσαν νὰ τὸν σκοτώσουν, οἱ ὁποῖοι ἦταν οἱ Ἰσραηλῖτες. Ἔτσι εἶναι οἱ ψυχὲς τῶν Ἁγίων· ἀγαποῦν τοὺς ἐχθρούς τους περισσότερο ἀπὸ τοὺς ἑαυτούς τους· ὥστε προτιμοῦν τὸν πλησίον [τους] σὲ ὅλα [καὶ] στὸν παρόντα αἰῶνα καὶ στὸν μέλλοντα, κι ἂν ἀκόμη [αὐτὸς] ἀπὸ κακὴ προαίρεσι εἶναι ἐχθρός τους· χωρὶς νὰ ζητοῦν ἀνταμοιβὴ ἀπὸ αὐτοὺς ποὺ ἀγαποῦν, ἀλλὰ χαίρονται, ὅταν δίνουν στοὺς ἄλλους ὅλα τὰ δικά τους, σὰν νὰ τὰ παίρνουν οἱ ἴδιοι, γιὰ νὰ ἀρέσουν στὸν Εὐεργέτη καὶ νὰ μιμηθοῦν κατὰ δύναμι τὴν φιλανθρωπία Αὐτοῦ· διότι [Αὐτὸς] «εἶναι ἀγαθὸς στοὺς ἀχαρίστους καὶ ἁμαρ-

τωλούς[221]*. Μᾶλλον δὲ ὅσον τὰ τοιαῦτα χαρίσματα ἀξιωθήσεταί τις ἔχειν, τοσοῦτον ὀφείλει χρεώστην ἑαυτὸν ἡγεῖσθαι τῷ ὑψώσαντι αὐτὸν ἐκ τῆς γῆς Θεῷ καὶ καταξιώσαντι τὸν χοῦν μιμεῖσθαι τὸν πλάστην καὶ Θεὸν ἐκ μέρους. Τὸ γὰρ ὑπομένειν τὰς ἀδικίας μετὰ χαρᾶς καὶ ἀνεξικάκως εὐεργετεῖν τοὺς ἐχθροὺς καὶ τιθέναι τὴν ἰδίαν ψυχὴν ὑπὲρ τοῦ πλησίον καὶ τὰ τοιαῦτα, δῶρα μέν εἰσι τοῦ Θεοῦ, διδόμενα δὲ τοῖς προαιρουμένοις ταῦτα λαβεῖν παρ᾽ αὐτοῦ διὰ τῆς ἐπιμελείας, εἰς τὸ ἐργάζεσθαι καὶ φυλάττειν*[222]*, ὡς ἐῤῥέθη πρὸς τὸν Ἀδάμ, ἵνα μένωσι τὰ δῶρα διὰ τῆς εὐγνωμοσύνης, περὶ τὸν Εὐεργέτην. Ἐπειδὴ οὐδὲν ἀγαθὸν κεκτήμεθα ἴδιον πώποτε, ἀλλὰ πάντα ἡμῖν τὰ ἀγαθὰ παρὰ τοῦ Θεοῦ κατὰ χάριν, ὥσπερ ἐκ τοῦ μὴ ὄντος τὸ εἶναι γίνονται. Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; φησὶν ὁ Ἀπόστολος, δωρεὰν ἐκ Θεοῦ δηλαδή; Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών*[223]*, ἀλλ᾽ αὐτὸς δι᾽ ἑαυτοῦ ποιῶν; ὅπερ ἀμήχανον, τοῦ Κυρίου εἰπόντος, Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν*[224]*.*

τωλοὺς». Μᾶλλον δέ, ὅσο [περισσότερο] θὰ ἀξιωθῇ κανεὶς νὰ ἔχῃ αὐτὰ τὰ χαρίσματα, τόσο ὀφείλει νὰ θεωρῇ τὸν ἑαυτό του χρεοφειλέτη στὸν Θεό, ὁ ὁποῖος τὸν ἀνύψωσε ἀπὸ τὴν γῆ καὶ τὸν ἀξίωσε, [ὥστε] τὸ χῶμα νὰ μιμῆται ἐν μέρει τὸν Πλαστουργό [του] καὶ Θεό. Διότι τὸ νὰ ὑπομένῃ κανεὶς τὶς ἀδικίες μὲ χαρὰ καὶ μὲ ἀνεξικακία νὰ εὐεργετῇ τοὺς ἐχθροὺς καὶ νὰ θυσιάζῃ τὴν ψυχή του γιὰ τὸν πλησίον καὶ [ὅλα] τὰ παρόμοια εἶναι μὲν δῶρα τοῦ Θεοῦ, τὰ ὁποῖα δίδονται σ᾽ ἐκείνους, ποὺ ἔχουν τὴν προαίρεσι νὰ τὰ δεχθοῦν ἀπὸ Αὐτὸν καὶ μὲ ἐπιμέλεια «νὰ τὰ ἐργάζωνται καὶ νὰ τὰ φυλάττουν», ὅπως ἐλέχθη [ἀπὸ τὸν Θεὸ] στὸν Ἀδάμ, γιὰ νὰ παραμένουν [σ᾽ αὐτοὺς] τὰ δῶρα, μὲ τὴν εὐγνωμοσύνη [τους] πρὸς τὸν Εὐεργέτη. Ἐπειδὴ κανένα ἀγαθὸ δὲν ἔχομε ἀποκτήσει ποτὲ δικό μας, ἀλλὰ ὅλα τὰ ἀγαθὰ [δίδονται] κατὰ Χάριν ἀπὸ τὸν Θεὸ σ᾽ ἐμᾶς, ὅπως γίνονται ἀπὸ τὴν [ἀνυπαρξία] τοῦ μὴ ὄντος εἰς τὴν [ὕπαρξι] τοῦ εἶναι. Διότι, «τί ἔχεις, τὸ ὁποῖο δὲν ἔλαβες;», λέγει ὁ Ἀπόστολος, δηλαδὴ δωρεὰ ἀπὸ τὸν Θεό. Ἐὰν δὲ καὶ τὸ ἔλαβες, γιατὶ καυχᾶσαι σὰν νὰ μὴν τὸ ἔλαβες;», ἀλλὰ σὰν νὰ τὸ ἔκανες [ἐσὺ] ὁ ἴδιος [μόνος σου], πρᾶγμα τὸ ὁποῖο εἶναι [ἐντελῶς] ἀδύνατο, ἀφοῦ ὁ Κύριος εἶπε, «χωρὶς Ἐμένα δὲν μπορεῖτε νὰ κάνετε τίποτα».

ΟΤΙ ΤΑΠΕΙΝΟΦΡΟΣΥΝΗΣ ΔΙΧΑ ΑΜΗΧΑΝΟΝ ΣΩΘΗΝΑΙ

ΟΤΙ ΧΩΡΙΣ ΤΗΝ ΤΑΠΕΙΝΟΦΡΟΣΥΝΗ ΕΙΝΑΙ ΑΔΥΝΑΤΟΝ ΝΑ ΣΩΘΟΥΜΕ

[167.] Οὐκ οἶδα μὴ ἐκ τῆς πολλῆς σκοτώσεως τῶν παθῶν εἰς τοσαύτην ἄνοιάν τις ἔλθοι, ἴσως καὶ δοκεῖ εἶναι τῶν Ἀγγέλων ἴσος, μᾶλλον δὲ μείζων, ὥστε οἴεσθαι ἐκτὸς ταπεινοφροσύνης, ἧς ἀστοχήσας ὁ πρῴην ἑωσφόρος, ἐκτὸς ἄλλης ἁμαρτίας σκότος ἐγένετο. Λοιπὸν τί μέλλει παθεῖν ὁ μὴ ἔχων ταπείνωσιν, ὁ θνητὸς καὶ ὁ χοῦς, ἵνα μὴ εἴπω ὁ ἁμαρτωλός; Ἴσως τυφλὸς ὢν οὐ πιστεύει ὅτι ἁμαρτωλός ἐστι· πάσῃ ἀνάγκῃ, φησὶν ὁ Χρυσόστομος, τὸν τέλειον ἄνθρωπον γενέσθαι ἰσάγγελον, ὥς φησιν ὁ Κύριος, ἐν τῇ ἀναστάσει τῶν νεκρῶν δηλαδή, καὶ οὐχὶ ἐν τῷ νῦν αἰῶνι· ἀλλ᾽ οὔτε ἄγγελοι τότε, ἀλλ᾽ ἰσάγγελοί εἰσιν, ἔφη[225]. *Οὐ γὰρ τῆς ἰδίας φύσεως οἱ ἄνθρωποι, φησί, καταλιμπάνειν ἰσχύσουσιν, ἀλλ᾽ ὡς ἐκεῖνοι ἄτρεπτοι κατὰ χάριν καὶ πάσης ἀνάγκης ἀπηλλαγμένοι, αὐθαίρετον ἔχουσι τὴν ἐξουσίαν καὶ ἄληκτον τὴν εὐ-*

167. Δὲν γνωρίζω, μήπως ἀπὸ τὸ μεγάλο σκοτασμὸ [τοῦ νοῦ], ἐξ αἰτίας τῶν παθῶν, φθάσῃ κανεὶς σὲ τόσο μεγάλη ἀνοησία, ὥστε ἴσως καὶ νὰ νομίζῃ, ὅτι εἶναι ἴσος μὲ τοὺς Ἀγγέλους καὶ μάλιστα μεγαλύτερος, [καὶ αὐτὸ] τὸ θεωρεῖ ἀπὸ ἔλλειψι ταπεινοφροσύνης, ἀπὸ τὴν ὁποία [καὶ μόνον], ἀφοῦ ἀστόχησε [τοῦ θείου σκοποῦ του] ὁ πρώην ἑωσφόρος καὶ χωρὶς ἄλλη ἁμαρτία, ἔγινε σκοτάδι. Τί πρόκειται νὰ πάθῃ λοιπὸν ἐκεῖνος, ὁ ὁποῖος δὲν ἔχει ταπείνωσι, ὁ θνητός καὶ τὸ χῶμα, γιὰ νὰ μὴν πῶ ὁ ἁμαρτωλός; Ἴσως, ἐπειδὴ εἶναι τυφλός, δὲν πιστεύει ὅτι εἶναι ἁμαρτωλός· εἶναι ἀνάγκη [μὲ κάθε τρόπο], λέγει ὁ Χρυσόστομος[ρξθ'], ὁ τέλειος ἄνθρωπος νὰ γίνῃ ἰσάγγελος, ὅπως λέγει ὁ Κύριος, στὴν Ἀνάστασι δηλαδὴ τῶν νεκρῶν καὶ ὄχι στὴν παροῦσα ζωή, ἀλλὰ οὔτε τότε εἶπε [θὰ εἶναι] ἄγγελοι ἀλλὰ ἰσάγγελοι. Διότι δὲν εἶναι δυνατόν, λέγει, οἱ ἄνθρωποι νὰ ἐγκαταλείψουν τὴν φύσι τους [ἀλλάζοντάς την] μὲ τὴν ἀγγελική, ἀλλὰ [θὰ γίνουν] ὅπως ἐκεῖνοι [οἱ Ἄγγελοι] ἄτρεπτοι κατὰ χάριν, ἀπαλλαγμένοι ἀπὸ κάθε ἀνάγκη, ἔχοντας τὸ αὐτεξούσιον[14] καὶ ἀτελείωτη τὴν εὐ-

φροσύνην καὶ τὴν πρὸς Θεὸν ἀγάπην, καὶ ὅσα ὀφθαλμὸς οὐκ εἶδε[226]*, καὶ τὰ ἑξῆς. Ἐνταῦθα δὲ τέλειος γενέσθαι τις ἀμήχανον, ἀλλ᾽ ὡς ἀῤῥαβῶνα τῶν ἐπηγγελμένων ἀγαθῶν λαμβάνει. Ὥσπερ γὰρ οἱ ἄμοιροι τῶν χαρισμάτων ὀφείλουσι ταπεινωθῆναι ὡς πτωχοί, οὕτω καὶ οἱ ἔχοντες ταῦτα, ὡς λαβόντες παρὰ Θεοῦ, ἵνα μὴ διὰ ἀγνωμοσύνης [recte: ἀγνωμοσύνην]*[κς'] *κατακριθῶσι. Καὶ ὥσπερ οἱ πλούσιοι, χάριν τῷ Θεῷ ὁμολογεῖν χρεωστοῦσι διὰ τῶν δωρεῶν, οὕτω καὶ οἱ πλουτοῦντες ἐν ἀρεταῖς πολλῷ πλείονα. Καὶ ὥσπερ ὀφείλουσιν οἱ πτωχοὶ τῷ Θεῷ εὐχαριστεῖν καὶ τοὺς εὐεργετοῦντας πλουσίως ἀγαπᾶν διὰ τὸ εὐεργετεῖσθαι ὑπ᾽ αὐτῶν, οὕτω καὶ οἱ πλούσιοι πολλῷ πλείονα διὰ τὸ καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι σῴζεσθαι τῇ τοῦ Θεοῦ προνοίᾳ, διὰ τῆς ἐλεημοσύνης· ὅτι ἐκτὸς τῶν πτωχῶν οὐκ ἔχουσι σωτηρίαν ψυχῆς, ἀλλ᾽ οὔτε τοὺς πειρασμοὺς τοῦ πλούτου ἐκφυγεῖν δύνανται. Καὶ ὥσπερ οἱ μαθηταὶ τοὺς διδασκάλους, οὕτω καὶ οἱ διδάσκαλοι τοὺς μαθη-*

φροσύνη καὶ τὴν πρὸς Θεὸν ἀγάπη καὶ «ὅσα ὀφθαλμὸς δὲν εἶδε», καὶ τὰ ἑξῆς. Ἐδῶ ὅμως [εἶναι] ἀδύνατον νὰ γίνῃ κανεὶς τέλειος, ἀλλὰ [μόνον] δέχεται σὰν ἀρραβῶνα τὰ ἀγαθά, τὰ ὁποῖα ἔχει ὑποσχεθῆ [ὁ Θεός]. Διότι ὅπως ἐκεῖνοι, οἱ ὁποῖοι δὲν ἔχουν ἀξιωθῆ τῶν [θεϊκῶν] χαρισμάτων ὀφείλουν νὰ ταπεινωθοῦν ὡς πτωχοί, τὸ ἴδιο καὶ αὐτοὶ οἱ ὁποῖοι τὰ ἔχουν [πρέπει νὰ ταπεινωθοῦν], ἐπειδὴ τὰ ἔλαβαν ἀπὸ τὸν Θεό, γιὰ νὰ μὴν καταδικασθοῦν γιὰ τὴν ἀχαριστία [τους]. Καὶ ὅπως οἱ πλούσιοι ὀφείλουν νὰ εὐγνωμονοῦν τὸν Θεὸ γιὰ τὶς δωρεές Του, ἔτσι καὶ αὐτοί, οἱ ὁποῖοι πλουτοῦν σὲ ἀρετές, πολὺ περισσότερο. Καὶ ὅπως οἱ πτωχοὶ ὀφείλουν νὰ εὐχαριστοῦν τὸν Θεὸ καὶ νὰ ἀγαποῦν αὐτούς, οἱ ὁποῖοι τοὺς εὐεργετοῦν πλουσιοπάροχα, ἐπειδὴ εὐεργετοῦνται ἀπὸ αὐτούς, ἔτσι καὶ οἱ πλούσιοι πολὺ περισσότερο πρέπει νὰ εἶναι εὐγνώμονες, διότι σῴζονται στὴν παροῦσα καὶ στὴν μέλλουσα ζωὴ μὲ τὴν πρόνοια τοῦ Θεοῦ, μέσῳ τῆς ἐλεημοσύνης· διότι χωρὶς τοὺς πτωχοὺς δὲν μποροῦν [οἱ πλούσιοι] νὰ σώσουν τὴν ψυχή τους, ἀλλὰ οὔτε καὶ ἀπὸ τοὺς πειρασμοὺς τοῦ πλούτου μποροῦν νὰ ξεφύγουν. Καὶ ὅπως οἱ μαθητὲς ὀφείλουν νὰ ἀγαποῦν τοὺς διδασκάλους, ἔτσι καὶ οἱ δι-

τὰς ὀφείλουσιν ἀγαπᾶν καὶ ὑπὲρ ἀλλήλων ὁμολογεῖν τῷ Θεῷ τὴν χάριν, τῷ διδόντι πᾶσι τὴν γνῶσιν καὶ πᾶν εἴ τι ἄλλο ἀγαθόν, ὑπὲρ ὧν ὀφείλομεν ἅπαντες ἀεὶ εὐχαριστεῖν αὐτῷ καὶ μάλιστα οἱ λαβόντες δύναμιν εἰς τὸ ἀνακαλέσασθαι τὸ θεῖον Βάπτισμα διὰ τῆς μετανοίας, ἧς χωρὶς οὐδεὶς δύναται σωθῆναι· διότι εἶπεν ὁ Κύριος· τί μὲ καλεῖται Κύριε, Κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω[227]; Ἀλλὰ μή τις ἄφρων ταῦτα καὶ τὰ τοιαῦτα ἀκούσας, δοκεῖ, ὅτι ἂν μὴ τὸν Κύριον ἐπικαλέσηται, ἀνέγκλητος γίνεται· μᾶλλον δὲ πλείονα κατακέκριται, ὥς φησιν ὁ Κύριος· εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιῶσιν, ἐν τῷ ξηρῷ τί γίνεται[228]; Καὶ εἰ ὁ δίκαιος μόλις σῴζεται, φησὶν ὁ Σολομών, ὁ ἄδικος καὶ ἁμαρτωλὸς ποῦ φανεῖται[229]; Μὴ πάλιν πανταχόθεν στενοχωρούμενον ὁρῶν ἑαυτὸν ἀπὸ τῶν θείων ἐντολῶν, ἀπογινώσκει καὶ αὐτοκτόνου χεῖρον κατακριθῇ· ἀλλὰ μᾶλλον θαυμάσαι ὀφείλει τὰς θείας Γραφάς τε καὶ ἐντολάς, πῶς ὧδε κἀκεῖσε τὸν ἄνθρωπον πρὸς τὴν τελειότητα

δάσκαλοι τοὺς μαθητὲς καὶ νὰ ὁμολογοῦν τὴν εὐγνωμοσύνη τους ὁ ἕνας γιὰ τὸν ἄλλον στὸ Θεό, ὁ Ὁποῖος δίνει σὲ ὅλους τὴν γνῶσι καὶ κάθε ἄλλο ἀγαθό, γιὰ τὰ ὁποῖα ὅλοι ὀφείλομε νὰ Τὸν εὐχαριστοῦμε πάντοτε καὶ μάλιστα ὅσοι ἐλάβαμε τὴν δύναμι νὰ ἐπαναφέρωμε[15] [μέσα μας] τὴν Χάρι τοῦ θείου Βαπτίσματος μὲ τὴν μετάνοια, χωρὶς τὴν ὁποία κανεὶς δὲν μπορεῖ νὰ σωθῇ· διότι εἶπε ὁ Κύριος, «γιατὶ μὲ φωνάζετε Κύριε, Κύριε καὶ δὲν κάνετε ὅσα σᾶς λέγω;». Ἀλλὰ μὴν νομίζῃ κανεὶς ἀνόητος, ὅταν ἀκούσῃ αὐτὰ καὶ τὰ παρόμοια [λόγια τοῦ Χριστοῦ], ὅτι, ἂν δὲν ἐπικαλεσθῇ τὸν Κύριο, εἶναι ἀκατηγόρητος· [ἀλλὰ] μᾶλλον περισσότερο ἔχει καταδικασθῇ, ὅπως λέγει ὁ Κύριος, «ἐὰν κάνουν αὐτὰ στὸ χλωρὸ ξύλο, τί θὰ γίνῃ στὸ ξερό;». Καὶ λέγει ὁ Σολομών, «ἂν ὁ δίκαιος μόλις σώζεται, ὁ ἄδικος καὶ ἁμαρτωλὸς ποῦ θὰ φανῇ;». Οὔτε πάλι, ὅταν βλέπῃ τὸν ἑαυτό του νὰ καταπιέζεται ἀπὸ τὶς θεῖες ἐντολές, νὰ ἀπελπίζεται καὶ [ἔτσι] νὰ κατακριθῇ, χειρότερα ἀπὸ αὐτὸν ποὺ αὐτοκτονεῖ· ἀλλὰ ὀφείλει νὰ θαυμάσῃ περισσότερο καὶ τὶς θεῖες Γραφὲς καὶ τὶς ἐντολές, πῶς ἀπὸ ἐδῶ καὶ ἀπὸ ἐκεῖ ὠθοῦν τὸν ἄνθρωπο πρὸς τὴν τελειό-

ὠθοῦσιν, ἵνα μὴ εὕρῃ τὸ ποῦ φυγεῖν ἐκ τοῦ ἀγαθοῦ ἐν τῷ εὑρίσκειν ἄνεσιν εἰς τὰς χείρονα. Ἀλλ' ἅμα τῷ ποιῆσαι τοιοῦτόν τι βουληθῇ, πάντα τὰ δεινὰ ἔμπροσθεν αὐτοῦ εὑρίσκων, στρέφεται πρὸς τὸ ἀγαθόν, τοῦ Θεοῦ φιλανθρώπως οἰκονομοῦντος ἀξιάγαστα· ἵνα πᾶς ἄνθρωπος τέλειος γένηται τρόπον τινὰ καὶ μὴ βουλόμενος, εἰ καὶ ἐξουσίαν ἔχει ἐν ἑαυτῷ. Οἱ δὲ εὐγνώμονες μᾶλλον ἐκ τῶν εὐεργεσιῶν αἰσχυνόμενοι ἀγωνίζονται, ὡς οἱ περάσαντες κοιμώμενοι τὸν ποταμόν, καθὼς ἔφη ὁ Ἅγιος Ἐφραίμ. Διὰ τοῦτο, φησὶν ὁ Ἅγιος Ἰσαάκ, ἐπλήθυνεν ὁ Θεὸς τοὺς πειρασμούς, ἵνα φόβῳ τῶν τοιούτων φεύγωμεν πρὸς αὐτόν. Ὁ δὲ τοῦτο μὴ συνιών, ἀλλὰ τὴν δωρεὰν ταύτην κακίζων ἐκ φιληδονίας, αὐτὸς ἑαυτὸν ἀπέκτεινε καὶ ἀπώλεσε· λαβὼν ὅπλα κατὰ τῶν ἐχθρῶν, ἐχρήσατο ταῦτα πρὸς τὴν ἰδίαν σφαγήν. Ὥσπερ γάρ, φησὶν ὁ μέγας Βασίλειος, ἀγαθὸς ὢν ὁ Θεός, πάντας ἀγαθοποιῆσαι θέλει, οὕτω καὶ ὁ διάβολος, πονηρὸς ὑπάρχων, πάντας εἰς τὴν αὐτοῦ μοχθη-

τητα, γιὰ νὰ μὴν βρίσκῃ ποῦ καὶ πῶς νὰ ξεφύγῃ ἀπὸ τὸ ἀγαθό, βρίσκοντας ἄνεσι στὰ χειρότερα. Ἀλλὰ μόλις θελήσῃ νὰ κάνῃ κάτι τέτοιο, μὲ τὸ νὰ βρίσκῃ ὅλα τὰ δεινὰ μπροστά του, στρέφεται πρὸς τὸ ἀγαθό, καθὼς μὲ φιλανθρωπία ὁ Θεὸς οἰκονομεῖ τὰ πράγματα ἀξιοθαύμαστα· γιὰ νὰ γίνῃ κάθε ἄνθρωπος τέλειος κατὰ κάποιον τρόπο καὶ χωρὶς νὰ τὸ θέλῃ, ἂν καὶ εἶναι αὐτεξούσιος. Οἱ εὐγνώμονες, ὅμως, ἀγωνίζονται περισσότερο, φιλοτιμούμενοι ἀπὸ τὶς εὐεργεσίες, ὅπως ἐκεῖνοι οἱ ὁποῖοι πέρασαν τὸν ποταμό, ἐνῷ κοιμόντουσαν, ὅπως εἶπε ὁ Ἅγιος Ἐφραίμ[ρο']. Γι' αὐτό, λέγει ὁ Ἅγιος Ἰσαάκ[ροα'], ἐπλήθυνε ὁ Θεὸς τοὺς πειρασμούς, ὥστε ἀπὸ τὸ φόβο τους νὰ καταφεύγωμε σ' Αὐτόν. Ἐκεῖνος, ὅμως, ὁ ὁποῖος δὲν τὸ ἀντιλαμβάνεται αὐτό, ἀλλὰ ἀπὸ φιληδονία κακίζει τὴν δωρεὰ αὐτή, αὐτὸς ἐσκότωσε τὸν [ἴδιο τὸν] ἑαυτό του καὶ τὸν κατέστρεψε· ἀφοῦ πῆρε τὰ ὅπλα [γιὰ νὰ τὰ χρησιμοποιήσῃ] κατὰ τῶν ἐχθρῶν, τὰ χρησιμοποίησε γιὰ τὴν δική του σφαγή. Διότι, ὅπως ὁ Θεός, λέγει ὁ Μέγας Βασίλειος[ροβ'], ἐπειδὴ εἶναι ἀγαθός, θέλει ὅλους νὰ τοὺς εὐεργετήσῃ, ἔτσι καὶ ὁ διάβολος, ἐπειδὴ εἶναι πονηρός, ἐπιθυμεῖ νὰ παρασύρῃ ὅλους στὴν

ρίαν ἐπιθυμεῖ ἑλκῦσαι, εἰ καὶ οὐ δύναται. Καὶ ὡς οἱ φιλότεκνοι τῶν γονέων μετὰ ἀπειλῆς τῶν ἰδίων τέκνων παράλογα ποιούντων ἐπιστρέφουσι, στοργῇ φερόμενοι, οὕτω καὶ ὁ Θεὸς τοὺς πειρασμοὺς παραχωρεῖ, ὡς ῥάβδον ἐπιστρέφουσαν τοὺς ἀξίους ἀπὸ τῆς τοῦ διαβόλου κακοβουλίας. Ὁ φειδόμενος τὴν ἑαυτοῦ βακτηρίαν, μισεῖ τὸν ἑαυτοῦ υἱόν, ὁ δὲ ἀγαπῶν, ἐπιμελῶς παιδεύει[230]*. Ἀλλ᾽ ἐπειδὴ ἡμῖν τοῖς φιληδόνοις καὶ φιλαύτοις ἐξ ἑτέρων*[κη']* τῶν μερῶν πρόκειται ὁ κίνδυνος, εἰ καὶ τοῖς φιλοθέοις μᾶλλον σωτηρία ἐστίν, οἱ πειρασμοὶ φημί, παραχωροῦντος τοῦ Θεοῦ· καὶ ἡ ἔκπτωσις πρὸς ἀπώλειαν ἐξ ὑπερηφανείας καὶ τὸ μὴ παραμένειν τῷ Θεῷ, ὡς υἱοὶ παιδευόμενοι καὶ μὴ θανατούμενοι*[231]*, τὸ κουφότερον ἐκλέξασθαι ἡμᾶς δεῖ. Κρεῖττον γάρ ἐστι διὰ τῆς ὑπομονῆς τῶν ἐπερχομένων καταφεύγειν πρὸς τὸν Θεόν, ἢ φόβῳ τῶν κινδύνων, τὴν ἔκπτωσιν ὑπομένειν καὶ εἰς τὰς τοῦ διαβόλου χεῖρας ἐμπεσεῖν, τὴν αἰώνιον ἔκπτωσιν, μᾶλλον δὲ κόλασιν σὺν αὐ-*

μοχθηρία του, ἂν καὶ δὲν τὸ μπορῇ. Καὶ ὅπως, ὅσοι ἀπὸ τοὺς γονεῖς ἀγαποῦν τὰ παιδιά τους, μὲ ἀπειλὲς τὰ ἐπιστρέφουν [στὸν ὀρθὸ δρόμο], φερόμενοι μὲ στοργή, ὅταν κάνουν παράλογα [πράγματα], ἔτσι καὶ ὁ Θεὸς παραχωρεῖ τοὺς πειρασμοὺς σὰν ραβδί, ποὺ τὸ χρησιμοποιεῖ γιὰ νὰ ἐπαναφέρῃ τοὺς ἀξίους ἀπὸ τὶς κακὲς βουλὲς [σχέδια] τοῦ διαβόλου. «Ἐκεῖνος, ὁ ὁποῖος διστάζει [νὰ χρησιμοποιήσῃ] τὸ ραβδί του, μισεῖ τὸ παιδί του, ἐκεῖνος ὅμως ποὺ τὸ ἀγαπᾶ, τὸ παιδαγωγεῖ μὲ ἐπιμέλεια». Ἐπειδὴ ὅμως σὲ μᾶς τοὺς φιληδόνους καὶ φίλαυτους καὶ ἀπὸ τὰ δύο μέρη ὑπάρχει κίνδυνος, ἂν καὶ γιὰ τοὺς φιλόθεους εἶναι σωτηρία μᾶλλον, οἱ πειρασμοὶ ἐννοῶ, τοὺς ὁποίους παραχωρεῖ ὁ Θεός, [ἀλλὰ] καὶ ἡ πτῶσι [ποὺ ἐπιφέρει] τὴν ἀπώλεια ἀπὸ τὴν ὑπερηφάνεια καὶ ἡ ἀπομάκρυνσι ἀπὸ τὸν Θεό, [ἐμεῖς] «ὡς υἱοὶ τιμωρούμενοι καὶ μὴ θανατούμενοι», πρέπει νὰ διαλέξωμε τὸ ἐλαφρότερο [ἀπὸ αὐτά]. Διότι εἶναι προτιμώτερο μὲ τὴν ὑπομονὴ τῶν [κακῶν], ποὺ [μᾶς] συμβαίνουν, νὰ καταφεύγωμε στὸ Θεό, παρὰ ἀπὸ τὸν φόβο τῶν κινδύνων νὰ ὑποκύπτωμε στὴν πτῶσι καὶ νὰ πέσωμε στὰ χέρια τοῦ διαβόλου, ἐπιφέροντας [στοὺς ἑαυτούς μας] τὴν αἰώνια ἔκπτωσι, ἢ μᾶλ-

τῷ ἐπισπᾶσθαι· ἐπειδὴ ἓν ἐκ τῶν δύω πρόκειται ἡμῖν, ἢ τὸ ὑπομένειν τὰ πρῶτα καὶ πρόσκαιρα, ἢ τὰ δεύτερα καὶ αἰώνια. Τῶν δὲ δικαίων οὐδὲν ὅλως τῶν ἀμφοτέρων κινδύνων ἅπτεται, διότι μετὰ χαρᾶς τὰ δυσχερῆ ἡμῖν φαινόμενα ἀγαπῶσι καί, ὡς καιρὸν κέρδους εὑρόντες, τοὺς πειρασμοὺς ἀσπάζονται, καὶ μένουσιν ἄτρωτοι ἐξ αὐτῶν. Οὐ γὰρ ὁ λαβὼν βέλος καὶ μὴ πληγεὶς ἀποθνήσκειν εἴωθεν, ἀλλ᾽ ὁ λαβὼν καιρίαν, ταύτης ἐκεῖνος ἀπώλετο. Τί δὲ ἔβλαψε τὸν Ἰὼβ ἡ πληγή, καὶ οὐ μᾶλλον ἐστεφάνωσεν[232]; ἢ τοὺς Ἀποστόλους καὶ Μάρτυρας ἐθρόησε πώποτε; Ἔχαιρον φησίν, ὅτι ἠξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι[233]. Ὅσον δὲ ὁ νικητὴς πολεμεῖται, τοσοῦτον στεφανοῦται, καὶ ἐκ τούτου πολλὴν χαρὰν ἔχει. Ὅταν ἀκούσῃ σάλπιγγος φωνήν, οὐχ ὡς σφαγὴν κηρύττουσαν δειλιᾷ ὁ τοιοῦτος, ἀλλ᾽ ὡς στεφάνων δόσεις προλέγουσαν, εὐφραίνεται μᾶλλον. Οὐδὲν γὰρ οὕτως ἀκοπότως κατασκευάσαι τὴν νίκην εἴωθεν, ὡς εὐτολμία μετὰ βε-

λον τὴν κόλασι μαζί του· ἐπειδὴ ἕνα ἀπὸ τὰ δύο θὰ μᾶς συμβῆ, ἢ τὸ νὰ ὑπομένωμε τὰ πρῶτα καὶ πρόσκαιρα, ἢ τὰ δεύτερα καὶ αἰώνια. Τοὺς δικαίους ὅμως κανένας ἀπὸ τοὺς δύο κινδύνους δὲν τοὺς ἐγγίζει καθόλου, διότι μὲ χαρὰ ἀγαποῦν αὐτά, τὰ ὁποῖα φαίνονται σὲ ἐμᾶς δύσκολα καὶ σὰν νὰ βρίσκουν εὐκαιρία γιὰ κέρδος, ἀγκαλιάζουν τοὺς πειρασμοὺς καὶ μένουν ἀπλήγωτοι ἀπὸ αὐτούς. Γιατὶ συνήθως δὲν πεθαίνει ἐκεῖνος, ὁ ὁποῖος δέχθηκε τὸ βέλος καὶ δὲν πληγώθηκε, ἀλλὰ ἐκεῖνος ποὺ δέχθηκε καίρια τὴν πληγή. Τί λοιπὸν ἔβλαψε τὸν Ἰὼβ ἡ πληγὴ καὶ [μήπως] περισσότερο δὲν τὸν ἐστεφάνωσε; Ἢ τί ἐτρόμαξε ποτὲ τοὺς Ἀποστόλους καὶ τοὺς Μάρτυρες; «Ἔχαιραν, λέγει, διότι ἀξιώθηκαν νὰ ἀτιμασθοῦν γιὰ τὸ ὄνομα Αὐτοῦ». Ὅσο δὲ ὁ νικητὴς πολεμεῖται, τόσο περισσότερο στεφανώνεται καὶ ἀπὸ αὐτὸ ἔχει μεγάλη χαρά. Ὅταν ἀκούσῃ αὐτὸς τὴν φωνὴ τῆς σάλπιγγος δὲν δειλιάζει σὰν νὰ κηρύττεται ἀπὸ αὐτὴν σφαγὴ ἀλλὰ μᾶλλον εὐφραίνεται σὰν νὰ προμηνύεται ἀπονομὴ τῶν στεφάνων. Διότι τίποτε δὲν συνηθίζει νὰ ἑτοιμάζῃ τόσο ἄκοπα τὴν νίκη, ὅπως ἡ τόλμη μαζὶ μὲ τὴν βε-

βαίας πίστεως· οὐδὲ τὴν ἧτταν, ὡς ἡ φιλαυτία καὶ ἡ ἐκ τῆς ἀπιστίας δειλία ποιεῖν πέφυκεν· οὐδὲ πρὸς ἀνδρείαν χειραγωγός, ὡς ἡ ἐπιμέλεια καὶ ἡ πεῖρα τοῦ πράγματος· οὐδὲ πρὸς λεπτότητα λογισμῶν, ὡς ἡ ἀνάγνωσις ἐν ἡσυχίᾳ· οὐδὲ λήθης πρόξενος, ὡς ἡ ἀργία· οὐδὲ πρὸς ἄφεσιν ἁμαρτημάτων σύντομος, ὡς ἡ ἀνεξικακία· οὐδὲ καταλλαγῆς πταισμάτων πρόξενος, ὡς ἡ μετάνοια καὶ τοῦ [delendum] ἡ ἐκκοπὴ τοῦ κακοῦ· οὐδὲ προκοπὴ ψυχῆς σύντομος ὡς ἡ ἐκκοπὴ τῶν οἰκείων θελημάτων καὶ νοημάτων· οὐδὲ μεῖζόν ἐστιν, ὡς τὸ ῥῖψαι ἑαυτόν τινα ἐνώπιον τοῦ Θεοῦ νυκτὸς καὶ ἡμέρας καὶ παρακαλεῖν αὐτὸν γενέσθαι τὸ θέλημα αὐτοῦ ἐν πᾶσιν· οὐδὲ χεῖρον, ὡς τὸ ἀγαπᾶν τὴν ἐλευθερίαν καὶ μετεωρισμὸν τῆς ψυχῆς ἢ τοῦ σώματος. Διότι ἡμῖν, τοῖς ἔτι φόβῳ τῶν κολάσεων καὶ τῶν πειρασμῶν ἀγαπῶσι τὸ ἀγαθόν, οὐ συμφέρει ἡ ἐλευθερία ὅλως, ἀλλ᾽ ἡ φυλακὴ καὶ ἡ φυγὴ τῶν πραγμάτων· ἵνα κἂν ἐκ τῆς ἀποχῆς τῶν βλαπτόντων ἡμῶν τὴν ἀσθένει-

βαία πίστι· οὔτε [ἄλλο] προκαλεῖ τὴν ἧττα, ὅσο ἡ φιλαυτία καὶ ἡ δειλία, ἡ ὁποία προέρχεται ἀπὸ τὴν ἀπιστία· οὔτε [ὑπάρχει ἄλλος] ὁδηγὸς πρὸς τὴν ἀνδρεία, ὅσο ἡ ἐπιμέλεια καὶ ἡ ἐμπειρία τοῦ πράγματος· οὔτε [ἄλλο ὁδηγεῖ] στὴν λεπτότητα τῶν λογισμῶν, ὅσο ἡ ἀνάγνωσι στὴν ἡσυχία· οὔτε [ἄλλο προξενεῖ] τὴν λήθη, ὅπως ἡ ἀργία· οὔτε [ἄλλος] σύντομος [δρόμος] γιὰ ἄφεσι ἁμαρτιῶν, ὅσο ἡ ἀνεξικακία· οὔτε [ἄλλο] ἐπιφέρει τὴν συμφιλίωσι [μὲ τὸν Θεὸ μετὰ ἀπὸ] τὰ ἁμαρτήματα, ὅσο ἡ μετάνοια καὶ ἡ διακοπὴ τοῦ κακοῦ· οὔτε [ὑπάρχει ἄλλη] πιὸ σύντομη προκοπὴ τῆς ψυχῆς, ὅσο ἡ ἐκκοπὴ τῶν δικῶν μας θελημάτων καὶ νοημάτων· οὔτε ὑπάρχει [τίποτα] μεγαλύτερο, ἀπὸ τὸ νὰ ἐπιρρίψῃ κανεὶς τὸν ἑαυτόν του ἐνώπιον τοῦ Θεοῦ νύχτα καὶ ἡμέρα, καὶ νὰ Τὸν παρακαλῇ νὰ γίνῃ τὸ θέλημά Του σὲ ὅλα· οὔτε [ὑπάρχει ἄλλο] χειρότερο, ὅσο τὸ νὰ ἀγαπᾷ κανεὶς τὴν ἀσυδοσία καὶ τὸν μετεωρισμὸ τῆς ψυχῆς καὶ τοῦ σώματος. Διότι σὲ μᾶς, οἱ ὁποῖοι ἀκόμη ἀγαποῦμε τὸ ἀγαθὸ [μόνον] ἀπὸ τὸν φόβο τῶν τιμωριῶν καὶ τῶν πειρασμῶν, δὲν μᾶς συμφέρει καθόλου ἡ ἐλευθερία, ἀλλὰ ὁ περιορισμὸς καὶ ἡ ἀποφυγὴ τῶν πραγμάτων· γιὰ νὰ [μποροῦμε] νὰ ἀντιπαλεύωμε τοὺς λογισμούς μας, τουλάχιστον μὲ τὴν ἀποφυγὴ

αν, δυνηθῶμεν παλαίειν τοῖς λογισμοῖς. Τὰ μὲν γὰρ ἀρχοντικὰ πνεύματα, οἱ ἄρχοντες οἱ ἀπαθεῖς, ὡς ἤδη νικήσαντες τὰ αἴσχιστα πάθη· οἱ δὲ ἐν ὑποταγῇ πατρός, τὰ ἀρχόμενα. Ἐπειδή φασιν, ὅ τε Ἅγιος Μακάριος καὶ ὁ Ἀββᾶς Κρώνιος, ἄρχοντές εἰσι καὶ ἀρχόμενοι οἱ δαίμονες. Καὶ ἀρχοντικὰ μέν εἰσι, κενοδοξία, οἴησις καὶ τὰ ὅμοια· ἀρχόμενα δέ, γαστριμαργία, πορνεία καὶ τὰ τοιαῦτα. Οἱ γὰρ εἰς τὴν τελείαν ἀγάπην[234] φθάσαντες, ἐξουσίαν ἔχουσιν, ὅτι ἀβιάστως ποιοῦσι τὸ ἀγαθόν, καὶ χαίρουσιν ἐν τῷ ποιεῖν αὐτὸ καὶ μηδέποτε καταλιμπάνειν τοῦτο βουλόμενοι. Ἀλλ' ὅταν ἴσως αὐτοῖς ἐμπόδιον ἀκουσίως γένηται, ὡς τυραννούμενοι διάκεινται· καὶ ἑλκόμενοι ὑπὸ τοῦ θείου πόθου, εὐθέως φεύγουσιν εἰς τὴν ἡσυχίαν καὶ ἐργασίαν, ὡς ἀπόλαυσιν καὶ οἰκείαν συνήθειαν. Πρὸς γὰρ τοὺς τοιούτους, φασὶν οἱ Πατέρες, μικρὸν εὔχου, μικρὸν ἀναγίνωσκε, μικρὸν μελέτα, μικρὸν ἐργάζου, μικρὸν τήρει τὸν νοῦν, καὶ οὕτως ἀνάλισκε τὸν καιρόν. Ταῦτα δέ φα-

ἐκείνων, ποὺ βλάπτουν τὴν ἀσθένειά [μας]. Τὰ μὲν ἀρχοντικὰ πνεύματα [ἐξουσιάζουν] οἱ ἀπαθεῖς, ἐπειδὴ ἐνίκησαν τὰ πολὺ αἰσχρὰ πάθη, ἐνῷ ὅσοι εἶναι σὲ ὑποταγὴ [πνευματικοῦ] πατρὸς [ἐξουσιάζουν] τὰ ἀρχόμενα [πνεύματα]. Διότι λέγουν καὶ ὁ Ἅγιος Μακάριος καὶ ὁ ἀββᾶς Κρόνιος[ϱογ], [ὅτι] οἱ δαίμονες εἶναι [καὶ διακρίνονται] σὲ ἄρχοντες καὶ ἀρχομένους. Ἀρχοντικὰ πάθη εἶναι ἡ κενοδοξία, ἡ οἴησις, καὶ τὰ παρόμοια, ἐνῷ ἀρχόμενα [εἶναι] ἡ γαστριμαργία, ἡ πορνεία καὶ τὰ ὅμοια [μὲ αὐτά]. Ἀφοῦ, «ὅσοι ἔφθασαν στὴν τελεία ἀγάπη», ἔχουν ἐξουσία [ἐπὶ τῶν πνευμάτων] ἐπειδὴ κάνουν χωρὶς βία τὸ καλὸ καὶ χαίρονται νὰ τὸ κάνουν καὶ δὲν θέλουν ποτὲ νὰ τὸ ἐγκαταλείψουν. Ἀλλά, ὅταν τοὺς βρεθῇ κάποιο ἐμπόδιο χωρὶς τὴν θέλησί τους, νοιώθουν σὰν ἐκείνους, οἱ ὁποῖοι τυραννοῦνται· καὶ [ἔτσι] ἑλκόμενοι ἀπὸ τὸν θεῖο πόθο ἀμέσως φεύγουν πρὸς τὴν ἡσυχία καὶ τὴν [πνευματικὴ] ἐργασία, ὡς ἀπόλαυσι καὶ προσφιλῆ συνήθεια. Διότι πρὸς αὐτοὺς λέγουν οἱ Πατέρες: γιὰ λίγο [χρόνο] νὰ προσεύχεσαι, λίγο νὰ διαβάζῃς, λίγο νὰ μελετᾷς, λίγο νὰ ἐργάζεσαι, γιὰ λίγο νὰ κρατᾷς τὸν νοῦ καὶ ἔτσι νὰ περνᾷς τὸν καιρό σου. Καὶ τὰ λέγουν αὐτὰ [οἱ

σι διὰ τὸ ἐξουσιάζειν ἑαυτοὺς οἱ ἀπαθεῖς καὶ μὴ αἰχμαλωτίζεσθαι ὑπό τινος θελήματος, παρὰ τὸ δέον· ἀλλ᾽ ὅταν βούλωνται, τὸν νοῦν ἔχουσι, καὶ τὸ σῶμα ὡς δοῦλον ἐπιτάσσουσιν. Ἡμεῖς δὲ ὀφείλομεν ἔσεσθαι ὑπὸ νόμον καὶ κανόνα, ἵνα ἄκοντες καὶ μὴ βουλόμενοι, ὡς ὑπὸ τοῦ χρέους ἀναγκαζόμενοι, ποιῶμεν τὸ ἀγαθόν. Διότι ἔτι τὰ πάθη καὶ τὰς ἡδονὰς μᾶλλον ἀγαπῶμεν, ἤτοι τὴν ἀνάπαυσιν τοῦ σώματος καὶ τὰ οἰκεῖα θελήματα· καὶ ὅπου βρίσκεται ὁ ἐχθρὸς ἄγει τὸν νοῦν ἡμῶν. Ὡσαύτως καὶ τὸ σῶμα ἀτάκτους ἔχον τὰς ὁρμάς, εἴ τι βούλεται, ὡς ἄλογον ποιεῖ· καὶ εἰκότως. Ὅπου οὐκ ἔστι νοὸς ἐπιστασία, πάντα ἀλόγως καὶ παρὰ φύσιν γίνονται· καὶ οὐχ ὡς οἱ ἀληθινοὶ Ἰσραηλῖται· ὥς φησιν ὁ Κύριος πρὸς τὸν ζηλωτὴν Σίμωνα τὸν Κανανίτην· ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι[235], τὴν τοῦ ἀνδρὸς ἀρετὴν κηρύττων. Τὸ γὰρ Ναθαναήλ, ζῆλος Θεοῦ ἑρμηνεύεται. Καὶ τὸ μὲν γενικὸν αὐτοῦ ὄνομα, Σίμων ἦν· Κανανίτης δὲ διὰ τὸ ἀπὸ Κανᾶ τῆς

Πατέρες], ἐπειδὴ οἱ ἀπαθεῖς ἐξουσιάζουν τοὺς ἑαυτούς των καὶ δὲν αἰχμαλωτίζονται ἀπὸ κανένα θέλημα ἀντίθετο πρὸς αὐτὸ ποὺ πρέπει· ἀλλὰ ὅταν θέλουν, κυριαρχοῦν στὸν νοῦ καὶ διατάζουν τὸ σῶμα σὰν δοῦλο. Ἐμεῖς ὅμως ὀφείλομε νὰ εἴμαστε κάτω ἀπὸ νόμο καὶ κανόνα, ὥστε ἀκούσια καὶ παρὰ τὴ θέλησί μας νὰ κάνωμε τὸ καλό, ἐπειδὴ ἀναγκαζόμαστε ἀπὸ τὸ χρέος. Διότι ἀκόμη ἀγαποῦμε τὰ πάθη μᾶλλον καὶ τὶς ἡδονές, δηλαδὴ τὴν ἀνάπαυσι τοῦ σώματος καὶ τὰ δικά μας θελήματα· καὶ ὅπου βρίσκεται [καὶ θέλει] ὁ ἐχθρὸς ὁδηγεῖ τὸν νοῦ μας. Ἐπίσης καὶ τὸ σῶμα, ἐπειδὴ ἔχει ἄτακτες τὶς ὁρμές, κάνει ὅ,τι θέλει, στερούμενο λογικῆς· καὶ εἶναι φυσικό. Ὅπου δὲν ὑπάρχει ἡ ἐπιστασία τοῦ νοῦ, ὅλα γίνονται παράλογα καὶ παρὰ φύσιν· καὶ ὄχι ὅπως «οἱ ἀληθινοὶ Ἰσραηλῖτες», ὅπως λέγει ὁ Κύριος πρὸς τὸν ζηλωτὴ Σίμωνα τὸν Κανανίτη, «ἰδοὺ ἕνας ἀληθινὸς Ἰσραηλίτης, στὸν ὁποῖο δὲν ὑπάρχει δόλος», διακηρύσσοντας [ἔτσι] τὴν ἀρετὴ τοῦ ἀνδρός. Διότι τὸ [ὄνομα] Ναθαναὴλ ἑρμηνεύεται ζῆλος Θεοῦ. Καὶ τὸ μὲν κύριο ὄνομά του ἦταν Σίμων· Κανανίτης δὲ [λέγεται], διότι καταγόταν ἀπὸ τὴν Κανὰ τῆς

Γαλιλαίας ὑπάρχειν· καὶ Ναθαναὴλ πάλιν, διὰ τὴν αὐτοῦ ἀρετήν· ὡς καὶ τὸ Ἰσραηλίτης, τοῦτ᾽ ἔστι νοῦς ὁρῶν τὸν Θεόν, ἐκτὸς παντὸς δόλου. Ἔθος γάρ, φησὶν ὁ Μέγας Βασίλειος, τῇ θείᾳ Γραφῇ ἐκ τῆς τοῦ ἀνδρὸς ἀρετῆς μᾶλλον ὀνομάζειν, ἢ ἐκ τῆς γεννήσεως. Καὶ γὰρ οἱ κορυφαῖοι τῶν Ἀποστόλων Πέτρος καὶ Παῦλος, ὁ μὲν Σίμων ἐκέκλητο καὶ Πέτρον διὰ τὴν στεῤῥότητα τοῦ ἀνδρὸς ὁ Κύριος ἐκάλεσεν[236]· ὁ δὲ Σαῦλος, ἤτοι ζάλη, καὶ εἰς Παῦλον μετέθηκεν[237], ἤτοι ἀνάπαυλα, ἀνάπαυσις· καὶ εἰκότως. Ὅσον γὰρ ἐτάραξε τὸ πρὶν τοὺς πιστούς, τοσοῦτον ὕστερον ἀνέπαυσε πάντων τὰς ψυχὰς ἔργῳ καὶ λόγῳ, ὥς φησι περὶ αὐτοῦ ὁ Χρυσόστομος. Ἴδε τὴν εὐλάβειαν τοῦ Ἀποστόλου. Μνησθεὶς γὰρ τοῦ Θεοῦ, οὐκ ἐδίδασκε, μέχρις ἂν τὴν ὀφειλομένην εὐχαριστίαν καὶ εὐχὴν ἀπένειμε τῷ Θεῷ[238], δεικνύων ὅτι ἐκεῖθεν ἔχει τὴν γνῶσιν καὶ ἰσχύν, καὶ εἰκότως· μετὰ τῆς εὐχῆς τὴν νουθεσίαν. Καὶ ὁ μὲν θεσπέσιος Λουκᾶς ἀπληρώτους καταλιπὼν τὰς τῶν Ἀποστόλων

Γαλιλαίας· καὶ Ναθαναὴλ πάλι γιὰ τὴν ἀρετή του· ὅπως καὶ τὸ «Ἰσραηλίτης», ποὺ σημαίνει νοῦς ποὺ βλέπει τὸν Θεό, χωρὶς κανένα δόλο. Γιατὶ [εἶναι] συνήθεια, λέγει ὁ Μέγας Βασίλειος[ροδ'], στὴν θεία Γραφὴ νὰ ὀνομάζῃ τοὺς ἀνθρώπους [χαρακτηρίζοντάς τους] ἀπὸ τὴν ἀρετή τους, παρὰ ἀπὸ τὴν γέννησί τους. Καὶ πράγματι οἱ Κορυφαῖοι τῶν Ἀποστόλων Πέτρος καὶ Παῦλος, ὁ μὲν [πρῶτος] Σίμων ὀνομαζόταν, καὶ Πέτρο τὸν ὀνόμασε ὁ Κύριος γιὰ τὴν [σὰν πέτρα] σταθερότητα τοῦ ἀνδρός· ἐνῶ ὁ [δεύτερος] Σαῦλος [ὀνομαζόταν], δηλαδὴ ζάλη, καὶ τὸν μετονόμασε σὲ Παῦλο, δηλαδὴ ἀνάπαυλα, ἀνάπαυσι· καὶ πολὺ φυσικά. Διότι, ὅσο ἐτάραξε προηγουμένως τοὺς πιστούς, τόσο πολὺ ἀνέπαυσε ὕστερα τὶς ψυχὲς ὅλων μὲ ἔργο καὶ λόγο, ὅπως λέγει γι᾽ αὐτὸν ὁ Χρυσόστομος[ροε']. Πρόσεξε τὴν εὐλάβεια τοῦ Ἀποστόλου. Διότι ἀπὸ τὴ μνήμη τοῦ Θεοῦ, δὲν ἐδίδασκε, μέχρι ποὺ προσέφερε στὸν Θεὸ «τὴν ὀφειλομένη εὐχαριστία καὶ εὐχή», δείχνοντας ἔτσι, ὅτι ἀπὸ Αὐτὸν ἔχει τὴν γνῶσι καὶ τὴν δύναμι καὶ εὔλογα. [Ἐπειδὴ] μαζὶ μὲ τὴν εὐχὴ [εἶχε] καὶ τὴν νουθεσία. Καὶ ὁ μὲν θεσπέσιος Λουκᾶς, ἄφησε ἀσυμπλήρωτο τὸ ἔργο του: «Πράξεις

πράξεις, οὐκ ἐξ ἀμελείας ἢ ἄλλης τινὸς ἀνάγκης, ἀλλὰ πρὸς τὸν Θεὸν ἀπεδήμησεν. Ἡμεῖς δέ, ὅταν ἀτελὲς πρᾶγμα ἢ ἐγχείρημα καταλίπωμεν, ἐξ ἀμελείας ἢ ἀνικανίας τοῦτο πάσχομεν. Διότι οὐ ποιοῦμεν τὸ ἔργον τοῦ Θεοῦ ἐπιμελῶς καὶ οὐχ ὡς κυρίως ἔργον φιλοῦμεν, ἀλλὰ καταφρονοῦμεν ὡς πάρεργον καὶ φορτικὸν καὶ τούτου χάριν ἀπρόκοποι μένομεν ἢ καὶ στρεφόμεθα εἰς τὰ ὀπίσω πολλάκις τινές, ὡς οἱ στραφέντες ποτὲ εἰς τὰ ὀπίσω[239], καὶ οὐκ ἔτι ἠκολούθησαν τῷ Ἰησοῦ· καίπερ, φησὶν ὁ Χρυσόστομος, οὐκ ἦν ὁ λόγος σκληρός, ὡς ἐνόμιζον, ἀλλὰ περὶ δογμάτων ἦν τὸ εἰρημένον αὐτοῖς τότε. Ἀλλ᾽ ὅπου προαίρεσις οὐκ ἔστιν, οὐδὲ προθυμία, καὶ τὰ εὐχερῆ δυσχερῆ εὑρίσκονται, ὥσπερ καὶ τὸ ἔμπαλιν.

τῶν Ἀποστόλων», ὄχι ἀπὸ ἀμέλεια καὶ κάποια ἄλλη ἀνάγκη, ἀλλὰ ἐπειδὴ ἀπεδήμησε πρὸς τὸν Θεό. Ἐμεῖς ὅμως, ὅταν ἀφήσωμε ἀτελείωτο ἕνα πρᾶγμα ἢ ἕνα ἔργο, τὸ παθαίνομε αὐτὸ ἀπὸ ἀμέλεια ἢ ἀνικανότητα. Διότι δὲν κάνομε τὸ ἔργο τοῦ Θεοῦ μὲ ἐπιμέλεια καὶ δὲν τὸ ἀγαποῦμε ὡς κύριο ἔργο, ἀλλὰ τὸ καταφρονοῦμε σὰν πάρεργο καὶ φορτικὸ καὶ ἐξ αἰτίας αὐτοῦ μένομε χωρὶς προκοπή, ἢ καὶ μερικοὶ [ἀκόμη] στρεφόμαστε πολλὲς φορὲς πρὸς τὰ ὀπίσω, ὅπως ἐκεῖνοι, οἱ ὁποῖοι κάποτε «ἐστράφησαν εἰς τὰ ὀπίσω» καὶ δὲν ἀκολούθησαν πλέον τὸν Χριστό· μονολότι, λέγει ὁ Χρυσόστομος[ροστ'], δὲν ἦταν ὁ λόγος σκληρός, ὅπως ἐνόμιζαν [ἐκεῖνοι], ἀλλὰ ὅ,τι εἶχε λεχθῆ τότε σ᾽ αὐτούς, ἦταν περὶ δογμάτων. Ὅμως, ὅπου δὲν ὑπάρχει καλὴ διάθεσι, οὔτε [καὶ] προθυμία [ὑπάρχει] καὶ τὰ εὔκολα τὰ βρίσκομε [σὰν] δύσκολα, ὅπως ἀκριβῶς καὶ τὸ ἀντίθετο.



[168.] Δέεται γὰρ πᾶς ἄνθρωπος ὑπομονῆς πρὸ πάντων, φησὶν ὁ Μέγας Βασίλειος, ὥσπερ γῆ ὑετοῦ, ἵνα τὸ θεμέλιον, ὥς φησιν ὁ Ἀπόστολος, ἤτοι τὴν πίστιν ἐπ᾽ αὐτῆς τίθησι[240] καὶ κατὰ μικρὸν οἰκοδομεῖ ἡ διάκρισις, ὡς ἔμπειρος οἰκοδόμος τὸν οἶκον τῆς ψυχῆς. Διηνεκῶς μὲν πηλὸν τίθησιν ἐκ τῆς γῆς τῆς ταπεινώσεως, ἵνα συνέχῃ λίθον πρὸς λίθον, ἤτοι ἀρετὴν πρὸς ἀρετήν, μέχρις ἂν ἡ στέγη τίθηται, ἤγουν ἡ τελεία ἀγάπη· [169.] καὶ οὕτως ὁ οἰκοδεσπότης εἰσέρχεται καὶ κατοικεῖ εἰς τὴν ψυχήν, εἴπερ θυρωροὺς ἔχει καλούς, ἀείποτε ὅπλα κατέχοντας, ἤγουν νοήματα φωτεινὰ καὶ θεοπρεπεῖς ἐργασίας, δυναμένας ἀνενόχλητον ποιῆσαι τὸν βασιλέα· καὶ μὴ γυναῖκα θυρωρόν, καὶ αὕτη ἐργόχειρον κατέχουσα, ὥς φησιν ὁ Ἅγιος Νεῖλος ἑρμηνεύων τὴν παλαιὰν Ἱστορίαν. Διὰ τοῦτο, φησίν, οὐκ ἔθετο ὁ Πατριάρχης Ἀβραὰμ γυναῖκα θυρωρόν, ἀλλὰ μᾶλλον ἀνδρεῖός τις καὶ ἀπότομος λογισμός[κθ΄], καὶ

168. Κάθε ἄνθρωπος ἔχει ἀνάγκη προπάντων ἀπὸ τὴν ὑπομονή, λέγει ὁ Μέγας Βασίλειος[ροζ΄], ὅπως ἀκριβῶς ἡ γῆ ἀπὸ τὴν βροχή, γιὰ νὰ βάλῃ πάνω σ᾽ αὐτὴν τὸ θεμέλιο, ὅπως λέγει ὁ Ἀπόστολος, δηλαδὴ τὴν πίστι καὶ σιγὰ σιγά, σὰν ἔμπειρος οἰκοδόμος, ἡ διάκρισι κτίζει τὸ σπίτι τῆς ψυχῆς. Διαρκῶς λοιπὸν βάζει λάσπη ἀπὸ τὴν γῆ τῆς ταπεινώσεως, γιὰ νὰ συγκρατῇ τὴν μία πέτρα μὲ τὴν ἄλλη, δηλαδὴ τὴν μία ἀρετὴ μὲ τὴν ἄλλη, μέχρις ὅτου τοποθετηθῇ ἡ στέγη, δηλαδὴ ἡ τελεία ἀγάπη.

169. Καὶ τότε εἰσέρχεται ὁ οἰκοδεσπότης καὶ κατοικεῖ στὴν ψυχή, ἂν βέβαια ἔχῃ καλοὺς θυρωρούς, οἱ ὁποῖοι κρατοῦν πάντοτε τὰ ὅπλα, δηλαδὴ φωτεινὰ νοήματα καὶ θεοπρεπεῖς ἐργασίες, οἱ ὁποῖες μποροῦν νὰ καταστήσουν ἀνενόχλητο τὸν βασιλέα καὶ ὄχι [νὰ ἔχῃ γιὰ] θυρωρὸ γυναῖκα καὶ αὐτὴ νὰ κρατᾷ ἐργόχειρο [στὰ χέρια], ὅπως λέγει ὁ ἅγιος Νεῖλος[ροη΄], ἑρμηνεύοντας τὴν παλαιὰ Ἱστορία. Γι᾽ αὐτό, λέγει, δὲν ἔβαλε ὁ Πατριάρχης Ἀβραὰμ γυναῖκα θυρωρό, ἀλλὰ μᾶλλον ἕναν ἀνδρεῖο καὶ ἀπότομο λογισμὸ καὶ

οὗτος ὅπλα φέρων, ὥς φησιν ὁ Ἀπόστολος, μετὰ τῶν ἄλλων καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ[241]*, ἵνα τοὺς εἰσερχομένους πρὸς αὐτὸν ἢ κτείνων, ἢ ἀποσειόμενος. [170.] Ἐπεὶ ἀνύστακτός ἐστι καὶ ἱστάμενος κτείνων μὲν τοὺς ἀλλοτρίους λογισμούς, τῇ ἐναντιουμένῃ ἐργασίᾳ καὶ ἀντιῤῥητικῷ λόγῳ· ἀποσείεται δὲ πᾶν ὅ,τι παρὰ τὸν τοῦ Θεοῦ σκοπὸν ἐρχόμενον ἐν τῇ καρδίᾳ, τῇ τούτου καταφρονήσει καὶ ἀποβολῇ, εἰς τὸ μηδ' ὅλως ἐκ τῆς περὶ Θεοῦ θεωρίας καὶ τῶν θείων νοημάτων ἄδειαν ἔχειν ὁ πεφωτισμένος νοῦς. [171.] Ἔργον τῆς ἡσυχίας, φησίν, ἐστὶ τὸ λεγόμενον, ὥσπερ ἀλλαχοῦ εὑρίσκεται ἀνάγων ὁ Ἅγιος Νεῖλος τὴν θείαν Γραφήν, καὶ σαφηνίζων, ὅτι ὁ περισπασμός ἐστιν αἰτία τοῦ σκοτασμοῦ τοῦ νοός· καὶ εἰκότως. Εἰ μὴ γὰρ συνέχεται πανταχόθεν ὁ νοῦς, ὥσπερ ἐν σωλῆνι ὕδωρ, οὐκ ἂν πρὸς ἑαυτὴν ἡ διάνοια ἠδύνατο συναχθῆναι, ἵνα καὶ πρὸς τὸν Θεὸν ἀνέλθῃ. [172.] Μὴ ἀνελθὼν δέ τις νο-*

αὐτὸν ὁπλισμένον, ὅπως λέγει ὁ Ἀπόστολος, [μὲ διάφορα ὅπλα καὶ] μαζὶ μὲ τὰ ἄλλα καὶ τὴν μάχαιρα τοῦ Πνεύματος, ἡ ὁποία εἶναι «ὁ λόγος τοῦ Θεοῦ», γιὰ νὰ φονεύῃ ἢ νὰ ἀπομακρύνῃ ἐκείνους, οἱ ὁποῖοι τὸν πλησιάζουν.

170. Γιατὶ εὑρίσκεται ἀνύστακτος καὶ ὄρθιος φονεύοντας μὲν τοὺς ξένους [καὶ ἐχθρικοὺς] λογισμοὺς μὲ τὴν ἀντίθετη [πνευματικὴ] ἐργασία καὶ τὸν ἀντιρρητικὸ λόγο· ἀποκρούει δὲ κάθε τί, ποὺ ἔρχεται στὴν καρδία του, καὶ εἶναι ἀντίθετο πρὸς τὸν σκοπὸ τοῦ Θεοῦ, μὲ τὴν περιφρόνησι καὶ τὴν ἐκδίωξί του, οὕτως ὥστε, νὰ μὴ διακόπτεται καθόλου ὁ φωτισμένος νοῦς, ἀπὸ τὴν θεωρία τοῦ Θεοῦ καὶ τὰ θεῖα νοήματα.

171. Εἶναι ἔργο τῆς ἡσυχίας, λέγει, τὸ ἀναφερόμενο [πιὸ πάνω], ὅπως σὲ ἄλλο μέρος ἑρμηνεύει ὁ ἅγιος Νεῖλος[ροθ'] τὴν θεία Γραφὴ καὶ διασαφηνίζει, ὅτι ὁ περισπασμὸς εἶναι ἡ αἰτία τοῦ σκοτασμοῦ τοῦ νοῦ· καὶ εὔλογα. Διότι ἂν δὲν περιορίζεται ἀπὸ παντοῦ ὁ νοῦς, ὅπως τὸ νερὸ στὸ σωλῆνα, δὲν θὰ μποροῦσε ἡ διάνοια νὰ συγκεντρωθῇ στὸν ἑαυτόν της γιὰ νὰ ἀνεβῇ καὶ πρὸς τὸν Θεό.

172. Ἂν ὅμως δὲν ἀνεβῇ κανεὶς νο-

ερῶς καὶ μὴ γευσάμενός τι τῶν ἄνω, πῶς εὐχερῶς τῶν κάτω καταφρονῆσαι δύναται; [173.] Ὥστε ἐκ πίστεως ὀφείλομεν τρέχειν[242]*, κατὰ τὸν Ἀπόστολον, μεθ' ὑπομονῆς ἔργον ἔχοντες αὐτὸ τοῦτο, τὸ εὐαρεστῆσαι Θεῷ· καὶ καιροῦ καλοῦντος, οἱ καλῶς τρέχοντες*[243] *τὸ ἐκ μέρους γινώσκειν καὶ καταβαλεῖν ἰσχύουσι· καὶ μετὰ ταῦτα τὸ πᾶν ἐν τῷ μέλλοντι, λυθησομένων τῶν ἐσόπτρων*[244]*, δηλαδὴ τῆς φθαρτῆς ταύτης ζωῆς, ὅπου οὐκέτι ἡ ψυχὴ ἐπιθυμεῖ κατὰ τῆς σαρκός, οὐδὲ ἡ σὰρξ κατὰ τοῦ Πνεύματος*[245]*· οὐδὲ ἡ ῥαθυμία τὴν λήθην καὶ ἡ λήθη τὴν ἄγνοιαν προσφέρειν δύναται· ὥσπερ ἄρτι πάσχομεν οἱ πολλοί, ὥστε γράψαι πρὸς ὑπόμνησιν δεόμεθα. Καὶ γὰρ πολλάκις ἔννοιά τις αὐτομάτως ἐπῆλθε*[Λ']*, καὶ ἡ μὲν γραφὴ παρέδωκε ταύτην πρὸς μνήμην· εἶχον δὲ αὐτὴν ἐν καιρῷ πολέμου πρόξενον βοηθείας ἢ κουφισμοῦ ἢ εὐχαριστίας, ὅταν ὑπὸ τῆς θείας Γραφῆς τὴν μαρτυρίαν εἶχεν· εἰ δὲ ἀμελῶς περὶ τῶν τοιούτων διεκείμην, οὐκ*

ερὰ καὶ δὲν γευθῇ κάτι ἀπὸ τὰ ἄνω [οὐράνια], πῶς θὰ μπορέσῃ εὔκολα νὰ καταφρονήσῃ τὰ κάτω; 173. Ὥστε ὀφείλομε, κατὰ τὸν Ἀπόστολο, «νὰ τρέχωμε» μὲ πίστι καὶ μὲ ὑπομονή, ἔχοντας [μοναδικὸ] ἔργο αὐτὸ τοῦτο, δηλαδὴ νὰ εὐαρεστήσωμε τὸν Θεό· καὶ ὅταν τὸ καλῇ ὁ καιρός, «οἱ καλῶς τρέχοντες» μποροῦν νὰ γνωρίζουν καὶ νὰ κατακτήσουν τὴν μερικὴ γνῶσι· καὶ ὕστερα ἀπὸ αὐτὰ στὸν μέλλοντα αἰῶνα τὴν πλήρη γνῶσι, ἀφοῦ «καταργηθοῦν οἱ καθρέπτες» δηλαδὴ ἡ φθαρτὴ αὐτὴ ζωή, ἐκεῖ ὅπου ἡ ψυχὴ δὲν ἐπιθυμεῖ πλέον κατὰ τῆς σαρκός, οὔτε ἡ σάρκα κατὰ τοῦ Πνεύματος· [ἐκεῖ ὅπου] οὔτε ἡ ραθυμία μπορεῖ νὰ ἐπιφέρῃ τὴν λήθη καὶ ἡ λήθη τὴν ἄγνοια· ὅπως τώρα τὸ παθαίνομε οἱ πολλοί, ὥστε ἔχομε τὴν ἀνάγκη νὰ γράφωμε γιὰ νὰ θυμώμαστε. Διότι πολλὲς φορὲς [μοῦ] ἦλθε αὐθόρμητα μία σκέψι καὶ [μόνον] τὸ γράψιμο τὴν παρέδωσε [καὶ διεφύλαξε] στὴν μνήμη· [καὶ ἔτσι] σὲ καιρὸ [πνευματικοῦ] πολέμου τὴν εἶχα πρόξενο βοηθείας ἢ ἀνακουφίσεως ἢ εὐχαριστίας, ὅταν εἶχε τὴν μαρτυρία [τῆς ὀρθότητός της] ἀπὸ τὴν θεία Γραφή· ἂν ὅμως ἤμουν ἀμελὴς γι' αὐτὰ [καὶ δὲν τὴν εἶχα

ἔτι εὑρίσκετο ὅτε ἔχρῃζον αὐτῆς, καὶ ἐζημιώθην τὴν ταύτης ὠφέλειαν, ἐκ τῆς παγκακίστου λήθης. [174.] Διὰ τοῦτο ὀφείλομεν ἔργῳ μαθεῖν τὰς ἀρετάς, ἵνα τῇ ἕξει τούτων φυλάττηται ἡ τοῦ ἀγαθοῦ μνήμη, καὶ μὴ λόγῳ μόνῳ. Οὐκ ἔστι, φησὶν ὁ Ἀπόστολος, ἡ βασιλεία τοῦ Θεοῦ ἐν λόγῳ, ἀλλ᾽ ἐν δυνάμει[246]*. Ὁ γὰρ ἔργῳ ζητῶν, ἐκεῖνος εἶδε τὴν ζημίαν καὶ τὸ κέρδος, ἐν ᾧ μετέρχεται πράγματι, φησὶν ὁ Ἅγιος Ἰσαάκ, καὶ οὗτος δύναται συμβουλὴν δοῦναι ἑτέροις, ὡς παθὼν πολλάκις, καὶ μαθὼν τὴν πεῖραν. Διότι εἰσὶ πράγματα, καλὰ μὲν φαινόμενα, φησίν, ἔχουσι δὲ οὐ τὴν τυχοῦσαν ζημίαν κεκρυμμένην· καὶ εἰσὶν ἄλλα φαινόμενα πονηρά, ἔχουσι δὲ ἔσωθεν μέγιστον κέρδος. [175.]Διὰ τοῦτο, φησίν, οὐκ ἔστι πᾶς ἄνθρωπος πιστὸς πρὸς τὸ δοῦναι συμβουλὴν τοῖς ζητοῦσιν· ἀλλ᾽ ὅστις παρὰ Θεοῦ λαβὼν χάρισμα διακρίσεως, καὶ ἐκ τῆς ἐγχρονίσεως ἐν τῇ ἀσκήσει διορατικὸν νοῦν κτησάμενος, ὥς φησιν ὁ Ἅγιος Μάξιμος,*

γράψει], δὲν θὰ τὴν εὕρισκα ὅταν τὴν χρειαζόμουν καὶ θὰ ζημιωνόμουν τὴν ὠφέλειά της, λόγῳ τῆς παγκάκιστης λησμοσύνης.

174. Γι᾽ αὐτὸ ὀφείλομε νὰ μάθωμε στὴν πρᾶξι τὶς ἀρετές, γιὰ νὰ διατηρῆται [μέσα μας], μὲ τὴ συνήθεια αὐτῶν, ἡ μνήμη τοῦ ἀγαθοῦ, καὶ ὄχι μόνο μὲ τὰ λόγια. Δὲν εἶναι, ὅπως λέγει ὁ Ἀπόστολος, «ἡ Βασιλεία τοῦ Θεοῦ στὰ λόγια, ἀλλὰ στὴν δύναμι». Διότι ἐκεῖνος, ὁ ὁποῖος ζητᾶ [νὰ μάθῃ] μὲ τὰ ἔργα, ἐκεῖνος γνωρίζει τὴν ζημία καὶ τὸ κέρδος τοῦ κάθε πράγματος, μὲ τὸ ὁποῖο ἀσχολεῖται, λέγει ὁ Ἅγιος Ἰσαάκ, καὶ αὐτὸς μπορεῖ νὰ δώσῃ συμβουλὴ σὲ ἄλλους, ἐπειδὴ μὲ τὸ νὰ πάθῃ πολλὲς φορές, ἔμαθε [καὶ ἀπέκτησε] τὴν πεῖρα. Διότι ὑπάρχουν πράγματα, λέγει, τὰ ὁποῖα φαίνονται μὲν καλά, ἀλλὰ ἔχουν κρυμμένη [μέσα τους] μεγάλη ζημία· καὶ ὑπάρχουν ἄλλα, τὰ ὁποῖα φαίνονται κακά, ὅμως περιέχουν μέσα τους πάρα πολὺ μεγάλο κέρδος.

175. Γι᾽ αὐτό, λέγει, δὲν εἶναι ὁ κάθε ἄνθρωπος ἀξιόπιστος στὸ νὰ δίνῃ συμβουλὴ σ᾽ αὐτοὺς ποὺ τὴν ζητοῦν· ἀλλὰ ἐκεῖνος, ὁ ὁποῖος ἀφοῦ ἔλαβε ἀπὸ τὸν

καὶ τοῦτο μετὰ πολλῆς ταπεινώσεως, συμβουλεύειν οὐ πᾶσιν, ἀλλὰ τοῖς ἑκουσίως ζητοῦσι καὶ ἀβιάστως ἐρωτῶσιν αὐτόν, καὶ ὡς ἐν τάξει μανθάνοντος. Ἵνα διὰ τῆς ταπεινώσεως καὶ τῆς ἑκουσίου αἰτήσεως τοῦ ἐπερωτῶντος, ἐντυπωθῇ ὁ λόγος ἐν τῇ ψυχῇ τοῦ ἀκούοντος τὸν λόγον· καὶ θερμαίνηται ἐκ τῆς πίστεως, ὁρῶν τὸν σύμβουλον ἀγαθόν, ὡς τὸν θαυμαστὸν σύμβουλον ἐκεῖνον, ὃν ἔφη ὁ Προφήτης Ἠσαΐας, Θεὸν ἰσχυρόν, ἐξουσιαστήν[247]*, καὶ τὰ ἑξῆς· φημὶ τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν εἰπόντα πρὸς ἐκεῖνον τόν ἐγκαλοῦντα· τίς με κατέστησεν ἄρχοντα καὶ μεριστὴν ἐφ᾽ ἡμᾶς*[248]*; Καίτοι γε, φησί, πᾶσαν κρίσιν δέδωκε τῷ Υἱῷ ὁ Πατήρ*[249]*· ἀλλὰ δεικνύων ἡμῖν, ὡς ἐν πᾶσι, καὶ ἐν τούτῳ ὁδὸν σωτηρίας, διὰ τῆς ἁγίας αὐτοῦ ταπεινώσεως, ὅτι οὐκ ἀναγκάζει, ἀλλ᾽ εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀκολουθείτω μοι*[250]*, φησί, τοῦτ᾽ ἔστι, μηδ᾽ ὅλως περὶ τῆς ἑαυτοῦ ζωῆς φροντίδα*

Θεὸ τὸ χάρισμα τῆς διακρίσεως καὶ ἀπὸ τὴν πολυχρόνια ἄσκησι ἀπέκτησε διορατικὸ νοῦ, ὅπως λέγει ὁ ἅγιος Μάξιμος καὶ αὐτὸ μὲ πολλὴ ταπείνωσι, νὰ συμβουλεύῃ ὄχι ὅλους, ἀλλὰ αὐτοὺς ποὺ μὲ τὴν θέλησί τους τὸ ζητοῦν καὶ τὸν ἐρωτοῦν ἀβίαστα καὶ μὲ διάθεσι μαθητοῦ. Ὥστε μὲ τὴν ταπείνωσι καὶ τὴν ἑκούσια αἴτησι ἐκείνου ποὺ ἐρωτᾶ, νὰ ἐντυπωθῇ ὁ λόγος στὴν ψυχὴ αὐτοῦ, ποὺ ἀκούει τὸν Λόγο· καὶ νὰ θερμαίνεται ἀπὸ τὴν πίστι βλέποντας τὸν σύμβουλο [νὰ εἶναι] ἀγαθός, ὅπως ἐκεῖνος ὁ θαυμαστὸς σύμβουλος, τὸν ὁποῖον ὁ Προφήτης Ἠσαΐας ἀπεκάλεσε: «Θεὸν ἰσχυρόν, ἐξουσιαστὴν» καὶ τὰ λοιπά· ἐννοῶ τὸν Κύριο ἡμῶν Ἰησοῦ Χριστό, ὁ Ὁποῖος εἶπε πρὸς ἐκεῖνον ποὺ Τοῦ ζητοῦσε τὸν λόγο: «Ποιὸς μὲ ὅρισε ἄρχοντα καὶ δικαστὴ σὲ σᾶς;» Ἂν καί, ὅπως λέγει, «ὅλην τὴν κρίσιν ἔχει δώσει εἰς τὸν υἱὸν ὁ Πατήρ». Ἀλλὰ γιὰ νὰ δείξῃ σὲ μᾶς, ὅπως σὲ ὅλα καὶ μὲ αὐτό, τὸν δρόμο τῆς σωτηρίας, διὰ τῆς ἁγίας Αὐτοῦ ταπεινώσεως, ὅτι δὲν ἀναγκάζει, ἀλλὰ λέγει «ὅποιος θέλει νὰ μὲ ἀκολουθήσῃ, ἂς ἀπαρνηθῇ τὸν ἑαυτόν του καὶ ἂς μὲ ἀκολουθῇ», [ἐννοώντας]


ποιήσῃ, ἀλλ᾽ ὡς ἐγὼ ποιῶ καὶ ὑπομένω τὸν αἰσθητὸν καὶ ἑκούσιον θάνατον ὑπὲρ πάντων, οὕτω καὶ αὐτὸς ἔργῳ καὶ λόγῳ ἀκολουθείτω, ὡς οἱ Ἀπόστολοι καὶ οἱ Μάρτυρες· εἰ δὲ μήγε, κἂν τὸν κατὰ προαίρεσιν θάνατον ὑπομενέτω. [176.] Καὶ πάλιν πρὸς τὸν πλούσιον ἐκεῖνόν φησιν· εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα[251], καὶ τὰ ἑξῆς· περὶ οὗ φησιν ὁ Μέγας Βασίλειος, ὅτι ἐψεύσατο εἰρηκώς, ὅτι ἐφυλαξάμην τὰς ἐντολάς[252]. Εἰ γὰρ εφύλαξεν, οὐκ ἂν κτήματα πολλὰ ἐκέκτητο, τοῦ νόμου εἰρηκότος ἐν πρώτοις· ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς ψυχῆς σου[253]. Τὸ γὰρ εἰπεῖν ἐξ ὅλης, οὐκ εἴασε τὸν ἀγαπῶντα τὸν Θεὸν καὶ ἄλλο τι φιλεῖν, ὑπὲρ οὗ λυπούμενος εὑρίσκεται ἐν τῇ τούτου ἀποταγῇ. Πάλιν· ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν[254], ἤγουν πάντα ἄνθρωπον. Καὶ πῶς φύλαξ ὑπάρχει, πολλῶν ἄλλων δεομένων τῆς ἐφημέρου τροφῆς, αὐτὸς ἔχων κτήματα πολλά, καὶ ταῦτα

ὅτι αὐτὸ εἶναι δηλαδὴ τὸ νὰ μὴ φροντίσῃ καθόλου γιὰ τὴν ζωή του, ἀλλὰ ὅπως Ἐγὼ κάνω καὶ ὑπομένω τὸν αἰσθητὸ καὶ ἑκούσιο θάνατο γιὰ χάρι ὅλων, ἔτσι κι αὐτὸς ἂς μὲ ἀκολουθῇ μὲ ἔργο καὶ μὲ λόγο, ὅπως οἱ Ἀπόστολοι καὶ οἱ Μάρτυρες· διαφορετικά, ἂς ὑπομένῃ [τουλάχιστον] τὸν κατὰ προαίρεσιν θάνατο.

176. Καὶ πάλι λέγει πρὸς τὸν πλούσιο ἐκεῖνον: «ἂν θέλῃς νὰ εἶσαι τέλειος, πήγαινε, πούλησε τὰ ὑπάρχοντά σου» καὶ τὰ λοιπά· περὶ τοῦ ὁποίου [πλουσίου] λέγει ὁ Μέγας Βασίλειος[ρπ´], ὅτι ἔλεγε ψέματα, ὅταν εἶπε ὅτι «ἐφύλαξε τὶς ἐντολές». Διότι ἂν τὶς τηροῦσε, δὲν θὰ εἶχε ἀποκτήσει [τόσα] πολλὰ κτήματα, ἀφοῦ ὁ νόμος λέγει πρῶτα «νὰ ἀγαπήσῃς Κύριον τὸν Θεόν σου μὲ ὅλη σου τὴν ψυχή». Διότι τὸ νὰ πῇ μὲ ὅλη σου [τὴν ψυχή], δὲν ἐπέτρεψε σ᾽ αὐτὸν ποὺ ἀγαπᾶ τὸν Θεό, νὰ ἀγαπᾶ καὶ κάτι ἄλλο, γιὰ τὸ ὁποῖο λυπᾶται, ὅταν τὸ ἀπαρνεῖται. Πάλι, «νὰ ἀγαπήσῃς τὸν πλησίον σου ὅπως τὸν ἑαυτόν σου», δηλαδὴ κάθε ἄνθρωπο. Καὶ πῶς γίνεται νὰ φυλάγῃ [τὴν ἐντολή], ὅταν πολλοὶ ἄλλοι ἔχουν ἀνάγκη ἀπὸ τὴν καθημερινὴ τροφή, ἐνῶ αὐτὸς ἔχει κτήματα

προσπαθῶς; Εἰ γὰρ εἶχεν αὐτὰ ὡς ὁ Ἀβραάμ, Ἰὼβ τε καὶ οἱ λοιποὶ δίκαιοι, ὡς τὰ τοῦ Θεοῦ κτήματα, οὐκ ἂν ἀπῆλθε λυπούμενος[255]. *Ὡσαύτως καὶ ὁ Χρυσόστομός φησιν· ἐπίστευσε μὲν ὅτι τὰ εἰρημένα πρὸς αὐτὸν ὑπὸ τοῦ Κυρίου ἀληθῆ εἰσι, δι᾽ ὃ καὶ λυπούμενος ἀπῆλθεν, ἠσθένησε δὲ πρὸς τὴν ἐργασίαν. Εἰσὶ γὰρ πολλοὶ οἱ πιστεύοντες μὲν τὰ τῶν Γραφῶν λόγια, ἀσθενοῦσι δὲ πρὸς τὴν ἐκπλήρωσιν τῶν γεγραμμένων.*

πολλὰ καὶ μάλιστα μὲ ἐμπαθῆ προσκόλλησι σ᾽ αὐτά; Διότι, ἐὰν τὰ εἶχε ὅπως ὁ Ἀβραὰμ καὶ ὁ Ἰὼβ καὶ οἱ λοιποὶ δίκαιοι, σὰν [νὰ ἦταν] κτήματα τοῦ Θεοῦ, δὲν θὰ ἔφευγε λυπημένος. Ἐπίσης καὶ ὁ Χρυσόστομος[ρπα´] λέγει· «πίστεψε μέν, ὅτι ἦταν ἀληθινὰ τὰ λόγια, ποὺ ἐλέχθησαν ἀπὸ τὸν Κύριο πρὸς αὐτόν, γι᾽ αὐτὸ καὶ ἔφυγε λυπημένος, ἀλλὰ ἀδυνατοῦσε νὰ τὰ πράξῃ. Διότι ὑπάρχουν πολλοί, οἱ ὁποῖοι πιστεύουν μὲν στὰ λόγια τῶν Γραφῶν, ἀδυνατοῦν ὅμως νὰ ἐκπληρώσουν αὐτά, τὰ ὁποῖα εἶναι γραμμένα».



ΟΤΙ ΜΕΓΑ ΑΓΑΘΟΝ Η ΑΓΑΠΗ ΚΑΙ Η ΣΥΜΒΟΥΛΗ ΜΕΤΑ ΤΑΠΕΙΝΩΣΕΩΣ

[177.] Ταῦτα τοίνυν καὶ ἄλλα τούτων πλείονα εὑρίσκεται ὁ Κύριος συμβουλεύων, ὁμοίως καὶ οἱ Ἀπόστολοι γράφοντες· παρακαλοῦμεν ἡμᾶς, ἀγαπητοί[256]*, τόδε καὶ τόδε ποιήσατε· ἡμεῖς δὲ οὐ καταδεχόμεθα παρακαλέσαι τοὺς ζητοῦντας παρ᾽ ἡμῶν συμβουλήν, ἵνα ὅταν θεάσωνται ἡμᾶς ταπεινωμένους καὶ τιμῶντας αὐτούς, μετὰ χαρᾶς ὑπακούσωσι καὶ πληροφορίαν λάβωσιν, ὅτι μετὰ ἀγάπης πολλῆς καὶ ταπεινώσεως λαλοῦμεν τὸν λόγον τῆς ἁγίας Γραφῆς. Καὶ πρὸς τὴν τιμὴν καὶ ἀγάπην, ἣν ἔχουσιν ἐξ ἡμῶν, σπεύσουσι, καὶ σὺν τούτοις τὰ δυσχερῆ καταδέξονται καὶ ὡς εὐχερῆ αὐτοῖς ἐκ τῆς ἀγάπης φανήσονται· ὡς ὁ Ἅγιος Ἀπόστολος Πέτρος, σταυρὸν καὶ θάνατον ἀκούων πολλάκις, ἠγάλλετο*[257]*, καὶ ὡς μηδὲν τοιοῦτον ἀκούων, διέκειτο ἐκ τῆς ἀγάπης ἧς ἐκέκτητο*

ΟΤΙ ΕΙΝΑΙ ΜΕΓΑΛΟ ΑΓΑΘΟ Η ΑΓΑΠΗ ΚΑΙ Η ΣΥΜΒΟΥΛΗ ΜΕΤΑ ΤΑΠΕΙΝΩΣΕΩΣ

177. Αὐτὰ λοιπὸν καὶ ἄλλα περισσότερα ἀπ᾽ αὐτὰ συμβουλεύει ὁ Κύριος, ὁμοίως καὶ οἱ Ἀπόστολοι, ὅταν γράφουν· «σᾶς παρακαλοῦμε ἀγαπητοὶ νὰ κάνετε αὐτὸ καὶ ἐκεῖνο». Ἐμεῖς ὅμως δὲν καταδεχόμαστε νὰ παρακαλέσωμε αὐτούς, ποὺ ζητοῦν ἀπὸ μᾶς συμβουλή, ὥστε, ὅταν μᾶς δοῦν νὰ εἴμαστε ταπεινοὶ καὶ νὰ τοὺς τιμοῦμε, νὰ ὑπακούσουν μὲ χαρὰ καὶ νὰ πληροφορηθοῦν, ὅτι μὲ πολλὴ ἀγάπη καὶ ταπείνωσι τοὺς λέγομε τὸν λόγο τῆς Ἁγίας Γραφῆς. Καὶ γιὰ τὴν τιμὴ καὶ τὴν ἀγάπη, ποὺ ἔχουν [ἀπολαύσει] ἀπὸ ἐμᾶς, θὰ σπεύσουν [μὲ προθυμία] καὶ μαζὶ μὲ αὐτὰ θὰ ἀποδεχθοῦν καὶ τὰ δύσκολα, [τὰ ὁποῖα] καὶ θὰ τοὺς φανοῦν εὔκολα λόγῳ τῆς ἀγάπης· ὅπως ὁ ἅγιος Ἀπόστολος Πέτρος ἀκούγοντας πολλὲς φορὲς γιὰ σταυρὸ καὶ θάνατο «ἔνοιωθε ἀγαλλίασι» καὶ συμπεριφερόταν μὲ τέτοια διάθεσι, σὰν νὰ μὴν εἶχε ἀκούσει τίποτα ἀπὸ αὐτά, λόγῳ τῆς ἀγάπης, ποὺ εἶχε ἀποκτήσει γιὰ τὸν

πρὸς τὸν Διδάσκαλον. Καὶ περὶ μὲν τῶν θαυμάτων οὐδεμίαν εἶχε φροντίδα, ὡς οἱ ἄπιστοι· ἀλλὰ ῥήματα ζωῆς αἰωνίου, φησίν, ἔχεις[258]*, καὶ τὰ ἑξῆς. Οὐχ οὕτω δὲ ὁ Ἰούδας ὁ δὶς ἀποθανών· ἀπήγξατο*[259] *καὶ οὐκ ἀπέθανεν, ἀλλὰ ζήσας ἀμετανοήτως καὶ ἀσθενήσας δεινῶς ἐλάκησε μέσος*[260]*, ὥς φησιν ὁ Ἀπόστολος Πέτρος ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων. Καὶ πάλιν ὁ Ἅγιος Ἀπόστολος Παῦλος πρὸς τοὺς ἀδελφοὺς γράφων, ποτὲ μέν, φησίν, ἱμειρόμενοι εὐδοκοῦμεν δοῦναι ἡμῖν, οὐ μόνον τὸ Εὐαγγέλον τοῦ Χριστοῦ, καὶ τὰς ἑμαυτῶν [recte: ἑαυτῶν]*[λα'] *ψυχάς*[261]*· ποτὲ δέ, ἡμεῖς δοῦλοι ὑμῶν διὰ Χριστόν. Καὶ πάλιν πρὸς Τιμόθεον γράφων, λέγει, ἔχειν τοὺς πρεσβυτέρους ὡς πατέρας, τοὺς νεωτέρους ὡς ἀδελφούς*[262]*. Καὶ τίς ἱκανὸς κατανοεῖν τὴν ταπείνωσιν τῶν Ἁγίων καὶ τὴν διάπυρον ἀγάπην, ἣν εἶχον πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον; [178.] Οὐ μόνον τοίνυν τούτοις ὀφείλομεν προσέχειν, ἀλλὰ καὶ πρὸς ὅν τινα*

Διδάσκαλο. Καὶ γιὰ τὰ μὲν θαύματα δὲν εἶχε κανένα διαλογισμό, ὅπως οἱ ἄπιστοι· ἀλλὰ ἔλεγε «ἔχεις λόγια ζωῆς αἰωνίου» καὶ τὰ λοιπά. Δὲν [ἦταν] ὅμως ἔτσι [καὶ] ὁ Ἰούδας, ὁ ὁποῖος ἀπέθανε δύο φορές· κρεμάστηκε καὶ δὲν ἀπέθανε, ἀλλά, ἀφοῦ ἔζησε ἀμετανόητα καὶ ἀρρώστησε βαριά, «διερράγη στὸ μέσο τοῦ σώματός του» [ἡ κοιλία του], ὅπως λέγει ὁ Ἀπόστολος Πέτρος στὶς Πράξεις τῶν Ἀποστόλων. Καὶ πάλι ὁ ἅγιος Ἀπόστολος Παῦλος, γράφοντας πρὸς τοὺς ἀδελφούς, ἄλλοτε μὲν λέγει· «ἐπειδὴ τόσο θερμὰ σᾶς ἀγαποῦμε, ἔχομε τὴν πρόθυμη διάθεσι νὰ σᾶς δώσωμε, ὄχι μόνο τὸ Εὐαγγέλιο τοῦ Χριστοῦ, ἀλλὰ καὶ τὶς ἴδιες τὶς ψυχές μας». Ἄλλοτε δέ, «ἐμεῖς εἴμαστε δικοί σας δοῦλοι γιὰ χάρι τοῦ Χριστοῦ». Καὶ πάλι, γράφοντας στὸν Τιμόθεο, λέγει· «νὰ ἔχης τοὺς πρεσβυτέρους σὰν Πατέρες καὶ τοὺς νεωτέρους σὰν ἀδελφούς». Καὶ ποιὸς εἶναι ἱκανὸς νὰ κατανοήση τὴν ταπείνωσι τῶν Ἁγίων καὶ τὴν διάπυρη ἀγάπη, τὴν ὁποία εἶχαν πρὸς τὸν Θεὸ καὶ τὸν πλησίον;

178. [Ἔτσι] λοιπὸν δὲν ὀφείλομε νὰ προσέχωμε μόνο σ᾽ αὐτούς,

λέγομεν ἢ γράφομεν. Ὁ γὰρ θέλων νουθετεῖν ἢ συμβουλὴν δοῦναί τινι, μᾶλλον δὲ ὑπόμνησιν, ὥς φησιν ὁ τῆς Κλίμακος, ὀφείλει πρῶτον καθαρθῆναι ἐκ τῶν παθῶν, ἵνα γινώσκῃ ἀψεύστως τὸν τοῦ Θεοῦ σκοπὸν καὶ τὴν κατάστασιν τοῦ αἰτοῦντος παρ᾽ αὐτοῦ λόγον. Διότι οὐ πᾶσι τὸ αὐτὸ φάρμακον πρέπει, κἂν ἴσως ἡ ἀσθένεια μία ὑπάρχῃ· ἔπειτα πληροφορηθῆναι παρὰ τῷ αἰτοῦντι συμβουλίαν, εἴτε ἐκ τοῦ ὑποταγῆναι αὐτὸν ἐφάπαξ ψυχῇ τε καὶ σώματι, εἴτε ἐκ τοῦ αὐτομάτως παρακαλέσαι μετὰ θερμῆς πίστεως, καὶ λόγον ζητῆσαι δίχα ἐρωτήσεως τοῦ διδασκάλου, ἢ ἄλλης ἀνάγκης καταναγκαζούσης αὐτὸν πρὸς τὸ ὑποκρίνεσθαι, ὅτι δῆθεν ποθεῖ λόγον ἀκοῦσαι, ἵνα μὴ οἱ δύω εἰς ψεῦδος ἐμπέσωσι καὶ πολυλογίαν, πονηρίαν τε καὶ ἄλλα πολλά. Καὶ ὁ μὲν βιαζόμενος ὑπὸ τοῦ δῆθεν διδάσκοντος αὐτὸν εἰπεῖν παρὰ προαίρεσιν, καὶ ψεύδεται αἰσχυνόμενος καὶ ὑποκρίνεται ὅτι ἀγαθὸν θέλει ποιῆσαι. Ὁ δὲ πονηρευ-

ἀλλὰ καὶ σ᾽ ὁποιονδήποτε ὁμιλοῦμε ἢ γράφομε. Διότι ἐκεῖνος, ὁ ὁποῖος θέλει νὰ νουθετῇ ἢ νὰ δίνῃ συμβουλὴ σὲ κάποιον ἢ μᾶλλον ὑπόμνησι, ὅπως λέγει ὁ τῆς Κλίμακος[ρπβ'], ὀφείλει πρῶτα νὰ καθαρθῇ ἀπὸ τὰ πάθη, γιὰ νὰ γνωρίζῃ ἀληθινὰ τὸν σκοπὸ τοῦ Θεοῦ καὶ τὴν κατάστασι ἐκείνου, ὁ ὁποῖος ζητεῖ ἀπὸ αὐτὸν λόγο. Διότι δὲν ταιριάζει σὲ ὅλους τὸ ἴδιο φάρμακο, ἀκόμη κι ἂν ἡ [ὑφισταμένη] ἀσθένεια εἶναι ἴδια. Ἔπειτα πρέπει νὰ ἔχῃ πληροφορία [γιὰ τὴν διάθεσι] ἐκείνου, ὁ ὁποῖος τοῦ ζητεῖ τὴν συμβουλή, εἴτε ἀπὸ τὴν [ὁλοκληρωτικὴ] ὑποταγή του σ᾽ αὐτὸν καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος, εἴτε ἐκ τοῦ ὅτι αὐθόρμητα [θέλησε] νὰ παρακαλέσῃ μὲ θερμὴ πίστι καὶ νὰ ζητήσῃ [νὰ ἀκούσῃ] λόγο, χωρὶς νὰ τὸν ἐρωτήσῃ [ἢ ὑποκινήσῃ πρῶτος] ὁ διδάσκαλος, ἢ ἀπὸ κάποια ἄλλη ἀνάγκη, ἡ ὁποία τὸν πιέζει νὰ ὑποκρίνεται, ὅτι δῆθεν ποθεῖ νὰ ἀκούσῃ τὸν λόγο [του], γιὰ νὰ μὴ πέσουν καὶ οἱ δύο σὲ ψεῦδος καὶ πολυλογία καὶ πονηρία καὶ ἄλλα πολλά. Αὐτὸς μὲν [ὁ μαθητής, ἐπειδὴ] ἐξαναγκάζεται ἀπὸ τὸν δῆθεν διδάσκαλό του νὰ πῇ [κάτι] παρὰ τὴν θέλησί του, ἀπὸ ντροπὴ καὶ ψεύδεται καὶ ὑποκρίνεται, ὅτι θέλει νὰ κάνῃ κάτι

όμενος, κολακεύει τὸν διδασκόμενον, ἵνα δῆθεν τὰ κεκρυμμένα ἐν τῇ διανοίᾳ αὐτοῦ ἐπιτύχῃ καὶ ἁπλῶς πᾶσαν μηχανὴν κινῶν καὶ πολυλογίαν· καὶ ὥς φησιν ὁ Σολομών, ἐκ πολυλογίας οὐκ ἐκφεύξεται ἁμαρτία[263]. Ἔγραψε δὲ καὶ ὁ Μέγας Βασίλειος, τίνα εἰσι ταύτης τὰ πταίσματα. [179.] Οὐκ ἐρρέθησαν δὲ ταῦτα, οὐχ ἵνα μὴ τοὺς ὑπὸ χεῖρα καὶ πίστει βεβαίᾳ προσερχομένους νουθετεῖν ἀποβάλλωμεν, καὶ μάλιστα οἱ ἀπαθῶς διακείμενοι, ἀλλ' ἵνα μὴ αὐθαδῶς τοὺς μήτε ἐξ ἔργων, μήτε ἐκ θερμῆς πίστεως θέλοντας ἀκοῦσαι, ἐκ κενοδοξίας διδάσκωμεν, οἱ ἔτι ἐμπαθεῖς τυγχάνοντες, μήτε αὐθεντικῶς τοῦτο ποιῶμεν· ἀλλ' ὡς οἱ Πατέρες ἔλεγον· ὅτι ἐκτὸς ἐρωτήσεως τῶν ἀδελφῶν οὐ δεῖ λαλεῖν τινα ὠφελείας χάριν· ἵνα ἐκ προαιρέσεως γένηται τὸ ἀγαθόν[264], ὥς φασιν οἱ Ἀπόστολοι· μὴ ὡς κατακυριεύοντες τὴν ποίμνην [recte: τῆς ποίμνης][λβ'], ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου[265] καὶ τὰ ἑξῆς. Καὶ πρὸς τὸν

καλό. Ὁ δὲ [διδάσκαλος] μὲ πονηρία κολακεύει τὸν διδασκόμενο, γιὰ νὰ ἐπιτύχῃ [νὰ ἀνακαλύψῃ] τάχα ἐκεῖνα ποὺ κρύβονται στὴ διάνοιά του καὶ γενικὰ κινεῖ [καὶ μεταχειρίζεται] κάθε πανουργία καὶ πολυλογία. Καὶ ὅπως λέγει ὁ Σολομών, «ἀπὸ τὴν πολυλογία δὲν θὰ ἀποφευχθῇ ἡ ἁμαρτία». Ἔγραψε δὲ καὶ ὁ Μέγας Βασίλειος[ρπγ'] ποιὰ εἶναι τὰ ἁμαρτήματά της, [ποὺ προκύπτουν ἀπὸ τὴν πολυλογία].

179. Αὐτά, ὅμως, δὲν ἐλέχθησαν γιὰ νὰ ἀπομακρύνωμε αὐτούς, οἱ ὁποῖοι [εὑρίσκονται] σὲ ὑπακοὴ καὶ μὲ βεβαία πίστι προσέρχονται γιὰ νουθεσία καὶ μάλιστα σὲ ὅσους εἶναι ἀπαθεῖς, ἀλλὰ γιὰ νὰ μὴ διδάσκωμε ἀπὸ κενοδοξία μὲ αὐθάδεια, ὅσοι εἴμαστε ἀκόμη ἐμπαθεῖς, ἐκείνους, οἱ ὁποῖοι οὔτε ἀπὸ ἔργα οὔτε ἀπὸ θερμὴ πίστι θέλουν νὰ ἀκούσουν, οὔτε αὐτὸ νὰ τὸ κάνωμε αὐταρχικά. Ἀλλά, ὅπως ἔλεγαν οἱ Πατέρες, ὅτι χωρὶς ἐρώτησι τῶν ἀδελφῶν, δὲν πρέπει νὰ ὁμιλῇ κανείς, μὲ σκοπὸ νὰ τοὺς ὠφελήσῃ, «γιὰ νὰ γίνεται τὸ καλὸ μὲ τὴν συγκατάθεσί τους», ὅπως λέγουν οἱ Ἀπόστολοι. «Ὄχι σὰν νὰ εἶσθε ἐξουσιαστὲς τοῦ ποιμνίου, ἀλλὰ νὰ γίνεσθε παράδειγμα στὸ ποίμνιό σας», καὶ τὰ λοιπά. Καὶ πρὸς τὸν

ἅγιον Τιμόθεον ὁ Ἀπόστολος ἔφη· δεῖ τὸν γεωργὸν πρῶτον τῶν καρπῶν μεταλαμβάνειν[266], περὶ τὸ ἐργάζεσθαι ἅπερ [recte: ὧνπερ] [λγ´] μέλλει διδάσκειν, λέγων δηλαδή. Καὶ πάλιν· μηδείς σου τῆς νεότητος καταφρονείτω[267], ἤτοι μηδ᾽ ὅλως ποιήσῃς τι νεωτερικόν, ἀλλ᾽ ὡς τέλειος ἐν Χριστῷ ἔσο. Ὁμοίως καὶ εἰς τὸ Γεροντικὸν λέγει, ὅτι δίχα ἐπερωτήσεως τῶν ἀδελφῶν οὐκ ἔλεγον οἱ Πατέρες πρὸς σωτηρίαν ψυχῆς, ἀλλ᾽ ἡγοῦντο τοῦτο ἀργολογίαν· καὶ εἰκότως. Ἐκ γὰρ τοῦ οἴεσθαι ἡμᾶς γνῶσιν ἔχειν ὑπὲρ τοὺς ἄλλους, λόγον κινοῦμεν αὐτόματοι. [180.] Καὶ γὰρ ὅσον ὑπεύθυνοι ἐσμέν, τοσοῦτον δοκοῦμεν ἐλευθερίαν ἔχειν· καθάπερ οἱ Ἅγιοι, ὅσον ἐγγίζουσι τῷ Θεῷ, τοσοῦτον ἔχουσιν ἑαυτοὺς ἁμαρτωλούς, φησὶν ὁ Ἅγιος Δωρόθεος. Ἐκ γὰρ τῆς περὶ Θεοῦ γνώσεως ἐκπληττόμενοι, ὡς ταύτης τυχόντες, εἰς ἀμηχανίαν ἔρχονται. Ὡσαύτως καὶ οἱ Ἅγιοι Ἄγγελοι ἐκ τῆς ἀπείρου εὐφροσύνης καὶ ἐκπλήξεως,

ἅγιο Τιμόθεο εἶπε ὁ Ἀπόστολος· «ὁ γεωργὸς πρῶτος πρέπει νὰ ἀπολαμβάνῃ ἀπὸ τοὺς καρπούς», δηλαδὴ πρέπει [πρῶτος] νὰ ἐργασθῇ τοὺς λόγους, τοὺς ὁποίους πρόκειται νὰ διδάξῃ. Καὶ πάλι· «κανεὶς νὰ μὴν σὲ καταφρονῇ γιὰ τὴ νεότητά σου», δηλαδὴ νὰ μὴν κάνῃς καθόλου τίποτε ἀπὸ αὐτά, τὰ ὁποῖα κάνουν οἱ νέοι, ἀλλὰ νὰ εἶσαι τέλειος ἐν Χριστῷ. Ὁμοίως καὶ στὸ Γεροντικὸ[ρπδ´] λέγει, ὅτι χωρὶς ἐρώτησι τῶν ἀδελφῶν, οἱ Πατέρες δὲν ἔλεγαν τίποτε πρὸς σωτηρία ψυχῆς, ἀλλὰ τὸ θεωροῦσαν ἀργολογία· καὶ σωστά. Διότι ἐμεῖς, ἐπειδὴ νομίζομε ὅτι ἔχομε περισσότερη γνῶσι ἀπὸ τοὺς ἄλλους, ἀρχίζομε ἀπὸ μόνοι μας τὸν λόγο [χωρὶς νὰ ἐρωτηθοῦμε]. 180. Διότι ὅσο [περισσότερο] εἴμαστε ὑπεύθυνοι [γιὰ ἁμαρτίες], τόσο περισσότερο νομίζομε ὅτι ἔχομε ἐλευθερία· ὅπως ἀκριβῶς οἱ Ἅγιοι, ὅσο περισσότερο πλησιάζουν τὸν Θεό, τόσο περισσότερο θεωροῦν τοὺς ἑαυτούς τους ἁμαρτωλούς, λέγει ὁ ἅγιος Δωρόθεος[ρπε´]. Διότι ἀπὸ μεγάλη ἔκπληξι γιὰ τὴν γνῶσι τοῦ Θεοῦ, τὴν ὁποία ἀξιώθηκαν, περιέρχονται σὲ ἀμηχανία. Ἐπίσης καὶ οἱ ἅγιοι Ἄγγελοι ἀπὸ τὴν ἀπέραντη εὐφροσύνη καὶ τὴν ἔκπληξι, δὲν χορταίνουν τὴν

τῆς δοξολογίας κόρον οὐ λαμβάνουσι· καὶ ὅτι κατηξιώθησαν τοιοῦτον Δεσπότην ὑμνεῖν, ἀπαύστως ὑμνοῦσι, θαυμάζοντες τὰ ὑπ᾽ αὐτοῦ γινόμενα, ὡς ἔφη ὁ Χρυσόστομος, καὶ προκόπτοντες εἰς μείζονα γνῶσιν, ὥς φησιν ὁ Θεολόγος. Ὁμοίως καὶ οἱ Ἅγιοι πάντες ἔν τε τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. Καὶ ὥσπερ αἱ νοεραὶ δυνάμεις μεταδίδουσιν ἀλλήλαις τὸν φωτισμόν, οὕτω καὶ οἱ λογικοὶ ὑπ᾽ ἀλλήλων διδάσκονται. Οἱ μὲν ἐκ τῶν θείων Γραφῶν τὴν πεῖραν λαμβάνοντες, τοὺς ὑποδεεστέρους διδάσκουσιν· οἱ δὲ νοερῶς ἐκ τοῦ Ἁγίου Πνεύματος μανθάνοντες, καὶ τοῖς ἄλλοις τὰ αὐτοῖς ἀποκαλυφθέντα μυστήρια διὰ γραφῆς δηλοποιοῦσι. [181.] Διὰ τοῦτο πάντες χρῄζομεν τοῦ ταπεινωθῆναι τῷ Θεῷ καὶ ἀλλήλοις, ὡς τὸ εἶναι λαβόντες καὶ τὰ ἄλλα πάντα παρὰ Θεοῦ, καὶ δι᾽ αὐτοῦ παρ᾽ ἀλλήλων τὴν γνῶσιν. Καὶ ὁ μὲν ταπείνωσιν ἔχων, ἐπὶ πλεῖον φωτίζεται. Ὁ δὲ μὴ θέλων ταπεινωθῆναι, μένει ἐν τῷ σκότει, ὡς ὁ πρίν

δοξολογία [τοῦ Θεοῦ]. Καὶ ἐπειδὴ ἀξιώθηκαν νὰ ὑμνοῦν ἕναν τέτοιο Δεσπότη, ἀκατάπαυστα τὸν ἀνυμνοῦν, θαυμάζοντας ὅσα ἔγιναν ἀπὸ Αὐτόν, ὅπως εἶπε ὁ Χρυσόστομος[ρπστ΄] καὶ [ἔτσι] προοδεύουν σὲ μεγαλύτερη γνῶσι, ὅπως λέγει ὁ Θεολόγος. Ὁμοίως καὶ ὅλοι οἱ Ἅγιοι στὸν παρόντα καὶ στὸν μέλλοντα αἰῶνα. Καὶ ὅπως οἱ νοερὲς δυνάμεις μεταδίδουν τὸν φωτισμὸ ἡ μία στὴν ἄλλη, ἔτσι καὶ οἱ λογικοὶ διδάσκονται ὁ ἕνας ἀπὸ τὸν ἄλλον. Ἄλλοι μέν, ἀφοῦ λάβουν τὴν πεῖρα ἀπὸ τὶς θεῖες Γραφές, διδάσκουν τοὺς ὑποδεεστέρους· ἄλλοι δέ, ἀφοῦ διδαχθοῦν νοερὰ ἀπὸ τὸ Ἅγιο Πνεῦμα, φανερώνουν γραπτῶς καὶ στοὺς ἄλλους τὰ ἀποκαλυφθέντα σ᾽ αὐτοὺς μυστήρια.

181. Γι᾽ αὐτὸ ὅλοι ἔχομε ἀνάγκη νὰ ταπεινωθοῦμε μπροστὰ στὸν Θεὸ καὶ ὁ ἕνας στὸν ἄλλο, ἀφοῦ ἐλάβαμε τὴν ὕπαρξί μας καὶ ὅλα τὰ ἄλλα ἀπὸ τὸν Θεό, καὶ μέσῳ Αὐτοῦ τὴν γνῶσι ὁ ἕνας ἀπὸ τὸν ἄλλον. Καὶ ἐκεῖνος μέν, ὁ ὁποῖος ἔχει τὴν ταπείνωσι φωτίζεται περισσότερο. Ἐνῶ ἐκεῖνος, ποὺ δὲν θέλει νὰ ταπεινωθῆ παραμένει στὸ σκοτάδι, ὅπως ὁ πρώην ἑωσφόρος καὶ μετέπειτα διάβολος.

ἑωσφόρος, καὶ ὕστερον διάβολος. Διότι πρῶτον ὑπῆρχε τοῦ κατωτέρου τάγματος τῶν νοερῶν δυνάμεων, ἤγουν τοῦ δεκάτου μὲν ἀπὸ τοῦ ἀνωτάτου τάγματος τοῦ παρισταμένου τῷ ἀστέκτῳ θρόνῳ, πρώτου δὲ ἀπὸ τῆς γῆς. Ἀλλὰ διὰ τὴν ἔπαρσιν, οὐ μόνον τῶν ἐννέα ταγμάτων καὶ ἡμῶν τῶν γηΐνων κάτωθεν ἐγένετο σύν τοῖς ὑπακούσασιν αὐτῷ ἀλλὰ καὶ ὑπὸ τῶν καταχθονίων, ἐν τῷ ταρτάρῳ ῥιφθεὶς διὰ τὴν ἀγνωμοσύνην. Διὰ τοῦτο πολλάκις εἴρηται, ὅτι ἐκτὸς ἄλλης ἁμαρτίας ἀρκεῖ ἡ ἀπόνοια πρὸς ἀπώλειαν ψυχῆς. Ὁ γὰρ ἔχων τὰ ἑαυτοῦ πταίσματα μικρά, παραχωρεῖται πεσεῖν εἰς μείζονα, φησὶν ὁ Ἅγιος Ἰσαάκ. [182.] Καὶ ὁ λαβὼν παρὰ Θεοῦ δῶρον, καὶ ἀχαρίστως διακείμενος, τὴν τούτου στέρησιν γενέσθαι κατασκευάζει· διότι ἀνάξιον ἑαυτὸν ἐποίησε τῆς τοῦ Θεοῦ δωρεᾶς, ὥς φησιν ὁ Μέγας Βασίλειος. Ἡ γὰρ εὐχαριστία πρεσβεύει· πλὴν μὴ ἔστω ἡ εὐχαριστία ὡς ἡ τοῦ Φαρισαίου[268] ἐκείνου, τοὺς

Διότι [ὁ ἑωσφόρος] πρῶτα ὑπῆρχε [ἄρχων] στὸ κατώτερο τάγμα τῶν νοερῶν δυνάμεων, δηλαδὴ στὸ δέκατο μὲν [κατὰ σειρὰ] ἀπὸ τὸ ἀνώτατο τάγμα, ποὺ παρίσταται [κύκλῳ] τοῦ φοβεροῦ Θρόνου, ἀλλὰ στὸ πρῶτο ἀπὸ τὴν γῆ [πρὸς τὰ ἄνω]. Ἀλλὰ ἀπὸ τὴν ἔπαρσί του ἔπεσε, μαζὶ μὲ αὐτούς, ποὺ τὸν ὑπάκουσαν, ὄχι μόνο κάτω ἀπὸ τὰ ἐννέα τάγματα καὶ κάτω ἀπὸ ἐμᾶς τοὺς γηΐνους, ἀλλὰ καὶ κάτω ἀπὸ τὰ καταχθόνια, ἀφοῦ ρίχτηκε, ἐξαιτίας τῆς ἀγνωμοσύνης του, στὰ τάρταρα. Γι᾽ αὐτό, πολλὲς φορὲς ἔχει λεχθῆ, ὅτι χωρὶς ἄλλη ἁμαρτία, ἀρκεῖ ἡ ἀλαζονεία πρὸς ἀπώλεια τῆς ψυχῆς. Διότι ἐκεῖνος, ὁ ὁποῖος θεωρεῖ τὰ ἁμαρτήματά του μικρά, παραχωρεῖται [ἀπὸ τὸ Θεὸ] νὰ πέσῃ σὲ μεγαλύτερα, λέγει ὁ Ἅγιος Ἰσαάκ[ρπζ'].

182. Ἐνῶ ἐκεῖνος, ποὺ ἔλαβε ἀπὸ τὸν Θεὸ ἕνα δῶρο καὶ εὑρίσκεται μὲ διάθεσι ἀχαριστίας, ἑτοιμάζει τὴν στέρησι αὐτοῦ [τοῦ δώρου]· διότι [ὁ ἴδιος] κατέστησε τὸν ἑαυτό του ἀνάξιο τῆς δωρεᾶς τοῦ Θεοῦ, ὅπως λέγει ὁ Μέγας Βασίλειος[ρπη']. Διότι ἡ [ἴδια] ἡ εὐχαριστία μεσιτεύει [στὸ Θεὸ γιὰ μᾶς]· ἂς μὴν εἶναι ὅμως ἡ εὐχαριστία [μας], ὅπως ἡ τοῦ [Φαρισαίου] ἐκείνου, μὲ τὴν ὁποία κατέκρινε μὲν τοὺς

μὲν ἄλλους κατακρίνουσα, ἑαυτὸν δὲ δικαιοῦσα, ἀλλὰ μᾶλλον ὡς πλείονα πάντων χρεωστοῦσα καὶ ἐξ ἀπορίας εὐχαριστοῦσα καὶ ἐκπληττομένη, κατανοοῦσα τὴν ἄφατον τοῦ Θεοῦ μακροθυμίαν καὶ ἀνοχήν. [183.] Οὐ μόνον δὲ ἀλλὰ καὶ θαυμάσαι χρὴ πῶς ἀνενδεὴς ὢν ὁ ὑπερύμνητος Θεός, παρ᾽ ἡμῶν δέχεται τὴν εὐχαριστίαν, καὶ ταῦτα παροργιζόντων καὶ παραπικραινόντων ἡμῶν ἀεὶ μετὰ τοσούτων καὶ τηλικούτων εὐεργεσιῶν, τῶν περιεκτικῶν τε καὶ ἰδικῶν· περὶ ὧν ἔγραψεν ὅ τε Θεολόγος Γρηγόριος καὶ οἱ λοιποὶ Πατέρες, οὐ μόνον τῶν σωματικῶν, ἀλλὰ καὶ τῶν ψυχικῶν διὰ πολλῶν τρόπων, ὧν οὐκ ἔστιν ἀριθμός, ἐξ ὧν καὶ τοῦτο ὑπάρχει, τὸ εἶναί τινα μὲν φανερὰ καὶ εὔληπτα ἐν ταῖς θείαις Γραφαῖς κείμενα, τινὰ δὲ ἀσαφῆ καὶ δύσληπτα, ἵνα διὰ τῶν μὲν τοὺς ῥαθυμοτέρους ἕλκῃ πρὸς πίστιν καὶ ζήτησιν τῶν λειπομένων καὶ μὴ ἐκ τῆς ἄγαν ἀκαταληψίας εἰς ἀπόγνωσιν καὶ ἀπιστίαν ἐμπέσω-

ἄλλους, τὸν ἑαυτόν του ὅμως ἐδικαίωσε, ἀλλὰ μᾶλλον [νὰ εἶναι ἡ εὐχαριστία τοῦ ἀνθρώπου αὐτοῦ ἔτσι ὥστε νὰ ἀναγνωρίζῃ], ὅτι ὀφείλει περισσότερα ἀπ᾽ ὅλους καὶ [εὑρισκόμενος] σὲ ἀπορία νὰ εὐχαριστῇ καὶ νὰ ἐκπλήσσεται, κατανοώντας τὴν ἀνέκφραστη μακροθυμία καὶ ἀνοχὴ τοῦ Θεοῦ. 183. Ὄχι δὲ μόνον αὐτά, ἀλλὰ πρέπει καὶ νὰ θαυμάσωμε, πῶς, ἂν καὶ ὁ ὑπερύμνητος Θεὸς δὲν ἔχει καμμία ἀνάγκη ἀπὸ τίποτε, δέχεται ἀπὸ ἐμᾶς τὴν εὐχαριστία καὶ μάλιστα, ἐνῶ ἐμεῖς Τὸν παροργίζομε καὶ Τὸν καταπικραίνομε πάντοτε μετὰ ἀπὸ τὶς τόσες πολλὲς καὶ τόσο μεγάλες εὐεργεσίες [Του], καὶ τὶς γενικὲς καὶ τὶς εἰδικές· γιὰ τὶς ὁποῖες ἔγραψε καὶ ὁ Θεολόγος Γρηγόριος καὶ οἱ λοιποὶ Πατέρες μὲ πολλοὺς τρόπους, ὄχι μόνο τὶς σωματικὲς ἀλλὰ καὶ τὶς ψυχικές, οἱ ὁποῖες εἶναι ἀναρίθμητες, ἐκ τῶν ὁποίων καὶ τοῦτο συμβαίνει· δηλαδὴ τὸ νὰ εἶναι μερικὰ μὲν κείμενα στὶς θεῖες Γραφὲς φανερὰ καὶ εὐκολονόητα, μερικὰ δὲ ἀσαφῆ καὶ δυσκολονόητα, ὥστε μὲ τὰ μὲν [πρῶτα] νὰ προσελκύῃ [ὁ Θεὸς] τοὺς πιὸ ραθύμους εἰς τὴν πίστι καὶ εἰς τὴν ἀναζήτησι [καὶ διερεύνησι] τῶν ὑπολοίπων καὶ [ἔτσι] νὰ μὴν πέσωμε, ἀπὸ τὴν ὑπερβολικὴ ἀκατα-

μεν. Διὰ τῶν δέ, ἵνα μὴ κατάκρισιν μείζονα ἕξωμεν, καταφρονοῦντες τοῦ νοουμένου ῥητοῦ, ἀλλ᾽ ὅπως ἑκουσίως πονοῦντες οἱ βουλόμενοι ἔργῳ ζητεῖν τὰ ἄδηλα καὶ ἕξουσιν ἔπαινον ἐκ τούτου, ὥς φησιν ὁ Χρυσόστομος.

νοησία [τῶν Γραφῶν] σὲ ἀπόγνωσι καὶ ἀπιστία. Μὲ τὰ [δεύτερα] δέ, νὰ μὴ καταδικασθοῦμε περισσότερο, ἐπειδὴ δὲν λογαριάζομε [ὡς σπουδαῖο] τὸ εὐκολονόητο ρητό, ἀλλὰ μὲ προαιρετικοὺς κόπους, ὅσοι θέλουν, νὰ ἐρευνοῦν ἔμπρακτα τὰ ἀφανῆ [καὶ κεκρυμμένα] καὶ θὰ ἔχουν ἔπαινο ἀπὸ αὐτά, ὅπως λέγει ὁ Χρυσόστομος.

ΟΤΙ ΟΥΚ ΕΣΤΙ ΠΟΛΥΛΟΓΙΑ Η ΣΥΧΝΟΤΕΡΑ ΥΠΟΜΝΗΣΙΣ ΤΗΣ ΘΕΙΑΣ ΓΡΑΦΗΣ

ΟΤΙ ΔΕΝ ΕΙΝΑΙ ΠΟΛΥΛΟΓΙΑ Η ΣΥΧΝΟΤΕΡΑ ΥΠΟΜΝΗΣΙΣ ΤΗΣ ΘΕΙΑΣ ΓΡΑΦΗΣ

[184.] Καὶ πάλιν τὸ αὐτὸ ῥητὸν πολλάκις περιέχει ἡ θεία Γραφή, καὶ οὐ πολυλογία ἐστίν, ἀλλ᾽ ἵνα τῇ πυκνοτέρᾳ ὑπομνήσει καὶ τοὺς λίαν ῥᾳθυμοτέρους περὶ τὴν ἀκρόασιν, πρὸς μνήμην καὶ κατανόησιν τῶν λεγομένων ἄγῃ παραδόξως καὶ φιλανθρώπως, καὶ μὴ διαφύγῃ τὰς ἀκοὰς ὁ λόγος διὰ τὴν ταχύτητα καὶ σμικρότητα τοῦ τυχόντος ῥητοῦ. Καὶ μάλιστα ὅταν ἀσχολούμεθα ἐν τοῖς βιωτικοῖς πράγμασιν, οἱ μηδὲν κἂν ἐκ μέρους γινώσκοντες, καίπερ, φησὶν ὁ Χρυσόστομος,

184. Καὶ πάλι πολλὲς φορὲς ἡ θεία Γραφὴ περιέχει [ἐπαναλαμβάνοντας] τὸ ἴδιο ρητὸ καὶ δὲν εἶναι [ἀπὸ] πολυλογία, ἀλλὰ [τὸ κάνει] ὥστε, μὲ τὴν συχνότερη ὑπενθύμισι, καὶ αὐτούς, οἱ ὁποῖοι εἶναι ὑπερβολικὰ ράθυμοι [καὶ ἀδιάφοροι] εἰς τὴν ἀκρόασι [τῶν θείων λόγων], νὰ ὁδηγῇ, μὲ παράδοξο τρόπο καὶ μὲ φιλανθρωπία, στὴν μνήμη καὶ κατανόησι τῶν λεγομένων, γιὰ νὰ μὴν διαφύγῃ τὴν ἀκοὴ ὁ λόγος, ἐξαιτίας τῆς συντομίας καὶ τῆς μικρῆς ἐκτάσεως τοῦ ἐξεταζομένου ρητοῦ. Καὶ [αὐτὸ ἰσχύει] ἰδιαίτερα, ὅταν ἀσχολούμεθα μὲ τὰ βιοτικὰ πράγματα, ἐμεῖς οἱ ὁποῖοι δὲν ἔχομε οὔτε κἂν τὴν μερικὴ γνῶσι, μολονότι ὁ Χρυ-

τὸ ἐκ μέρους οὐκ ἔστι μέρος ὁλόκληρον, ἀλλὰ μέρος τοῦ μέρους· καταργηθήσεται δέ, οὐχ ἵνα ἀφανισθῇ καὶ εἰς μηδὲν χωρήσῃ, ἐπεὶ ἂν γνῶσιν οὐκ εἴχομεν, οὐδὲ ἄνθρωποι ἦμεν. Ἀλλὰ καταργηθήσεται μὲν τὸ ἐκ μέρους ὡς ὑπὸ τοῦ προσώπου πρὸς πρόσωπον, ὡς ἡ τοῦ νηπίου ἡλικία ἐκ τοῦ γενέσθαι ἀνήρ, ὡς αὐτὸς ὁ Ἀπόστολος ἔφη[269]*, ἑρμηνεύων αὐτοῦ τὸ ῥητὸν διὰ τῆς παραβολῆς τοῦ νηπίου· οἷον πάλιν φησὶν ὁ Χρυσόστομος, ὅτι ἄρτι μὲν γινώσκομεν τὸν οὐρανὸν ὅτι ἐστὶ καὶ οὐκ οἴδαμεν τί ἐστί, τότε δὲ καταργηθήσεται τὸ ἔλαττον ὑπὸ τοῦ μείζονος, τοῦτ᾽ ἔστι τοῦ γνῶναι ἡμᾶς καὶ τὸ τί ἐστιν, ὥστε αὔξει μᾶλλον ἡ γνῶσις. [185.] Καὶ γάρ εἰσι πολλὰ κεκρυμμένα ἐν ταῖς θείαις Γραφαῖς μυστήρια, καὶ οὐ γινώσκομεν τὸν σκοπὸν τοῦ Θεοῦ ἐν τοῖς λεγομένοις· ἀλλὰ μὴ κατεπαρθῇς, φησὶν ὁ Θεολόγος, τὴν ἡμῶν εὐγνωμοσύνην, ὁμολογούντων τὴν ἄγνοιαν, τὰς λέξεις μεμφόμενος. Ἄλογον γὰρ καὶ σκαιὸν τὸ μὴ τῇ δυνάμει τοῦ σκοποῦ προ-*

σόστομος[ρπθ'] λέγει, ὅτι ἡ μερικὴ [γνῶσι] δὲν εἶναι πλήρης [γνῶσι ὡς μερική], ἀλλὰ εἶναι μέρος τοῦ [ὁλοκλήρου] μέρους τῆς [γνώσεως]· θὰ καταργηθῇ δέ, ὄχι γιὰ νὰ ἐξαφανισθῇ καὶ νὰ καταλήξῃ στὸ μηδέν, διότι ἂν δὲν εἴχαμε γνῶσι, οὔτε ἄνθρωποι θὰ εἴμαστε. Ἀλλὰ θὰ καταργηθῇ μὲν ἡ μερικὴ [γνῶσι ἀπὸ τὴν πλήρη γνῶσι, ὅταν μᾶς ἀποκαλυφθῇ] ὡς πρόσωπο πρὸς πρόσωπο, ὅπως [καταργεῖται] ἡ ἡλικία τοῦ νηπίου μὲ τὴν ἐνηλικίωση τοῦ ἀνδρός, ὅπως ὁ ἴδιος ὁ Ἀπόστολος εἶπε, ἑρμηνεύοντας τὸ δικό του ρητὸ γιὰ τὴν παραβολὴ τοῦ νηπίου. Ὅπως πάλι λέγει ὁ Χρυσόστομος, ὅτι τώρα γνωρίζομε τὸν οὐρανὸ ὅτι ὑπάρχει, ἀλλὰ τί εἶναι δὲν γνωρίζομε, τότε ὅμως θὰ καταργηθῇ τὸ μικρότερο ἀπὸ τὸ μεγαλύτερο [ἡ μικρότερη γνῶσι θὰ καταργηθῇ ἀπὸ τὴν μεγαλύτερη], τὸ ὁποῖο σημαίνει, ὅτι θὰ γνωρίσωμε ἐμεῖς καὶ τὸ τί εἶναι [ὁ οὐρανός], ὥστε νὰ αὐξάνεται περισσότερο ἡ γνῶσι.

185. Διότι καὶ πολλὰ μυστήρια εἶναι κρυμμένα στὶς θεῖες Γραφὲς καὶ δὲν γνωρίζομε τὸν σκοπὸ τοῦ Θεοῦ, [ὁ ὁποῖος κρύπτεται] μέσα στὰ λεγόμενα. Ἀλλὰ μὴν ἀλαζονευθῇς, λέγει ὁ Θεολόγος[ρϟ'], ὅταν ἀπὸ τὴν εὐγνωμοσύνη μας [καὶ καλὴ μας πρόθεσι] ὁμολογοῦμε τὴν ἄγνοιάν μας καὶ κατηγορή-

σέχειν, ἀλλὰ ταῖς λέξεσι, φησὶν ὁ Μέγας Διονύσιος. Ὅταν δέ τις διὰ τοῦ μακαρίου πένθους ζητήσῃ, τότε εὑρίσκει. Αὕτη γάρ ἐστιν ἡ ἐργασία τοῦ φόβου, δι᾽ ἧς ἡ ἀποκάλυψις τῶν κρυπτῶν γίνεται. Ἰδοὺ τοίνυν ὁ Προφήτης Ἡσαΐας λέγει· οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσι[270]*. Καὶ πάλιν· ἀναστήσονται οἱ νεκροί*[271]*. Ἀλλ᾽ οὐκ ἔστι τοῦτο διαφωνία, ὡς δοκοῦσιν οἱ μὴ γινώσκοντες τὸν σκοπόν, ὡς εἴρηται, ἐκ τῆς θεωρίας τῆς θείας Γραφῆς· ὅτι διὰ μὲν τὰ εἴδωλα τῶν ἐθνῶν, ἔφη, ζωὴν οὐ μὴ ἴδωσι διὰ τὸ ἄψυχα εἶναι· περὶ δὲ τῆς κοινῆς ἀναστάσεως καὶ τῆς τῶν δικαίων εὐφροσύνης, τὸ ἀναστήσονται οἱ νεκροί· οὐ μὴν δὲ ἀλλὰ καὶ περὶ τῆς τῶν κεκοιμημένων συνάρσεως τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ*[272] *προφητεύων. [186.] Ὡσαύτως δὲ καὶ ἐν τῷ Ἁγίῳ Εὐαγγελίῳ περὶ τῆς μεταμορφώσεως τοῦ Κυρίου φασὶν οἱ Εὐαγγελισταί· ὁ μὲν καὶ μεθ᾽ ἡμέρας ἕξ*[273]*, ὁ δὲ καὶ μεθ᾽ ἡμέρας ὀκτώ*[274]*, μετὰ τῆς προλαβούσης θαυματοποιίας καὶ διδασκαλίας*

σης τὶς λέξεις. Διότι εἶναι παράλογο καὶ ἀτυχὲς τὸ νὰ μὴν προσέχωμε στὴ δύναμη τοῦ σκοποῦ, ἀλλὰ στὶς λέξεις, λέγει ὁ Μέγας Διονύσιος[ρζα']. Ὅταν ὅμως κάποιος ἀναζητήσῃ διὰ τοῦ μακαρίου πένθους, τότε εὑρίσκει. Διότι αὐτὴ εἶναι ἡ ἐργασία τοῦ φόβου [ἡ ἐν φόβῳ Θεοῦ μελέτη τῶν θείων Γραφῶν], μὲ τὴν ὁποία ἀνακαλύπτονται τὰ κρυπτά. Νὰ λοιπὸν [γιὰ παράδειγμα] ὁ Προφήτης Ἠσαΐας λέγει: «οἱ δὲ νεκροὶ δὲν θὰ δοῦν τὴν ζωή». Καὶ πάλιν «θὰ ἀναστηθοῦν οἱ νεκροί». Ἀλλὰ αὐτὸ δὲν εἶναι διαφωνία, ὅπως νομίζουν, ὅσοι δὲν γνωρίζουν τὸν σκοπό, ὅπως ἔχει λεχθῆ, ἀπὸ τὴν θεωρία τῆς θείας Γραφῆς· διότι τὸ «δὲν θὰ δοῦν ζωή», τὸ εἶπε μὲν γιὰ τὰ εἴδωλα τῶν ἐθνῶν, ἐπειδὴ εἶναι ἄψυχα· ἐνῶ τὸ «θὰ ἀναστηθοῦν οἱ νεκροὶ» [τὸ εἶπε] γιὰ τὴν κοινὴ ἀνάστασι καὶ τὴν εὐφροσύνη τῶν δικαίων· καὶ ὄχι μόνον [γι᾽ αὐτό], ἀλλὰ [ἀκόμη τὸ εἶπε] προφητεύοντας τὴν συνανάστασι τῶν νεκρῶν μετὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ [κατὰ τὴν εἰς Ἅδου Κάθοδον Αὐτοῦ].

186. Ἐπίσης δὲ καὶ στὸ Ἅγιο Εὐαγγέλιο γιὰ τὴν Μεταμόρφωσι τοῦ Κυρίου λέγουν οἱ Εὐαγγελιστές, ὁ ἕνας «ὕστερα ἀπὸ ἕξι ἡμέρες», καὶ ὁ ἄλλος «ὕστερα ἀπὸ ὀκτὼ ἡμέρες», δηλαδὴ μετὰ τὴν θαυ-

τοῦ Κυρίου δηλαδή. Ἀλλ᾽ ὁ μέν, φησί, τὴν πρώτην καὶ τὴν ἐσχάτην παραδραμών, τὰς τούτων μέσον εἴρηκεν ἕξ· ὁ δὲ καὶ ταύτην κἀκείνην συμπαραλαβὼν ἔφη ὀκτώ. Καὶ πάλιν ὁ Θεολόγος Ἰωάννης ἐν τῷ κατ᾽ αὐτὸν Ἁγίῳ Εὐαγγελίῳ ἐν δυσὶ τόποις λέγει· ἐν μὲν τῷ ἑνί, εἰσὶ δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα[275], καὶ τὰ ἑξῆς· ἐν δὲ τῷ ἑτέρῳ εἰσὶ δὲ καὶ ἄλλα πολλά, ἃ ἐποίησεν ὁ Ἰησοῦς[276], καὶ οὐ λέγει ἐνώπιον τῶν μαθητῶν αὐτοῦ· περὶ ὧν ἔγραψεν ὁ Ἅγιος Πρόχορος ὁ γράψας τὰ ἀμφότερα, ὅτι τὸ μὲν διὰ τὰ θαυμάσια καὶ τὰ λοιπά, ἃ ἐποίησεν ὁ Κύριος, λέγει ὁ Εὐαγγελιστής, ἅπερ οὐκ ἔγραψε, διὰ τὸ προγραφῆναι ὑπὸ τῶν ἄλλων Εὐαγγελιστῶν, δι᾽ ὃ καὶ ἐνώπιον τῶν μαθητῶν αὐτοῦ προσέθηκε· τὸ δὲ ἕτερον ῥητὸν περὶ κοσμοποιΐας, ὅτε ἀσώματος ἦν ὁ Λόγος τοῦ Θεοῦ, μεθ᾽ οὗ τὰ πάντα ὁ Πατὴρ ἐκ μὴ ὄντων ἐποίησε[277], λέγων, γενηθήτω τόδε, καὶ

ματοποιία, ποὺ προηγήθηκε καὶ τὴν διδασκαλία τοῦ Κυρίου. Ἀλλὰ ὁ μὲν [ἕνας] Εὐαγγελιστὴς [τὸ] λέγει [ἔτσι], διότι παρέλειψε τὴν πρώτη καὶ τὴν τελευταία [ἡμέρα], καὶ ἀνέφερε τὶς ἐνδιάμεσες ἕξι, ὁ δὲ [ἄλλος] εἶπε ὀκτώ, διότι συμπεριέλαβε καὶ τὴν πρώτη καὶ τὴν τελευταία. Καὶ πάλι ὁ Θεολόγος Ἰωάννης σὲ δύο χωρία τοῦ Εὐαγγελίου του λέγει· στὸ μὲν ἕνα: «ὑπάρχουν καὶ πολλὰ ἄλλα, τὰ ὁποῖα ἔκανε ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν του, τὰ ὁποῖα δὲν εἶναι γραμμένα» καὶ τὰ λοιπά, στὸ δὲ ἄλλο: «εἶναι καὶ ἄλλα πολλά, τὰ ὁποῖα ἔκανε ὁ Ἰησοῦς», καὶ δὲν λέγει «ἐνώπιον τῶν μαθητῶν του», περὶ τῶν ὁποίων ἔγραψε ὁ Ἅγιος Πρόχορος[ϙϟβ'], ποὺ κατέγραψε καὶ τὸ ἕνα καὶ τὸ *ἄλλο*, ὅτι τὸ μὲν [*πρῶτο*] τὸ *λέγει* ὁ Εὐαγγελιστής, γιὰ τὰ θαύματα καὶ τὰ λοιπά, τὰ ὁποῖα ἔκανε ὁ Κύριος, τὰ ὁποῖα καὶ δὲν τὰ ἔγραψε [ὁ Ἰωάννης], διότι εἶχαν γραφῆ προηγουμένως ἀπὸ τοὺς ἄλλους Εὐαγγελιστές, γι᾽ αὐτὸ πρόσθεσε καὶ τὸ «ἐνώπιον τῶν μαθητῶν Αὐτοῦ». Τὸ [δεύτερο] ὅμως ρητό, [τὸ λέγει] γιὰ τὴν δημιουργία τοῦ κόσμου, ὅταν ὁ Λόγος τοῦ Θεοῦ δὲν εἶχε λάβει τὸ [ἀνθρώπινο] σῶμα, μὲ τὸν Ὁποῖον ὁ Πατὴρ ἔκτισε τὰ πάντα ἐκ τοῦ μὴ ὄντος[16] [ἀπὸ τὴν ἀνυπαρξία], λέγοντας «ἂς γίνῃ

ἐγένετο[278]· ἅτινα ἐὰν γράφηται καθ᾽ ἕν[279], φησὶν ὁ Θεολόγος, καὶ τὰ ἑξῆς. [187.] Καὶ ἁπλῶς πᾶσα γραφὴ καὶ πᾶς λόγος Θεοῦ, ἢ Ἁγίου τινός, ἢ τῶν αἰσθητῶν ἢ τῶν νοητῶν κτισμάτων σκοπὸν ἔχει ἐν ἑαυτῷ κεκρυμμένον· οὐ μόνον δὲ ἀλλὰ καὶ πᾶς ἀνθρώπινος λόγος. Καὶ οὐδεὶς γινώσκει τὸν νοῦν τοῦ τυχόντος ῥητοῦ, εἰ μὴ δι᾽ ἀποκαλύψεως· ὥς φησιν ὁ Κύριος περὶ τοῦ ἀνέμου, ὅτι τὸ πνεῦμα ὅπου θέλει πνεῖ[280], καὶ τὰ ἑξῆς· περὶ οὗ ἔφη ὁ Χρυσόστομος· οὐχ ὅτι ἐξουσίαν ἔχει ὁ ἀήρ, εἴρηκεν ὁ Χριστὸς ὅπου θέλει, ἀλλὰ συγκαταβαίνων τῇ τοῦ Νικοδήμου ἀσθενείᾳ τέθεικε τὸν ἄνεμον ὁ Κύριος, ἵνα γινώσκῃ τὸ λεγόμενον αὐτῷ. Καὶ τὸν ἀέρα ἐν παραβολῇ τοῦ Ἁγίου Πνεύματος εἶπεν, ἤτοι τοῦ λόγου οὗ πρὸς αὐτὸν ἔλεγε καὶ πρός τινας ἑτέρους, ὅτι ἅπερ λέγω ὑμῖν πνεῦμά ἐστιν, ἤγουν πνευματικά, καὶ οὐχ ὡς ὑμεῖς δοκεῖτε· οὐ γὰρ περὶ σωματικῶν πραγμάτων λέγω, ἵνα ὡς σωματικοὶ ὄντες γινώσκητε. Διὰ τοῦτό

αὐτό», καὶ [ἀμέσως] «ἐγένετο», τὰ ὁποῖα «ἐάν γράφωνται ἕνα πρὸς ἕνα», λέγει ὁ Θεολόγος [Ἰωάννης] καὶ τὰ λοιπά.


187. Καὶ γενικὰ κάθε γραφὴ καὶ κάθε λόγος τοῦ Θεοῦ ἢ κάποιου Ἁγίου [περὶ] ἢ τῶν αἰσθητῶν ἢ τῶν νοητῶν κτισμάτων, ἔχει κρυμμένο μέσα του ἕνα σκοπό [γιὰ τὸν ὁποῖο λέγεται ἢ γράφεται]· ὄχι μόνον δέ, ἀλλὰ καὶ ὁ κάθε ἀνθρώπινος λόγος. Καὶ κανένας δὲν γνωρίζει τὸ νόημα τοῦ κάθε ῥητοῦ, παρὰ μόνον μέσῳ ἀποκαλύψεως [ποὺ θὰ τοῦ γίνῃ]· ὅπως λέγει ὁ Κύριος γιὰ τὸν ἄνεμο, ὅτι «ὁ ἀέρας πνέει ὅπου θέλει» καὶ τὰ λοιπά, γιὰ τὸ ὁποῖο εἶπε [καὶ ἑρμήνευσε] ὁ Χρυσόστομος· ὅτι δὲν εἶπε ὁ Χριστός, ὅτι ἔχει ἐξουσία ὁ ἀέρας [νὰ πηγαίνῃ], ὅπου θέλει, ἀλλὰ ἀνέφερε τὸν ἄνεμο ὁ Κύριος, δείχνοντας συγκατάβασι στὴν ἀδυναμία τοῦ Νικοδήμου, γιὰ νὰ κατανοήσῃ [αὐτός], ἐκεῖνο τὸ ὁποῖο τοῦ ἔλεγε. Καὶ τὸν ἀέρα τὸν ἀνέφερε παραβολικὰ [ἐννοώντας] τὸ Ἅγιο Πνεῦμα, δηλαδὴ [ἐχρησιμοποίησε τὸ παράδειγμα αὐτὸ πρὸς ἑρμηνεία] τοῦ λόγου ποὺ ἔλεγε σ᾽ αὐτὸν καὶ σὲ μερικοὺς ἄλλους, ὅτι «ὅσα λέγω σὲ σᾶς εἶναι πνεῦμα», δηλαδὴ πνευματικὰ καὶ ὄχι ὅπως ἐσεῖς νομίζετε· γιατὶ δὲν σᾶς ὁμιλῶ γιὰ σωματικὰ πράγματα, ὥστε ἐσεῖς ὡς σωμα-

φησιν ὁ Δαμασκηνός, ὅτι εἰ μὴ ἀκούσῃ τις παρ᾽ ἐκείνου, οὗ ἐστιν ὁ λόγος, περὶ αὐτοῦ τοῦ σκοποῦ, οὐ δύναται λέγειν γινώσκω τὸν σκοπὸν τὸν λεγόμενον ὑπ᾽ αὐτοῦ. Καὶ πῶς τολμᾷ τις εἰπεῖν, ὅτι γινώσκω τὸν σκοπὸν τοῦ Θεοῦ τὸν ἐν ταῖς θείαις Γραφαῖς κεκρυμμένον, χωρὶς ἀποκαλύψεως τοῦ Υἱοῦ αὐτοῦ; ὡς αὐτὸς ἔφη ὁ Χριστός· καὶ ᾧ ἂν βούληται ὁ Υἱὸς ἀποκαλύψαι[281]*, ἂν αὐτὸς προαιρῆται δηλαδὴ λαβεῖν παρ᾽ αὐτοῦ νοερῶς διὰ τῆς τηρήσεως τῶν θείων αὐτοῦ ἐντολῶν, ὧν ἐκτός, ὁ λέγων γινώσκειν, ἐψεύσατο. Στοχαστικῶς γὰρ λέγει, καὶ οὐ κυρίως ἐκ Θεοῦ μαθών, φησὶν ὁ τῆς Κλίμακος, κἂν ἐξ οἰήσεως εἰς τὰ ἄμετρα καυχᾶται*[282]*· πρὸς ὅν φησιν ὁ Θεολόγος· πότε, ὦ φιλοσοφώτατε σύ, καὶ τὰ ἑξῆς· πότε, ὦ γραμματικὲ σύ, ὀνειδίζων τὴν ἔπαρσιν, ἐξ ἧς ἀγνώστως ὁ τοιοῦτος δοκεῖ ἔχειν τι· ὅπερ καὶ αὐτό, ὃ δοκεῖ ἔχειν, ἀρθήσεται ἀπ᾽ αὐτοῦ*[283]*, διὰ τὸ μὴ θέλειν εἰπεῖν, οὐκ οἶδα, ὡς οἱ ἅγιοι πάντες· ἵνα διὰ τῆς*

τικοί, [ποὺ εἶσθε] νὰ τὰ κατανοῆτε. Γι᾽ αὐτὸ λέγει ὁ Δαμασκηνός, ὅτι ἂν δὲν ἀκούσῃ κανεὶς ποιὸς εἶναι ὁ σκοπὸς κάποιου λόγου, ἀπὸ ἐκεῖνον [τὸν ἴδιο], ὁ ὁποῖος ἀναφέρει τὸ λόγο, δὲν μπορεῖ νὰ λέγῃ, ὅτι ἐγὼ γνωρίζω τὸν σκοπὸ αὐτό. Καὶ πῶς τολμᾶ κανεὶς νὰ πῇ, ὅτι ἐγὼ γνωρίζω τὸν σκοπὸ τοῦ Θεοῦ, ὁ ὁποῖος εἶναι κρυμμένος μέσα στὶς θεῖες Γραφές, χωρὶς νὰ τοῦ ἀποκαλυφθῇ ἀπὸ τὸν Υἱὸ Αὐτοῦ· ὅπως εἶπε ὁ ἴδιος ὁ Χριστός: «καὶ σὲ ὅποιον θέλει ὁ Υἱὸς νὰ τὸ ἀποκαλύψῃ», ἂν ὁ ἴδιος βέβαια ἔχῃ τὴν καλὴ προαίρεσι νὰ τὸ λάβῃ ἀπὸ Αὐτὸν νοερά, μὲ τὴν τήρησι τῶν θείων ἐντολῶν Του, χωρὶς τὶς ὁποῖες, ὅποιος λέγει ὅτι ἔχει γνῶσι, εἶπε ψέματα. Διότι τὰ λέγει κατὰ τὸ δικό του στοχασμὸ καὶ ὄχι ἐπειδὴ τὰ ἔμαθε κυρίως [καὶ κατ᾽ ἀποκάλυψι] ἀπὸ τὸν Θεό, λέγει ὁ τῆς Κλίμακος, ἀκόμη καὶ ἂν ἀπὸ ὑπερηφάνεια καυχᾶται ἄμετρα [ὑπερβολικὰ καὶ ἔξω ἀπὸ τὴν ἀλήθεια]. Σ᾽ αὐτὸν ἄλλοτε λέγει [ἀποκαλώντας τον] ὁ Θεολόγος [Γρηγόριος]: «ὦ σὺ φιλοσοφώτατε»[ρλγ'] καὶ τὰ λοιπά· ἄλλοτε: «ὦ γραμματισμένε σύ», ὀνειδίζοντας τὴν ἔπαρσί [του], λόγῳ τῆς ὁποίας αὐτός, ἐνῶ ἔχει ἄγνοια, νομίζει ὅτι κατέχει κάτι, τὸ ὁποῖο καὶ αὐτὸ ποὺ νομίζει ὅτι ἔχει, θὰ τοῦ ἀφαιρεθῇ, ἐπειδὴ δὲν θέλει νὰ πῇ, ὅτι δὲν γνωρίζω, ὅπως ὅλοι

ταπεινώσεως δοθήσεται αὐτῷ καὶ περισσευθήσεται[284]*, καθάπερ ἐκείνοις· οἳ καίπερ εἰδότες, ἔλεγον μηδὲν εἰδέναι, ὥς φησιν ὁ Χρυσόστομος· ὅτι οὐκ εἶπεν ὁ Ἀπόστολος, οὐδέπω οὐδὲν εἶδον, ἀλλ᾽ οὐδὲν εἶδον, ὡς δεῖ εἰδέναι*[285]*· ὥστε εἶδε μέν, οὐχ ὡς δεῖ δέ.*

οἱ Ἅγιοι· ὥστε μὲ τὴν «ταπείνωσι νὰ τοῦ δοθῇ καὶ νὰ περισσεύσῃ» [μὲ τὸ παραπάνω], ὅπως ἀκριβῶς σ᾽ ἐκείνους, οἱ ὁποῖοι ἂν καὶ ἐγνώριζαν, ἔλεγαν ὅτι δὲν γνωρίζουν τίποτε, ὅπως λέγει ὁ Χρυσόστομος[ρϟδ΄]· διότι ὁ Ἀπόστολος δὲν εἶπε «δὲν γνωρίζω ἀκόμη τίποτε», ἀλλὰ «δὲν γνωρίζω τίποτε, ὅπως πρέπει». Ὥστε ἐγνώριζε μέν, ὄχι ὅμως ὅπως ἔπρεπε.



[188.] Αὕτη ἐστὶν ἡ ψευδώνυμος γνῶσις, διότι δοκεῖ εἰδέναι, ἅπερ οὐδέποτε οἶδε. Αὕτη δὲ χείρων ἐστι τῆς καθόλου ἀγνωσίας, φησὶν ὁ Χρυσόστομος, ὡς μὴ καταδεχομένη λαβεῖν παρά τινος διδασκάλου διόρθωσιν ἐκ τοῦ νομίζειν καλῶς ἔχειν ἡ παγκάκιστος ἀγνωσία. Διὰ τοῦτο λέγουσιν οἱ Πατέρες, ὅτι τὰ μὲν ἐν ταῖς Γραφαῖς κείμενα ὀφείλομεν ζητεῖν ἐμπόνως, μετὰ ταπεινώσεως καὶ συμβουλῆς τῶν ἐμπείρων, ἔργῳ μᾶλλον ἢ λόγῳ μαθεῖν, τὰ δὲ σεσιγημένα ὑπὸ τῶν θείων Γραφῶν μηδ' ὅλως ζητεῖν. Ἄλογον γάρ ἐστι τοῦτο, ὥς φησὶν ὁ Μέγας Ἀντώνιος περὶ τῶν αἰτούντων προγινώσκειν τὰ μέλλοντα, καὶ οὐ μᾶλλον παραιτεῖσθαι τοῦτο ὡς ἀνάξιοι· κἂν ἴσως ἐκ θείας προνοίας γίνεται, ὡς εἰς τὸν Ναβουχοδονόσορ[286] καὶ τὸν πάλαι Βαλαὰμ[287] ἐγένετο πρὸς κοινὴν ὠφέλειαν, εἰ καὶ ἀνάξιοι ἐτύγχανον, καὶ οὐκ ἐκ δαιμόνων, καὶ μάλιστα ὅταν γένηται δι' ὀνείρων καὶ φαντασιῶν τινων· οὐκ ἐῤῥέθη δὲ τοῦτο, ἵνα διὰ

188. Αὐτὴ εἶναι ἡ ὀνομαζομένη ψεύτικη γνῶσι, διότι νομίζει [κανείς], ὅτι γνωρίζει ἐκεῖνα, τὰ ὁποῖα ποτὲ δὲν ἐγνώρισε. Αὐτὴ δὲ εἶναι χειρότερη ἀπὸ τὴν τελεία ἄγνοια, λέγει ὁ Χρυσόστομος[ρξε΄], διότι δὲν καταδέχεται νὰ δεχθῇ διόρθωσι ἀπὸ κανένα διδάσκαλο, γιατὶ νομίζει [αὐτὴ] ἡ παγκάκιστη ἄγνοια, ὅτι εἶναι καλὴ καὶ [ὀρθή]. Γι' αὐτό, λέγουν οἱ Πατέρες, ὅτι τὰ μὲν κείμενα, τὰ ὁποῖα εὑρίσκονται μέσα στὶς Γραφές, ὀφείλομε νὰ τὰ ζητοῦμε μὲ κόπο [ἐπιμελῶς], μὲ ταπείνωσι καὶ μὲ τὴν συμβουλὴ τῶν ἐμπείρων, [γιὰ] νὰ τὰ μάθωμε μὲ τὰ ἔργα μᾶλλον, παρὰ μὲ τὰ λόγια, ἐκεῖνα δέ, τὰ ὁποῖα ἀποσιωποῦνται ἀπὸ τὶς θεῖες Γραφές, νὰ μὴν τὰ ἀναζητοῦμε καθόλου. Γιατὶ εἶναι παράλογο αὐτό, ὅπως λέγει ὁ Μέγας Ἀντώνιος[ρξστ΄], γιὰ ἐκείνους, οἱ ὁποῖοι ζητοῦν νὰ προγνωρίζουν τὰ μέλλοντα καὶ δὲν [θέλουν] νὰ παραιτοῦνται μᾶλλον ἀπὸ αὐτό, ἐνῶ εἶναι ἀνάξιοι. Καὶ ἂν ἴσως [αὐτὸ συμβαίνῃ μερικὲς φορές], ἀπὸ θεία πρόνοια γίνεται, ὅπως ἔγινε στὸν «Ναβουχοδονόσορα» καὶ στὸν παλαιὸ «Βαλαὰμ» πρὸς κοινὴ ὠφέλεια [τῶν πολλῶν], ἂν καὶ [αὐτοὶ] ἦσαν ἀνάξιοι, καὶ ὄχι ἀπὸ [ἐνέργεια] τῶν δαιμόνων, καὶ

πράξεων σωματικῶν τε καὶ ἠθικῶν ἐρευνῶμεν τὰς Γραφάς[288]*, κατὰ τὴν τοῦ Κυρίου ἐντολήν, καὶ ζωὴν αἰώνιον εὑρεῖν*[289]*· καὶ ἵνα μὴ λόγῳ ζητῶμεν καὶ ἐξ οἰήσεως νομίζωμέν τι καταλαβεῖν· καὶ μάλιστα τὰ κεκρυμμένα ἐξ ἡμῶν, πρὸς ταπείνωσιν μείζονα, καὶ ἵνα μὴ κατακριθῶμεν ὡς ἐν γνώσει παραλαμβάνοντες [recte: παραβαίνοντες]*[λδ']*. [189.] Διότι ὁ γνώσεως νοῦν κτήσασθαι καταξιωθείς, καὶ οὐκ ἀγωνίζεται εἰς τὴν μελέτην τῶν θείων Γραφῶν καὶ τῶν διδομένων αὐτῷ γνώσεων ἐν σχολῇ πολλῇ καὶ προσοχῇ μετὰ ταπεινώσεως καὶ φόβου Θεοῦ, ὡς ἀνάξιος τῶν δεδωρημένων αὐτῷ ὑπ᾽ αὐτοῦ, μετὰ ἀπειλῆς ἐκβάλλεται τῆς γνώσεως, ὡς ὁ Σαοὺλ τῆς βασιλείας*[290]*, φησὶν ὁ Ἅγιος Μάξιμος. Ὁ δὲ σχολάζων καὶ ἀγωνιζόμενός φησιν, ὀφείλει ὡς ὁ Δαβὶδ παρακαλεῖν ἀεὶ καὶ λέγειν, καρδίαν καθαρὰν κτῖσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου*[291]*, ἵνα ἄξιος γένηται τῆς αὐτοῦ ἐπιφοιτήσεως· ὥσπερ*

πολὺ περισσότερο ὅταν γίνεται μέσῳ ὀνείρων καὶ ὁρισμένων φαντασιῶν. Ὅμως, δὲν ἐλέχθη αὐτὸ [δὲν μᾶς δόθηκε ἐντολὴ δηλαδὴ νὰ ἀναζητοῦμε τὰ κεκρυμμένα ἀπὸ τὶς Θεῖες Γραφές], ὥστε νὰ «ἐρευνοῦμε τὶς Γραφὲς» μὲ πράξεις σωματικὲς καὶ ἠθικές, σύμφωνα μὲ τὴν ἐντολὴ τοῦ Κυρίου, καὶ «νὰ εὕρωμε αἰώνιον ζωήν»· καὶ γιὰ νὰ μὴν τὰ ἐρευνοῦμε μὲ τὴν λογικὴ καὶ ἀπὸ ὑπερηφάνεια νὰ νομίζωμε, ὅτι κάτι μπορέσαμε νὰ κατανοήσωμε καὶ μάλιστα ἐκεῖνα, τὰ ὁποῖα εἶναι κρυμμένα ἀπὸ ἐμᾶς, γιὰ μεγαλύτερη ταπείνωσί μας, καὶ νὰ μὴν κατακριθοῦμε, ἐπειδὴ τὰ παραβαίνωμε ἐν γνώσει μας.

189. Διότι ἐκεῖνος, ὁ ὁποῖος ἀξιώθηκε νὰ ἀποκτήσῃ νοῦ [ἐπιδεκτικὸ] γνώσεως καὶ δὲν ἀγωνίζεται μὲ πολλὴ ἐπιμέλεια καὶ προσοχή, μὲ ταπείνωσι καὶ φόβο Θεοῦ στὴν μελέτη τῶν θείων Γραφῶν καὶ τῶν γνώσεων, ποὺ τοῦ δίδονται, ὡς ἀνάξιος γιὰ τὰ ὅσα τοῦ ἔχουν δωρηθῆ ἀπὸ Αὐτόν, ἐξορίζεται ἀπὸ τὴν γνῶσι [καὶ μάλιστα] μὲ ἀπειλή, ὅπως ὁ Σαοὺλ ἀπὸ τὴν βασιλεία, λέγει ὁ Ἅγιος Μάξιμος[ρϟ']. Ἐκεῖνος ὅμως, λέγει, ὁ ὁποῖος ἀφοσιώνεται [σ᾽ αὐτὸ] καὶ ἀγωνίζεται, ὀφείλει, ὅπως ὁ Δαβΐδ, νὰ παρακαλῇ πάντοτε καὶ νὰ λέγῃ, «κτίσε μέσα μου, Θεέ μου,

ποτὲ οἱ Ἀπόστολοι ἔλαβον τὴν χάριν ἐν τῇ ὥρᾳ τῇ τρίτῃ, ὡς λέγεται ἐν ταῖς Πράξεσιν· ἦν γὰρ ὥρα τρίτη τῆς ἡμέρας[292]*, ἡμέρα δὲ Κυριακή, ὥς φησιν ὁ θεσπέσιος Λουκᾶς. Πεντηκοστὴ γάρ ἐστιν ἡ ἑβδόμη Κυριακή, ἀπὸ τῆς Κυριακῆς, ἐν ᾗ γίνεται τὸ λεγόμενον κατὰ τὴν Ἰουδαϊκὴν γλῶσσαν φάσκα. Ἑρμηνεύεται δὲ διάβασις καὶ ἐλευθερία, κατὰ τὴν Ἑλλάδα, καὶ ἡ μετὰ πεντήκοντα ἡμέρας Κυριακή, λέγεται Πεντηκοστή, ὡς πλήρης οὖσα τῶν ἐν μέσῳ αὐτῆς καὶ τοῦ πάσχα πεντήκοντα ἡμερῶν κατὰ τὸν νόμον*[293]*· ὡς καὶ Ἰωάννης ὁ Θεολόγος, ἐν τῷ κατ᾽ αὐτὸν Ἁγίῳ Εὐαγγελίῳ λέγει· τῇ ἐσχάτῃ καὶ μεγάλῃ ἑορτῇ*[294]*, διὰ τὸ ὑπάρχειν τότε ἀπόδοσις τῆς Ἑορτῆς τοῦ Πάσχα. Τριττὴ μὲν εὐμοίρησεν ὡρῶν τὴν χάριν, φησὶν ὁ Δαμασκηνός, καὶ τὰ ἑξῆς· τοῦτ᾽ ἔστιν ἐν τρίτῃ μὲν ὥρᾳ, ἀλλ᾽ ἐν μιᾷ φησὶ τῇ Κυρίᾳ τῶν ἡμερῶν, ὅπως ὑπεμφήνειε τρεῖς ὑποστάσεις σέβειν ἐν ἁπλότητι τῆς ἐξουσίας, ἤτοι τῆς μιᾶς θεότητος. [190.] Μία γὰρ ἡ*

καρδία καθαρὴ καὶ ἐγκαινίασε στὰ βάθη μου εὐθὲς Πνεῦμα», γιὰ νὰ γίνῃ ἄξιος τῆς ἐπιφοιτήσεως Αὐτοῦ [τοῦ Ἁγίου Πνεύματος], ὅπως ἀκριβῶς κάποτε οἱ Ἀπόστολοι ἔλαβαν τὴν Χάριν, κατὰ τὴν τρίτη ὥρα, ὅπως λέγεται εἰς τὰς Πράξεις [τῶν Ἀποστόλων]· διότι ἦταν «τρίτη ὥρα τῆς ἡμέρας», ἡμέρα δὲ Κυριακή, ὅπως λέγει ὁ θεσπέσιος Λουκᾶς. Γιατὶ ἡ Πεντηκοστὴ εἶναι ἡ ἑβδόμη Κυριακὴ ἀπὸ τὴν Κυριακή, κατὰ τὴν ὁποία γίνεται τὸ λεγόμενο στὴν Ἰουδαϊκὴ γλῶσσα φάσκα. Ἑρμηνεύεται δὲ στὰ Ἑλληνικὰ [τὸ Πάσχα] διάβασις καὶ ἐλευθερία, καὶ ἡ Κυριακή, ἡ [ὁποία εἶναι] πενῆντα ἡμέρες μετὰ [ἀπὸ τὸ Πάσχα], λέγεται Πεντηκοστή, διότι συμπληρώνει τὶς πενῆντα ἡμέρες [ἀνάμεσα] σ᾽ αὐτὴν καὶ τὸ Πάσχα, σύμφωνα μὲ τὸν νόμο, ὅπως λέγει καὶ ὁ Ἰωάννης ὁ Θεολόγος εἰς τὸ Ἅγιον Εὐαγγέλιό Του «κατὰ τὴν τελευταία καὶ μεγάλη ἑορτή», ἐπειδὴ τότε γινόταν ἡ ἀπόδοσι τῆς ἑορτῆς τοῦ Πάσχα. Ὁ Δαμασκηνὸς [ρϞη΄] λέγει, «τὴν τρίτη ὥρα διένειμε [μὲ τὴν εὔνοιά Του] ὁ Θεὸς τὴν Χάριν» καὶ τὰ λοιπά, δηλαδὴ τὴν τρίτη μὲν ὥρα, ἀλλὰ σὲ μία ἡμέρα, λέγει, τὴν Κυριακή, γιὰ νὰ δηλώσῃ [ὅτι πρέπει] νὰ σεβώμαστε τὶς τρεῖς ὑποστάσεις σὲ

Κυριακὴ τῆς ἑβδομάδος καὶ οὐ πρώτη λέγεται, φησὶν ὁ Χρυσόστομος, διά τὸ χωρίζειν αὐτὴν ἡ θεία Γραφή. Ἡ μὲν παλαιὰ προφητεύουσα περὶ αὐτῆς, δι᾽ ὃ καὶ οὐκ ἀκολούθως αὐτὴν ὀνομάζει ὥσπερ τὴν δευτέραν καὶ τὰς λοιπάς· εἰ γὰρ οὐκ ἐχώριστο, πρώτη ἂν ἐλέγετο, ἀλλὰ τούτου χάριν λέγεται μία τῶν Σαββάτων, ἤτοι τῆς ἑβδομάδος. Ἐν δὲ τῇ νέα χάριτι, Κυριακή[295] *ἡ ἁγία αὕτη καὶ κλητὴ ἡμέρα*[296] *ὀνομάζεται, διότι ἐν αὐτῇ τὰ κυριώτερα καὶ δεσποτικὰ πράγματα ἐγένοντο, ὅ τε Εὐαγγελισμός, ἡ Γέννησις τοῦ Κυρίου, ἡ Ἀνάστασις αὐτοῦ, καὶ ἡ κοινὴ τῶν νεκρῶν ἀνάστασις μέλλει γενέσθαι. Ἐν αὐτῇ γὰρ ἐγένετο τὸ αἰσθητὸν φῶς ὑπὸ τοῦ Θεοῦ, φησὶν ὁ Δαμασκηνός, καὶ πάλιν ἐν αὐτῇ ἡ παρουσία τοῦ Κυρίου μέλλει ἔσεσθαι, ἵνα εἰς ἀπεράντους αἰῶνας μένῃ ἡ ἡμέρα, ἡ μία*[297] *αὕτη καὶ ὀγδόη*[298]*, ὡς ἔξωθεν οὖσα τῶν ἑπτὰ αἰώνων τούτων τῶν ἐχόντων ἡμέρας καὶ νύκτας. [191.] Ἀλλ᾽ ἐπειδὴ τὸν σκοπὸν τῶν τοιούτων πραγ-*

μία [καὶ μόνη] ἐξουσία, δηλαδὴ τῆς μιᾶς Θεότητος.

καὶ τὸν ἁγνὸν καὶ θεῖον φόβον[45] *ἔχων, κἀκ τούτων τὴν ἐγκράτειαν καὶ σωφροσύνην κατέχειν βουληθῇ, ὀφείλει ἑαυτὸν ἔσωθεν καὶ ἔξωθεν κατέχειν διόλου, καὶ ὡς νεκρὸς τὸ σῶμα καὶ τὴν ψυχὴν ἐκ τοῦ κόσμου τούτου καὶ τῶν ἀνθρώπων διακεῖσθαι, λέγων εἰς πάντα πρὸς τὸν ἴδιον λογισμόν, τίς εἰμι ἐγώ; καὶ τίς ἡ ὑπόστασίς μου*[46]*, ἀλλ᾽ ἢ βδέλυγμα; Καὶ ἄνω μὲν γῆ*[47]*, ὕστερον δὲ σαπρία*[48]*, ἡ δὲ μέση πάσης ὕβρεως καὶ ἐπέκεινα· τί ἐστιν ἡ ζωή μου; καὶ πόσον ἐστίν; ὥρα μία, καὶ ὁ θάνατος· τί μέλει μοι περὶ τούτου, ἢ ἐκείνου; ἄρτι ἀποθνήσκω· ζωὴν γὰρ καὶ θάνατον Χριστὸς κατέχει· ἐγὼ δὲ τί μεριμνῶ, καὶ φιλονεικῶ εἰς μάτην; Μικροῦ ἄρτου χρεία, τὸ δὲ περισσὸν διατί; Εἰ μὲν ἔχω τοῦτο, ἔπαυσε πᾶσα μέριμνα· εἰδ᾽ οὔ, περὶ τούτου μόνον διὰ τὸ ἀτελὲς τῆς γνώσεως μεριμνήσω ἴσως, καίπερ ἐστὶν ὁ Θεὸς ὁ προνοῶν.* ***[16.]*** *Πᾶσα τοίνυν μέριμνα ἀνθρώπῳ περὶ τῆς φυλακῆς τῶν αἰ-*

στι τῆς θεωρίας καὶ τὸν ἁγνὸ καὶ θεῖο φόβο καὶ ἂν μετὰ ἀπὸ αὐτά, θελήσῃ νὰ κρατήσῃ τὴν ἐγκράτεια καὶ τὴν σωφροσύνη, ὀφείλει νὰ κυριαρχῇ ὁλοκληρωτικὰ στὸν ἑαυτόν του ἐσωτερικὰ καὶ ἐξωτερικὰ καὶ νὰ συμπεριφέρεται ὡς νεκρὸς στὸ σῶμα καὶ τὴν ψυχή του, ὡς πρὸς αὐτὸν τὸν κόσμο καὶ τοὺς ἀνθρώπους, λέγοντας γιὰ ὅλα στὸν δικό του λογισμό, «ποιὸς εἶμαι ἐγὼ καὶ ποιὰ [στὴν πραγματικότητα εἶναι] ἡ ὑπόστασίς μου», παρὰ ἕνα βδέλυγμα; Καὶ ἡ ἀρχή μου μὲν εἶναι τὸ χῶμα, τέλος μου δὲ ἡ σαπίλα, καὶ τὸ ἐνδιάμεσο εἶναι γεμάτο ἀπὸ κάθε θρασύτητα καὶ κάτι περισσότερο. Τί εἶναι ἡ ζωή μου; Καὶ πόση εἶναι; Μία ὥρα καὶ ὁ θάνατος ὕστερα· τί μὲ ἐνδιαφέρει γι᾽ αὐτὸ ἢ ἐκεῖνο; Τώρα πεθαίνω· διότι ὁ Χριστὸς ἐξουσιάζει τὴν ζωὴ καὶ τὸν θάνατο· ἐγὼ ὅμως γιατὶ μεριμνῶ καὶ φιλονεικῶ μάταια; [Μόνον] λίγο ψωμὶ χρειάζομαι, γιατὶ ὅμως [νὰ θέλω νὰ ζητῶ] τὸ περισσότερο; Ἐὰν μὲν ἔχω αὐτὸ [τὸ λίγο], ἔπαυσε [γιὰ μένα] κάθε μέριμνα, ἂν δὲν τὸ ἔχω, γι᾽ αὐτὸ μόνο ἴσως ἂς μεριμνήσω, ἐξαιτίας τῆς ἀτέλειάς μου στὴν γνῶσι, ἂν καὶ ὁ Θεὸς εἶναι Ἐκεῖνος, ὁ Ὁποῖος προνοεῖ γιὰ ὅλα.

16. Κάθε λοιπὸν μέριμνα τοῦ ἀνθρώπου, ἂς εἶναι [στραμμένη] γύρω ἀπὸ τὴν διαφύλαξι τῶν

σθήσεων ἔστω καὶ τῶν λογισμῶν, ἵνα μηδ᾽ ὅλως στήσειεν ἢ ποιήσειέ τι, ἃ μὴ μετὰ Θεὸν δοκεῖ εἶναι. Ἑτοιμαζέτω δὲ ἑαυτὸν καὶ πρὸς ὑπομονὴν τῶν ἐπερχομένων ἔκ τε δαιμόνων καὶ ἀνθρώπων ἡδέων καὶ δυσχερῶν, ὥστε μηδ᾽ ἐκ τούτων, μηδ᾽ ἐξ ἐκείνων πτοηθῇ ἢ ἔλθῃ εἰς χαρὰν ἄλογον καὶ οἴησιν, ἢ εἰς λύπην καὶ ἀπόγνωσιν, μηδὲν δεχόμενος λογισμοῦ θάρσος, μέχρις ἂν ἔλθῃ ὁ Κύριος· αὐτῷ ἡ δόξα εἰς τοὺς

αἰσθήσεων καὶ τῶν λογισμῶν, ὥστε καθόλου νὰ μὴν δεχθῇ ἢ νὰ κάνῃ κάτι, τὸ ὁποῖο δὲν εἶναι σύμφωνο μὲ τὸ θέλημα τοῦ Θεοῦ. Ἂς ἑτοιμάζῃ ἐπίσης τὸν ἑαυτόν του καὶ γιὰ τὴν ὑπομονή, γιὰ ὅσα προξενοῦνται καὶ ἀπὸ δαίμονες καὶ ἀπὸ ἀνθρώπους, εὐχάριστα καὶ δυσάρεστα, ὥστε, οὔτε ἀπὸ αὐτὰ οὔτε ἀπὸ ἐκεῖνα, νὰ φοβηθῇ ἢ νὰ φθάσῃ σὲ ἄλογη χαρὰ καὶ ὑπερηφάνεια, ἢ σὲ λύπη καὶ ἀπόγνωσι, μὲ τὸ νὰ μὴν δέχεται κανενὸς λογισμοῦ τὸ θράσος, μέχρις ὅτου ἔλθῃ ὁ Κύριος· σ᾽ Αὐτὸν [ἀνήκει] ἡ δόξα εἰς τοὺς αἰῶνες. Ἀμήν.



ΛΟΓΟΣ Ε΄

Πέμπτος μέν ἐστιν ὁ λόγος, καὶ στοιχεῖον
Τὸ ἒψιλόν, περὶ δὲ ὑπομονῆς τυγχάνει,
Αὕτη γάρ ἐστιν ἡ πρώτη καὶ μεγάλη,
Ἐν ταῖς ἀρεταῖς, καὶ πάσῃ ἐπιστήμῃ.
Νῦν δὲ τὴν ἀρχὴν εὐλόγησον, ὦ Πάτερ.

Πέμπτος ἔφθασεν ὁ λόγος καὶ στοιχεῖο
ἔψιλον, ποὺ γιὰ ὑπομονὴ μιλάει.
Γιατὶ αὐτὴ εἶναι ἡ πρώτη καὶ μεγάλη
ἀπ᾽ τὶς ἀρετὲς καὶ κάθε ἐπιστήμη.
Τώρα λόγου τὴν ἀρχὴν εὐλόγησον, ὦ Πάτερ.

ΛΟΓΟΣ Ε΄

[17.] Εἶπεν ὁ Κύριος· ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται[50]*. Ὑπομονὴ δέ ἐστι πασῶν ἀρετῶν συγκρότησις. Οὐδὲ γὰρ μία τῶν ἀρετῶν δίχα ταύτης ἵσταται· διότι πᾶς ὁ στραφεὶς εἰς τὰ ὀπίσω, οὐκ εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν*[51]*· ἀλλ᾽ εἰ καὶ πασῶν τῶν ἀρετῶν ἐν μετοχῇ δοκεῖ εἶναί τινι, οὐκ εὔθετός ἐστι, μὴ εἰς τέλος ὑπομείνας καὶ σωθεὶς ἐκ τῶν παγίδων τοῦ διαβόλου, εἰς τὴν βασιλείαν τῶν οὐρανῶν καταντήσειεν. Ἐπειδὴ καὶ αὐτοὶ οἱ τὸν ἀῤῥαβῶνα λαβόντες, ὑπομονῆς δέονται, ἵνα τὸ τέλειον ἔπαθλον ἐν τῷ μέλλοντι*

17. Εἶπε ὁ Κύριος· «ὅποιος θὰ ὑπομείνῃ ἕως τὸ τέλος, αὐτὸς θὰ σωθῇ». Ἡ ὑπομονὴ εἶναι ἡ συγκρότησι ὅλων τῶν ἀρετῶν. Διότι, οὔτε μία ἀπὸ τὶς ἀρετές, δὲν στέκεται χωρὶς αὐτή. Ἐπειδὴ «καθένας, ποὺ θὰ στραφῇ πρὸς τὰ ὀπίσω, δὲν εἶναι ἄξιος γιὰ τὴν Βασιλεία τῶν Οὐρανῶν»· ἀλλὰ ἂν νομίζῃ κανείς, ὅτι μετέχει σ᾽ ὅλες τὶς ἀρετές, [πάλι] δὲν εἶναι ἄξιος, ἂν δὲν ὑπομείνῃ μέχρι τὸ τέλος, καὶ [ἔτσι] ἀφοῦ σωθῇ ἀπὸ τὶς παγίδες τοῦ διαβόλου, νὰ φτάσῃ εἰς τὴν Βασιλεία τῶν Οὐρανῶν. Ἐπειδὴ καὶ αὐτοὶ [ἀκόμη], οἱ ὁποῖοι ἔλαβαν τὸν ἀρραβῶνα, χρειάζονται τὴν ὑπομονή, γιὰ νὰ λάβουν τὸ τέλειο ἔπαθλο στὸν μέλλοντα

κομίσωνται. Ἐν πάσῃ γὰρ ἐπιστήμῃ καὶ γνώσει ὑπομονῆς χρεία. Καὶ εἰκότως· διότι οὐδὲ αὐτὰ τὰ αἰσθητὰ πράγματα δίχα ταύτης γίνονται· ἀλλὰ κἂν γένηταί τι ἐξ αὐτῶν, ὑπομονῆς δεῖται, ἵνα παραμένῃ αὐτοῦ τὸ γινόμενον. Καὶ ἁπλῶς εἰπεῖν, πᾶν πρᾶγμα πρὸ τοῦ γενέσθαι δι᾽ αὐτῆς γίνεται καί, γενόμενον, δι᾽ αὐτῆς παραμένει, καὶ ταύτης χωρὶς οὐκ ἵσταται, ἀλλ᾽ οὐδὲ τελειοῦται. Διότι εἰ μὲν καλόν ἐστιν, αὕτη χορηγὸς καὶ φύλαξ· εἰ δὲ κακόν, αὕτη ἄνεσιν καὶ μεγαλοψυχίαν δίδωσι, καὶ οὐκ ἐᾷ τὸν πειραζόμενον στενοχωρηθῆναι ἐκ τῆς μικροψυχίας, τοῦ ἀῤῥαβῶνος τῆς γεένης. [18.] Αὕτη ἀποκτείνειν εἴωθε τὴν ἀποκτείνουσαν τὴν ψυχὴν ἀπόγνωσιν. Αὕτη διδάσκει παρηγορηθῆναι τὴν ψυχὴν καὶ μὴ ἀκηδιᾶν ἐκ τοῦ πλήθους τῶν πολέμων καὶ τῶν θλίψεων. Ταύτης ὁ Ἰούδας ἀστοχήσας, τὸν διπλοῦν θάνατον εὗρεν, ὡς ἀπειροπόλεμος· ταύτης τυχὼν ὁ κορυφαῖος Πέτρος, ὡς ἐμ-

[αἰῶνα]. Διότι σὲ κάθε ἐπιστήμη καὶ γνῶσι ὑπάρχει ἡ ἀνάγκη τῆς ὑπομονῆς. Καὶ εἶναι φυσικό· διότι οὔτε αὐτὰ τὰ αἰσθητὰ πράγματα γίνονται χωρὶς αὐτή· ἀλλὰ κι ἂν κάτι γίνῃ ἀπὸ αὐτά, χρειάζεται ὑπομονὴ γιὰ νὰ παραμείνῃ [σταθερό], αὐτὸ ποὺ γίνεται. Καὶ γενικὰ νὰ ποῦμε, κάθε πρᾶγμα πρὶν νὰ γίνῃ, μὲ αὐτὴ γίνεται καὶ ἀφοῦ γίνῃ, μὲ αὐτὴ παραμένει καὶ χωρὶς αὐτὴ δὲν στέκεται, ἀλλὰ οὔτε [καὶ] τελειοποιεῖται. Διότι, ἂν μὲν εἶναι καλό, αὐτὴ τὸ ἔχει δώσει καὶ τὸ προφυλάσσει· ἐὰν δὲ [εἶναι] κακό, αὐτὴ δίνει τὴν ψυχικὴ εὐρυχωρία καὶ μεγαλοψυχία καὶ δὲν ἀφήνει τὸν πειραζόμενο νὰ στεναχωρηθῇ ἀπὸ τὴν ὀλιγοψυχία, [ποὺ εἶναι] ὁ ἀρραβῶνας τῆς κολάσεως.

18. Αὐτὴ [ἡ ὑπομονὴ] εἶναι, ποὺ συνήθως φονεύει τὴν ἀπόγνωσι, ἡ ὁποία φονεύει τὴν ψυχή. Αὐτὴ διδάσκει τὴν ψυχή, πῶς νὰ παρηγορηθῇ, καὶ νὰ μὴν πέσῃ σὲ ἀκηδία ἀπὸ τὸ πλῆθος τῶν πολέμων καὶ τῶν θλίψεων [καὶ νὰ καταβληθῇ ἀπὸ τὴν ἀθυμία]. Αὐτὴν ἀφοῦ ἔχασε ὁ Ἰούδας, βρῆκε τὸν διπλὸ θάνατο, γιατὶ δὲν εἶχε πεῖρα τοῦ πολέμου. Αὐτὴν ἐπειδὴ εἶχε ὁ κορυφαῖος Πέτρος, ὡς ἔμ-

πειροπόλεμος, καὶ πεσών, ἐνίκησε τὸν καταβαλόντα διάβολον[52]*. Ταύτην εὑρὼν ὁ Μοναχὸς ἐκεῖνος, ὁ ποτὲ πεσὼν εἰς πορνείαν, ἐνίκησε τὸν νικήσαντα διὰ τὸ μὴ ὑπείκειν τῷ λογισμῷ τῆς ἀπογνώσεως, ὠθοῦντι εἰς τὸ ἀποχωρῆσαι τῆς κέλλης καὶ τῆς ἐρήμου, ἀλλὰ μεθ᾽ ὑπομονῆς ἔλεγε πρὸς τοὺς λογισμούς, οὐχ ἥμαρτον, καὶ πάλιν λέγω ὑμῖν· οὐχ ἥμαρτον. Ὦ τῆς ἐνθέου φρονήσεως καὶ ὑπομονῆς τοῦ γενναίου ἀνδρός! Αὕτη ἡ μακαρία τὸν Ἰὼβ*[53] *καὶ τὰ πρῶτα αὐτοῦ ἀγαθὰ ἔργα ἐτελείωσε. Καὶ γὰρ εἰ μικρὸν ταύτης ἀστοχήσειεν ὁ δίκαιος, πάντα τὰ πρῶτα ἐκεῖνα ἀπώλεσεν ἄν. Ἀλλ᾽ ὁ γινώσκων αὐτοῦ τὴν ὑπομονήν, τὴν πληγὴν παρεχώρησε πρὸς τελείωσιν αὐτοῦ καὶ πολλῶν ὠφέλειαν. [19.] Ὁ οὖν γινώσκων τὴν αὐτοῦ ὠφέλειαν, πρὸ πάντων ταύτην ἔχειν ἀγωνίζεται, κατὰ τὸν Μέγαν Βασίλειον. Φησὶ γάρ· μὴ πάντα τὰ πάθη πολεμήσῃς ἐφάπαξ καί, ἴσως ἀστοχήσας, στρέφεσαι εἰς*

πειρος τοῦ πολέμου, ἂν καὶ ἔπεσε, νίκησε τὸν διάβολο, ὁ ὁποῖος τὸν εἶχε καταβάλλει. Αὐτὴν ἔχοντας ἀποκτήσει ὁ Μοναχὸς ἐκεῖνος, ποὺ κάποτε ἔπεσε στὴν πορνεία, ἐνίκησε τὸν νικήσαντα αὐτὸν [διάβολο], μὲ τὸ νὰ μὴν ὑπακούσῃ στὸν λογισμὸ τῆς ἀπογνώσεως, ὁ ὁποῖος τὸν ὠθοῦσε στὸ νὰ ἐγκαταλείψῃ τὸ κελλί του καὶ τὴν ἔρημο, ἀλλὰ μὲ ὑπομονὴ ἔλεγε στοὺς λογισμούς του· δὲν ἁμάρτησα· καὶ πάλιν σᾶς λέγω· δὲν ἁμάρτησα[ιγ΄]. Ὦ, τί [μεγαλειώδης] ἔνθεη φρόνησι καὶ ὑπομονὴ τοῦ γενναίου ἀνδρός! Αὐτὴ ἡ μακαρία ἐτελειοποίησε τὸν Ἰὼβ καὶ τὰ πρῶτα ἀγαθά του ἔργα. Διότι, ἐὰν [ἔστω] καὶ λίγο ἤθελε χάσει αὐτὴν [τὴν ὑπομονὴ] ὁ δίκαιος, ὅλα τὰ πρῶτα ἐκεῖνα ἀγαθὰ θὰ πήγαιναν χαμένα. Ἀλλὰ Ἐκεῖνος, ποὺ γνωρίζει τὴν ὑπομονή του, παρεχώρησε τὴν συμφορὰ γιὰ τὴν τελείωσί του καὶ γιὰ ὠφέλεια τῶν πολλῶν.

19. Ἐκεῖνος, λοιπόν, ὁ ὁποῖος γνωρίζει τὴν ὠφέλεια, [ποὺ τοῦ προξενεῖ ἡ ὑπομονή], πρωταρχικὰ ἀγωνίζεται νὰ ἀποκτήσῃ αὐτήν, σύμφωνα μὲ τὸν Μέγα Βασίλειο[ιδ΄]. Διότι λέγει· μὴν πολεμήσῃς ὅλα τὰ πάθη διὰ μιᾶς,

τὰ ὀπίσω, καὶ οὐκ εὔθετος εὑρεθήσῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν[54]· ἀλλὰ πρὸς ἓν ἕκαστον πολέμησον τῶν παθῶν, ἀρξάμενος ἀπὸ τῆς ὑπομονῆς τῶν ἐπερχομένων. Καὶ εἰκότως· εἰ μὲν γὰρ ταύτην ἔχῃ τις, οὐδέποτε δυνηθῇ ἑστάναι εἰς πόλεμον αἰσθητόν, ἀλλὰ μόνον ἑαυτῷ καὶ τοῖς ἄλλοις τὴν φυγὴν καὶ τὴν ἀπώλειαν προσφέρει διὰ τροπῆς, κατὰ τὸν λόγον, ὃν ἔφη ὁ Θεὸς πρὸς Μωϋσῆν, ὅτι δειλὸς εἰς πόλεμον μὴ ἐξιέτω[55], καὶ τὰ ἑξῆς. Καὶ ἐν μὲν τῷ αἰσθητῷ πολέμῳ δύναταί τις μένειν ἔσω ἐν τῷ οἴκῳ καὶ μὴ εἰς πόλεμον ἴσως ἐξελθεῖν· κἀκ τούτου τῶν μὲν δωρεῶν καὶ στεφάνων ἐκπίπτει, μένει δ' ἴσως ἐν πενίᾳ καὶ ἀτιμίᾳ μόνῃ· ἐν δὲ τῷ νοητῷ πολέμῳ οὐκ ἔστιν εὑρεῖν τόπον μὴ ἔχοντα πόλεμον, κἂν πᾶσαν τὴν κτίσιν διέλθῃ τις· ἀλλ' ὅπου δ' ἂν ἀπέλθῃ, πόλεμον εὑρίσκει· εἰς τὴν ἔρημον θηρία καὶ δαίμονας καὶ τὰς λοιπὰς κακουχίας καὶ φόβη-

ἐπειδὴ ἴσως [καὶ] νὰ ἀποτύχῃς, καὶ [ἔτσι] γυρίζεις πρὸς τὰ ὀπίσω καὶ δὲν θὰ βρεθῇς ἄξιος γιὰ τὴν Βασιλεία τῶν Οὐρανῶν. Ἀλλὰ πολέμησε ἕνα πρὸς ἕνα ξεχωριστὰ τὰ πάθη σου, ἀφοῦ ἀρχίσῃς ἀπὸ τὴν ὑπομονὴ ὅσων ἔρχονται ἐναντίον σου. Καὶ πολὺ σωστά· διότι, ἐὰν κάποιος δὲν ἔχῃ αὐτή, δὲν θὰ μπορέσῃ ποτὲ νὰ σταθῇ σὲ αἰσθητὸ πόλεμο, ἀλλὰ μόνον προκαλεῖ στὸν ἑαυτόν του καὶ στοὺς ἄλλους τὴν φυγὴ καὶ τὴν ἀπώλεια μὲ τὴν ὀπισθοχώρησι, σύμφωνα μὲ τὸν λόγο, τὸν ὁποῖον εἶπε ὁ Θεὸς στὸν Μωϋσῆ, ὅτι «ὁ δειλὸς ἂς μὴν βγαίνῃ σὲ πόλεμο» καὶ τὰ λοιπά. Καὶ στὸν μὲν αἰσθητὸ πόλεμο, μπορεῖ κάποιος ἴσως νὰ μένῃ μέσα στὸ σπίτι του καὶ νὰ μὴν βγῇ στὴ μάχη· καὶ ἀπὸ αὐτὸ [βέβαια] χάνει τὶς δωρεὲς καὶ τὰ στεφάνια καὶ μένει ἴσως μὲ μόνη τὴν φτώχεια καὶ τὴν ἀτιμία· στὸν νοητὸ ὅμως πόλεμο εἶναι ἀδύνατο νὰ εὕρῃ τόπο, ποὺ νὰ μὴν ἔχῃ πόλεμο, καὶ ἐὰν ἀκόμη γυρίσῃ κανεὶς ὅλο τὸν κόσμο· ἀλλά, ὅπου κι ἂν πάῃ, πόλεμο βρίσκει· εἰς τὴν ἔρημο, θηρία καὶ δαίμονες καὶ τὶς λοιπὲς κακουχίες καὶ φόβητρα· εἰς τὴν ἡσυχαστικὴ ζωή,

τρα· ἐν ἡσυχίᾳ δαίμονας καὶ πειρασμούς· ἐν μέσῳ τῶν ἀνθρώπων δαίμονας καὶ ἀνθρώπους πειράζοντας· καὶ οὐκ ἔστι τόπος ἀνεπηρέαστος πώποτε. Διὰ τοῦτο, δίχα ὑπομονῆς οὐκ ἔστιν εὑρεῖν ἀνάπαυσιν. [20.] Αὕτη δέ γίνεται ἐκ τοῦ φόβου καὶ τῆς πίστεως, ἄρχεται δὲ ἐκ τῆς φρονήσεως. Δοκιμάζει δὲ ὁ ἐχέφρων τὰ πράγματα κατὰ νοῦν καί εὑρίσκων ταῦτα στενά, ὡς ἔφη ἡ Σωσάννα προαιρεῖται τὰ κρείττονα, ὡς εκείνη. Ἔφη γὰρ αὕτη ἡ μακαρία πρὸς τὸν Θεόν, στενά μοι πάντα· ἐὰν ποιήσω τῶν ἀνόμων ἱερέων [recte: γερόντων][β′] τὸ βούλημα, ἀπώλεταί μου ἡ ψυχὴ διὰ τῆς μοιχείας· εἰ δὲ παρακούσω αὐτῶν, κατηγοροῦσί μου μοιχείαν καὶ ὡς κριταὶ τοῦ λαοῦ κατακρινοῦσι με θανάτῳ· ἀλλὰ κρεῖττόν μου καταφεύγειν πρὸς τὸν παντοδύναμον, κἂν θάνατος πρόκειται[56]. [21.] Ὢ τῆς φρονήσεως τῆς μακαρίας ἐκείνης· ὅτι οὕτω διέκρινε καὶ οὐκ ἀπέτυχε τῆς ἐλπίδος.

δαίμονες καὶ πειρασμούς· ἀνάμεσα στοὺς ἀνθρώπους, δαίμονες καὶ ἀνθρώπους, ποὺ προκαλοῦν πειρασμούς· καὶ δὲν ὑπάρχει ποτὲ [καὶ πουθενὰ] τόπος χωρὶς πειρασμούς. Γι᾽ αὐτό, χωρὶς τὴν ὑπομονή, δὲν μπορεῖ νὰ βρῇ κανεὶς ἀνάπαυσι.

20. Αὐτὴ δὲ [ἡ ὑπομονὴ] προέρχεται ἀπὸ τὸν φόβο καὶ τὴν πίστι, ἀρχίζει ὅμως ἀπὸ τὴν φρόνησι. Δοκιμάζει ὁ φρόνιμος τὰ πράγματα μὲ τὸ νοῦ του καὶ ὅταν βρίσκῃ αὐτὰ στενὰ [καὶ χωρὶς διέξοδο], ὅπως εἶπε ἡ Σωσάννα[ιε′], ἐπιλέγει τὰ ἀνώτερα, ὅπως ἐκείνη. Διότι αὐτὴ ἡ μακαρία, εἶπε πρὸς τὸν Θεό, «ὅλα εἶναι στενὰ [καὶ ἀδιέξοδα] γιὰ μένα· ἐὰν κάνω τὸ θέλημα τῶν ἀνόμων πρεσβυτέρων, χάνεται ἡ ψυχή μου μὲ τὴν μοιχεία· ἂν ὅμως τοὺς παρακούσω, μὲ κατηγοροῦν γιὰ μοιχεία καὶ ὡς Κριτὲς τοῦ λαοῦ, θὰ μὲ καταδικάσουν σὲ θάνατο· ἀλλὰ [εἶναι] προτιμότερο γιὰ μένα, νὰ καταφύγω στὸν Παντοδύναμο, ἀκόμη κι ἂν μπροστά μου εἶναι θάνατος.

21. Ὢ πόσο μεγάλη ἡ φρόνησι ἐκείνης τῆς μακαρίας· διότι ἔτσι διέκρινε καὶ δὲν ἀπέτυχε στὴν ἐλπίδα της. Ἀλλὰ εὐθὺς ὡς συγ-

Ἀλλ᾽ ἅμα τοῦ συναχθῆναι τὸν λαὸν καὶ καθεσθῆναι τοὺς ἀνόμους κριτὰς πρὸς τὸ κατηγορεῖν αὐτῆς καὶ κατακρῖναι θανάτῳ, ὡς μοιχαλίδα τὴν ἄμεμπτον, εὐθέως ὁ Δανιὴλ[57] *δωδεκαετὴς ὤν, Προφήτης ἀνεδείχθη ὑπὸ Θεοῦ καὶ ἐῤῥύσατο αὐτὴν ἐκ τοῦ θανάτου, στρέψας τὸν θάνατον ἐπὶ τοὺς ἀνόμως κρῖναι αὐτὴν μέλλοντας ἱερεῖς*[58]*. Καὶ ἐκ ταύτης ἔδειξεν ὁ Θεὸς ὅτι ἐγγύς ἐστι τοῖς δι᾽ αὐτὸν πειρασμόν ὑπομεῖναι θέλουσι καὶ μὴ προδοῦναι τὴν ἀρετὴν ἐξ ὀλιγωρίας διὰ τὸν πόνον, ἀλλὰ προτιμᾶν τὸν νόμον τοῦ Θεοῦ διὰ τῆς ὑπομονῆς τῶν ἐπερχομένων τῇ ἐλπίδι τῆς σωτηρίας εὐφραινομένοις. Καὶ εἰκότως· ἐὰν γὰρ δύω κίνδυνοι πρόκεινται, ὁ μὲν πρόσκαιρος, ὁ δὲ αἰώνιος, ἆρα οὐκ ἔστι καλὸν τὸν πρῶτον ἐκλέξασθαι; Διὰ τοῦτό φησιν ὁ Ἅγιος Ἰσαάκ· κρεῖττον ὑπομεῖναι τοὺς κινδύνους ὑπὲρ τῆς τοῦ Θεοῦ ἀγάπης καὶ φέρειν πρὸς αὐτόν, τῇ ἐλπίδι τῆς αἰωνίου ζωῆς, ἢ φόβῳ*

κεντρώθηκε ὁ λαὸς καὶ ἐκάθισαν οἱ ἄνομοι Κριτές, νὰ κατηγορήσουν αὐτὴ καὶ νὰ τὴν καταδικάσουν σὲ θάνατο ὡς μοιχαλίδα τὴν ἄμεμπτο, ἀμέσως ὁ Δανιήλ, ὁ ὁποῖος ἦταν δώδεκα ἐτῶν, ἀναδείχθηκε Προφήτης ἀπὸ τὸν Θεό, καὶ τὴν ἔσωσε ἀπὸ τὸν θάνατο, στρέφοντας τὸν θάνατο ἐναντίον τῶν Πρεσβυτέρων, οἱ ὁποῖοι ἐπρόκειτο νὰ τὴν κρίνουν παράνομα. Καὶ μὲ αὐτὴν ἔδειξε ὁ Θεός, ὅτι εἶναι πλησίον, σὲ ὅσους θέλουν πρὸς [χάριν] Αὐτοῦ, νὰ ὑπομείνουν τὸν πειρασμὸ καὶ νὰ μὴν προδίδουν τὴν ἀρετὴ ἀπὸ ὀλιγοψυχία, ἕνεκα τοῦ πόνου, ἀλλὰ νὰ προτιμοῦν τὸν νόμο τοῦ Θεοῦ μέσῳ τῆς ὑπομονῆς αὐτῶν [τῶν λυπηρῶν], ποὺ τοὺς συμβαίνουν καὶ νὰ χαίρωνται μὲ τὴν ἐλπίδα τῆς σωτηρίας. Καὶ πολὺ λογικά· διότι ἐὰν ὑπάρχουν μπροστά μας δύο κίνδυνοι, καὶ ὁ μὲν εἶναι πρόσκαιρος, ὁ δὲ ἄλλος αἰώνιος, ἆραγε δὲν εἶναι καλό, νὰ ἐπιλέξωμε τὸν πρῶτο; Γι᾽ αὐτό, λέγει ὁ ἅγιος Ἰσαάκ· εἶναι προτιμότερο, νὰ ὑπομείνῃ κανεὶς τοὺς κινδύνους γιὰ τὴν ἀγάπη τοῦ Θεοῦ καὶ νὰ στρέφεται πρὸς Αὐτὸν μὲ τὴν ἐλπίδα τῆς αἰωνίας ζωῆς, παρὰ ἀπὸ τὸν


τῶν πειρασμῶν ἐκπίπτειν τινὰ ἀπὸ τοῦ Θεοῦ εἰς τὰς χεῖρας τοῦ διαβόλου καὶ σὺν αὐτῷ εἰς τὴν κόλασιν ἀπελθεῖν. [22.] Ὅθεν καλὸν μὲν ἦν, ἐάν τις χαίρηται, κατὰ τοὺς ἁγίους, ἐν τοῖς πειρασμοῖς, ὡς φιλόθεος· εἰ δὲ οὐκ ἐσμὲν τοιοῦτοι, κἂν τὸ κοῦφον ἐκλεξώμεθα διὰ τὴν προκειμένην ἀνάγκην. Ἐπειδὴ ἀνάγκη πρόκειται, ἢ ἐνταῦθα κινδυνεῦσαι σωματικῶς καὶ σὺν Χριστῷ βασιλεῦσαι νοητῶς ἐν τῷ νῦν αἰῶνι διὰ τῆς ἀπαθείας καὶ ἐν τῷ μέλλοντι, ἢ ἐκπεσεῖν φόβῳ τῶν πειρασμῶν, ὡς εἴρηται, καὶ εἰς τὴν αἰώνιον κόλασιν ἀπελθεῖν· ἐξ ἧς ῥύσαιτο ἡμᾶς ὁ Θεὸς διὰ τῆς τῶν δεινῶν ὑπομονῆς, ἥτις ἐστὶν ὡς πέτρα ἀσάλευτος ἐναντίον τῶν ἀνέμων καὶ κυμάτων τοῦ βίου, καὶ οὔτε πλημμύρας γενομένης ἀτονεῖ, ἢ στρέφεται εἰς τὰ ὀπίσω ὁ ταύτης τυχών, οὐδὲ πάλιν ἄνεσιν εὑρὼν καὶ χαράν, συνεπάγεται τῇ οἰήσει, ἀλλ᾽ ὡσαύτως ἔχει ἀεί, ἐν εὐημερίᾳ τε καὶ δυσχερείᾳ· διὰ τοῦτο καὶ ἄτρωτος δια-

φόβο τῶν πειρασμῶν νὰ ἐκπίπτῃ κανεὶς ἀπὸ τὸν Θεὸ στὰ χέρια τοῦ διαβόλου καὶ μαζὶ μ᾽ αὐτὸν νὰ ἀπέλθῃ εἰς τὴν κόλασι.

22. Καλὸ λοιπὸν θὰ ἦταν, ἐὰν κάποιος [μπορῇ νὰ] χαίρεται εἰς τοὺς πειρασμούς, ὡς φιλόθεος, ὅπως οἱ Ἅγιοι, ἐὰν ὅμως δὲν εἴμασθε σὰν αὐτούς, τοὐλάχιστον ἂς διαλέξωμε τὸ ἐλαφρότερο στὴν παροῦσα ἀνάγκη. Ἐπειδὴ παρουσιάζεται μπροστά μας ἀνάγκη, ἢ ἐδῶ νὰ κινδυνεύσωμε σωματικὰ καὶ μαζὶ μὲ τὸ Χριστὸ νὰ συμβασιλεύσωμε νοητὰ στὴν παροῦσα ζωὴ μὲ τὴν ἀπάθεια καὶ στὸν μέλλοντα αἰῶνα, ἢ νὰ ἐκπέσωμε ἀπὸ τὸν φόβο τῶν πειρασμῶν, ὅπως ἔχει λεχθῆ, καὶ νὰ ἀπέλθωμε εἰς τὴν αἰώνια κόλασι, ἀπὸ τὴν ὁποία, εἴθε νὰ μᾶς σώσῃ ὁ Θεός, μέσῳ τῆς ὑπομονῆς στὰ δεινά, ἡ ὁποία εἶναι σὰν πέτρα ἀσάλευτη ἀπέναντι στοὺς ἀνέμους καὶ στὰ κύματα τοῦ βίου καὶ ὅποιος τὴν ἔχει ἀποκτήσει, οὔτε, ὅταν γίνεται πλημμύρα χάνει τὴν δύναμί του ἢ στρέφεται πρὸς τὰ ὀπίσω· οὔτε πάλι, ὅταν εὑρίσκῃ ἄνεσι καὶ χαρὰ παρασύρεται ἀπὸ τὴν ὑπερηφάνεια, ἀλλὰ εἶναι πάντοτε ἴδιος [καὶ ἀναλλοίωτος], στὴν εὐημερία καὶ στὴν δυσκολία· γιὰ αὐτὸ καὶ παραμένει ἄτρωτος ἀπὸ

μένει ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ[59]*. Ὅτε καὶ χειμῶνα εὑρίσκει, ὑπομένει μετὰ χαρᾶς, ἀναμένων τὸ τέλος· ὅτε δὲ εὔδιος καιρὸς γίνεται, προσδοκᾷ πειρασμόν, ἕως ἐσχάτης ἀναπνοῆς, κατὰ τὸν Μέγαν Ἀντώνιον. Ὁ τοιοῦτος γὰρ γινώσκει, ὅτι οὐκ ἔστιν ἐν τῷ βίῳ τούτῳ ἀναλλοίωτόν τι τὸ παράπαν, ἀλλὰ πάντα παρέρχονται. Δι᾽ ὃ καὶ οὐδεμίαν ποιεῖται φροντίδα περί τινος τούτων, ἀλλὰ τῷ Θεῷ πάντα καταλιμπάνει, ὅτι αὐτῷ μέλει περὶ ἡμῶν· καὶ αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν*[60]*.*

τὶς παγίδες τοῦ ἐχθροῦ. Καὶ ὅταν μὲν συναντᾶ χειμῶνα [καὶ τρικυμία], ὑπομένει μὲ χαρά, περιμένοντας τὸ τέλος αὐτῶν. Ὅταν δὲ ὁ καιρὸς γίνεται καλός, περιμένει πειρασμό, ὡς τὴν ἐσχάτη πνοή του, σύμφωνα μὲ τὸν [λόγο] τοῦ Μεγάλου Ἀντωνίου[ιστ΄]. Διότι ὁ ἄνθρωπος αὐτὸς γνωρίζει, ὅτι σὲ αὐτὴ τὴν ζωὴ δὲν ὑπάρχει τίποτε, τὸ ὁποῖο [νὰ παραμένῃ] ἐντελῶς ἀναλλοίωτο, ἀλλὰ ὅλα ἔρχονται καὶ φεύγουν. Γι᾽ αὐτὸ καὶ δὲν φροντίζει καθόλου γιὰ κανένα ἀπὸ αὐτά, ἀλλὰ ὅλα τὰ ἀφήνει στὸν Θεό, γιατὶ Αὐτὸς φροντίζει γιὰ ἐμᾶς· καὶ σ᾽ Αὐτὸν πρέπει κάθε δόξα, τιμὴ καὶ ἐξουσία εἰς τοὺς αἰῶνες. Ἀμήν.



ΛΟΓΟΣ ϛʹ

Εὐαγγελικὸς ἐγράφη πάλιν λόγος,
Νῦν δὲ περὶ τῆς ἐλπίδος τῶν μελλόντων.
Ζῆτα γάρ ἐστι τὸ ἕκτον ἐν στοιχείοις,
Ζητεῖ δὲ ὁ νοῦς ἀμέριμνος γενέσθαι.
Νῦν δὲ τὴν ἀρχὴν εὐλόγησον, ὦ Πάτερ.

Εὐαγγελικὸς ὁ πρώην Λόγος ἦταν,
Αὐτὸς δὲ γιὰ τῶν μελλόντων τὴν ἐλπίδα.
Ζῆτα εἶναι μὲν τὸ ἕκτον τῶν στοιχείων,
Ζητεῖ δὲ καὶ ὁ νοῦς ἀμέριμνος νὰ γίνῃ.
Τώρα λόγου τὴν ἀρχὴν εὐλόγησον, ὦ Πάτερ.

ΛΟΓΟΣ ϛʹ [Ζʹ, 6ος][ιζʹ]

[23.] Ζωή ἐστιν ἐλπὶς ἀμέριμνος καὶ πλοῦτος ἄδηλος μὲν κατ᾽ αἴσθησιν, μαρτυρούμενος δὲ ὑπὸ τῆς φρονήσεως καὶ τῆς τῶν πραγμάτων φύσεως. Καὶ γὰρ γεωργοὶ κοπιῶσι, σπείροντες καὶ φυτεύοντες· καὶ ναυτικοὶ ὁμοίως πολλοὺς κινδύνους ὑπομένουσι· καὶ παῖδες γράμματα καὶ τὰς λοιπὰς ἐπιστήμας μανθάνοντες. Καὶ οὗτοι πάντες εἰς τὴν ἐλπίδα βλέπουσι, διὸ μετὰ χαρᾶς κοπιῶσι καὶ τὰ ἕτοιμα πράγματα πέμπουσιν εἰς ἀπώλειαν κατὰ τὸ φαινόμενον· κατὰ δὲ τὸ νοούμενον, πρὸς τὸ κερδῆσαι μείζονα ὑπομένουσι, πολλάκις καὶ ὑστερούμενοι ὧν περ

23. Ἡ ἀμέριμνη ἐλπίδα, εἶναι ζωὴ καὶ πλοῦτος, κρυφὸς μὲν στὴν αἴσθησι, μαρτυρούμενος ὅμως ἀπὸ τὴν φρόνησι καὶ τὴν φύσι τῶν πραγμάτων. Καὶ πράγματι, οἱ γεωργοὶ κοπιάζουν σπέρνοντας καὶ φυτεύοντας· καὶ οἱ ναυτικοὶ ὁμοίως ὑπομένουν πολλοὺς κινδύνους καὶ τὰ παιδιὰ [κοπιάζουν] νὰ μαθαίνουν γράμματα καὶ τὶς ἄλλες ἐπιστῆμες. Καὶ ὅλοι αὐτοὶ ἀποβλέπουν στὴν ἐλπίδα [γιὰ τὸ ὄφελος τοῦ κόπου τους], γι᾽ αὐτὸ μὲ χαρὰ κοπιάζουν καὶ καταστρέφουν φαινομενικὰ τὰ ἕτοιμα πράγματα [ἐννοεῖ τοὺς σπόρους κλπ.]· στὴν πραγματικότητα ὅμως, τὰ ὑπομένουν γιὰ νὰ κερδίσουν περισσότερα καὶ πολλὲς φορὲς στερούμενοι αὐτά, τὰ ὁποῖα

μέλλουσι καταβαλεῖν. Ἀλλὰ ταῦτα μέν, ἴσως ἐρεῖ τις, ἐκ τῆς πείρας μανθάνοντες περὶ τοῦ κέρδους· περὶ δὲ τῶν νοητῶν, οὐδεὶς ἀνέστη ἐκ τῶν νεκρῶν, ἵνα μάθωμεν. Τοῦτο τοίνυν γίνεται ἐξ ἀπειρίας τῶν πνευματικῶν χαρισμάτων καὶ γνώσεων, καὶ οὐ θαῦμα· ἐπειδὴ καὶ οἱ ἄπειροι τῶν προτέρων δειλιῶσι μέχρις ἂν πεῖραν λάβωσι. Καὶ γὰρ οἱ παῖδες, τῶν γραμμάτων καὶ τῶν λοιπῶν μαθημάτων τὴν ὠφέλειαν ἀγνοοῦντες, φεύγουσι ταῦτα. Ἀλλ᾽ οἱ γονεῖς, αἰσθόμενοι τοῦ κέρδους, ὡς φιλότεκνοι ἄγχουσι καὶ βιάζουσι πρὸς τὰ τοιαῦτα, καιροῦ δὲ καλοῦντος, λαμβάνουσι καὶ οἱ παῖδες τὴν πεῖραν καὶ ἄρχονται οὐ μόνον ἀγαπᾶν ταῦτα καὶ τοὺς βιάζοντας, ἀλλὰ καὶ αὐτοὶ μετὰ χαρᾶς ὑπερπάσχουσι τῶν μαθημάτων, ὧν ἔτυχον. [24.] Διά τοι τοῦτο καὶ ἡμεῖς ὀφείλομεν πρῶτον ἐκ πίστεως διὰ τῆς ὑπομονῆς τρέχειν[66] καὶ μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσι καί, καιροῦ καλοῦντος, εἰς τὸ γνῶναι τῶν γινομέ-

πρόκειται νὰ καταβάλλουν. Ἀλλὰ αὐτὰ μέν, ἴσως θὰ πῆ κάποιος, ὅτι τὰ μαθαίνουν ἀπὸ τὴν πεῖρα τους, [ἀσχολούμενοι] γιὰ τὸ κέρδος· ὅσον ἀφορᾶ τὰ νοητὰ ὅμως, κανεὶς δὲν ἀναστήθηκε ἀπὸ τοὺς νεκρούς, γιὰ νὰ τὰ μάθωμε. Αὐτὸ λοιπὸν γίνεται ἀπὸ τὴν ἔλλειψι πείρας τῶν πνευματικῶν χαρισμάτων καὶ τῶν γνώσεων καὶ δὲν εἶναι ἀπορίας ἄξιον· ἐπειδὴ καὶ αὐτοί, ποὺ δὲν ἔχουν πεῖρα τῶν προηγουμένως λεχθέντων, δειλιάζουν, μέχρις ὅτου ἀποκτήσουν πεῖρα. Διότι τὰ παιδιὰ [οἱ μαθητές], ἐπειδὴ ἀγνοοῦν τὴν ὠφέλεια τῶν γραμμάτων καὶ τῶν λοιπῶν μαθημάτων, ἀποφεύγουν αὐτά· ἀλλὰ οἱ γονεῖς, οἱ ὁποῖοι γνωρίζουν τὸ κέρδος, ἀπὸ ἀγάπη στὰ παιδιά, τὰ πιέζουν καὶ τὰ ἀναγκάζουν πρὸς αὐτὰ [τὰ μαθήματα], καὶ ὅταν ἔλθῃ ὁ καιρός, ἀποκτοῦν καὶ οἱ μαθητὲς τὴν πεῖρα καὶ ἀρχίζουν, ὄχι μόνον νὰ ἀγαποῦν αὐτὰ [δηλαδὴ τὰ γράμματα], ἀλλὰ καὶ αὐτούς, οἱ ὁποῖοι τοὺς ἐξαναγκάζουν [δηλαδὴ τοὺς γονεῖς], ἀλλὰ καὶ οἱ ἴδιοι μὲ χαρὰ ἀγωνίζονται πολὺ γιὰ τὰ μαθήματα ποὺ κάνουν.

24. Γι᾽ αὐτὸ καὶ ἐμεῖς ὀφείλομε πρῶτα, [παρακινημένοι] ἀπὸ τὴν πίστι, «νὰ τρέχωμε μὲ ὑπομονή», καὶ νὰ μὴν δειλιάζωμε στὶς θλίψεις, καὶ ὅταν ἔλθῃ ὁ καιρὸς νὰ φθάσωμε στὸ νὰ γνωρίσωμε τὴν

νων τὴν ὠφέλειαν ἔλθωμεν, καὶ οὕτω μετὰ χαρᾶς καὶ εὐφροσύνης ἐργαζόμεθα ἀκόπως. Διὰ πίστεως περιπατοῦμεν, ὥς φησιν ὁ Ἀπόστολος, καὶ οὐκ ἀπὸ εἴδους[67]. Ἀλλ᾽ ὥσπερ ἀμήχανον ἐξ αὐτῆς εὑρεῖν τὸ κέρδος τινὰ τῶν πραγματευομένων ἐν τῷ καιρῷ τούτῳ, οὕτως ἀδύνατον εὑρεῖν τινα τὴν γνῶσιν καὶ ἄνεσιν πρὸ τοῦ κοπιάσαι ἔργῳ καὶ λόγῳ ἐν ταῖς ἀρεταῖς. Καὶ ὡς ἐκεῖνοι ἀείποτε φοβοῦνται τὴν ζημίαν καὶ ἐλπίζουσιν εἰς τὸ κέρδος, οὕτω καὶ ἐνταῦθα ὀφείλει γίνεσθαι ἕως ἐσχάτης ἀναπνοῆς. Καὶ ὥσπερ οἱ πρότεροι, οὐ μόνον ὅτε κερδήσουσι τρέχουσιν, ἀλλὰ καὶ μετὰ τὴν ζημίαν καὶ τοὺς κινδύνους, πάλιν τρέχουσιν, οὕτω καὶ οἱ δεύτεροι, ποιῆσαι ὀφείλουσιν, εἰδότες ὅτι ὁ ἀργὸς οὐκ ἐσθίει ἐξ ἰδίων πόνων, δι᾽ ὃ καὶ πένης γίνεται καὶ χρεώστης ἴσως πολλῶν ταλάντων. Διὰ τοῦτο ἐπ᾽ ἐλπίδι κατῴκησάς με[68], φησὶν ὁ Προφήτης, καί ἐπ᾽ ἐλπίδι ἐτελειώθησαν[69], φησὶν ὁ

ὠφέλεια τῶν ὅσων συμβαίνουν καὶ ἔτσι μὲ χαρὰ καὶ εὐφροσύνη νὰ ἐργαζώμαστε χωρὶς κόπο. «Μὲ πίστι βαδίζομε καὶ ὄχι μὲ αἰσθητὸ [τὸν Κύριο]», ὅπως λέγει ὁ Ἀπόστολος [Παῦλος]. Ἀλλὰ ὅπως εἶναι ἀδύνατον γιὰ κάποιον ἀπὸ τοὺς ἐμπόρους στὴν ἐποχὴ αὐτή, νὰ ἀποκτήση τὸ κέρδος ἐξ αὐτῆς [μόνον τῆς ἐμπορικῆς συναλλαγῆς του], ἔτσι εἶναι ἀδύνατον νὰ ἀποκτήση κάποιος τὴν γνῶσι καὶ τὴν ἀνάπαυσι, πρὶν νὰ κοπιάση μὲ ἔργο καὶ λόγο στὶς ἀρετές· καὶ ὅπως ἐκεῖνοι πάντοτε φοβοῦνται τὴν ζημία καὶ ἐλπίζουν στὸ κέρδος, ἔτσι καὶ ἐδῶ [στὰ πνευματικά], πρέπει νὰ γίνεται ἕως ἐσχάτης ἀναπνοῆς. Καὶ ὅπως ἀκριβῶς [οἱ ἔμποροι] δὲν τρέχουν μόνον, ὅταν κερδίζουν, ἀλλὰ καὶ μετὰ τὴν ζημία καὶ τοὺς κινδύνους πάλι τρέχουν, ἔτσι καὶ οἱ δεύτεροι, [οἱ πνευματικοὶ ἀγωνιστές], ὀφείλουν νὰ κάνουν, γνωρίζοντας, ὅτι ὅποιος δὲν ἐργάζεται, δὲν τρώγει ἀπὸ τοὺς δικούς του κόπους, γι᾽ αὐτὸ καὶ γίνεται πτωχὸς καὶ ὀφειλέτης ἴσως πολλῶν ταλάντων. Γι᾽ αὐτὸ «μ᾽ ἔβαλες νὰ κατοικήσω γεμάτος ἐλπίδα», λέγει ὁ Προφήτης

Ἀπόστολος. [25.] Καὶ ταῦτα μὲν ἐκ τῶν πραγμάτων τῆς φύσεως καὶ τῶν θείων Γραφῶν ἐν ἐπιτόμῳ εἴρηται. Εἰ δέ τις βούλεται μαθεῖν τὴν πεῖραν, ἐργαζέσθω, κατὰ τὸ δυνατὸν αὐτῷ, τὰς ἑπτὰ σωματικὰς πράξεις δι' ὅλου ὡς ἐν σχολείῳ ἀμετεωρίστως, καὶ τῆς ἠθικῆς ἐπιμελείσθω πράξεως, ἤγουν τῆς ψυχικῆς. Κἀντεῦθεν εἰς τὴν ἐλπίδα φθάσας καὶ καρτερήσας ἐν αὐτῇ, εὑρήσει τὴν γνῶσιν τῶν λεγομένων ἐν ἀκριβείᾳ καὶ ὅτι ἐξ ἀρχῆς τῆς μετανοίας, ὅτε τὰς ἑπτὰ ἤρξατο, ἐκ τῆς πρώτης πράξεως, ἤτοι ἡσυχίας, ἣν ὁ μισθὸς τῆς ἐλπίδος καὶ τὸ κέρδος ἕτοιμον, πρὸ τοῦ κοπιάσαι ἐν ταῖς λοιπαῖς ἕξ, ἤγουν νηστείᾳ, ἀγρυπνίᾳ, καὶ τὰ ἑξῆς· ἀλλ' ἅμα τὴν πρώτην καὶ ἀρχὴν τῆς καθάρσεως τῆς ψυχῆς ἡσυχίαν, ἀσκήσαντος αὐτοῦ, εὐθέως τὸ κέρδος ἡτοίμαστο. Ἀλλ' ἄπειρος ὢν ὁ μαθητής, οὐκ ἐγίνωσκε τὴν χάριν τοῦ δεσπότου, ὡς οὐδὲ ὁ νήπιος τὴν ὠφέλειαν τῶν γονέων, καίτοι γε πρὸ

καὶ «μὲ ἐλπίδα ἐτελείωσαν τὴν ζωή τους», λέγει ὁ Ἀπόστολος.

25. Καὶ [ὅλα] αὐτὰ μέν, ἀπὸ τὰ πράγματα τῆς φύσεως καὶ τὶς θεῖες Γραφές, μὲ συντομία ἔχουν λεχθῆ. Ἂν ὅμως κάποιος θέλῃ νὰ ἀποκτήσῃ τὴν πεῖρα, ἂς ἐργάζεται, ὅσο τοῦ εἶναι δυνατόν, τὶς ἑπτὰ σωματικὲς πράξεις στὸ σύνολό τους σταθερὰ καὶ χωρὶς περισπασμούς, [σὰν νὰ πηγαίνῃ] σὲ σχολεῖο καὶ ἂς ἀσχολῆται μὲ ἐπιμέλεια μὲ τὴν ἠθικὴ πρᾶξι, δηλαδὴ τὴν ψυχική. Καὶ ἀπὸ ἐδῶ, ἀφοῦ φθάσῃ στὴν ἐλπίδα, καὶ ἐπιμείνῃ σ' αὐτήν, θὰ ἀποκτήσῃ τὴν γνῶσι τῶν λεγομένων μὲ ἀκρίβεια καὶ ὅτι ἀπὸ τὴν ἀρχὴ τῆς μετανοίας του, ὅταν ἄρχισε [νὰ ἐργάζεται] τὶς ἑπτὰ [σωματικὲς πράξεις], ἀπὸ τὴν πρώτη [ἤδη] πρᾶξι, δηλαδὴ τὴν ἡσυχία, ὁ μισθὸς τῆς ἐλπίδος καὶ τὸ κέρδος ἦταν ἕτοιμο, πρὶν νὰ κοπιάσῃ στὶς ὑπόλοιπες ἕξι, ἤτοι τὴν νηστεία, τὴν ἀγρυπνία καὶ τὰ λοιπά· ἀλλά, συγχρόνως, μόλις ἄρχισε νὰ ἀσκῇ τὴν πρώτη, [ἡ ὁποία εἶναι] καὶ ἀρχὴ τῆς καθάρσεως τῆς ψυχῆς, [δηλαδὴ τὴν] ἡσυχία, ἀμέσως εἶχε ἑτοιμασθῆ καὶ τὸ κέρδος. Ἀλλά, ἐπειδὴ ἦταν ἄπειρος ὁ μαθητής, δὲν ἐγνώριζε τὴν Χάρι τοῦ Δεσπότου, ὅπως οὔτε καὶ τὸ νήπιο [γνωρίζει] τὴν ὠφέλεια τῶν γονέ-

τοῦ γεννηθῆναι αὐτόν, κατὰ προαίρεσιν οἱ γονεῖς αὐτοῦ εὐεργέται ἦσαν, προσευχόμενοι γεννηθῆναι αὐτὸν καὶ ζῆσαι· οὐ μόνον δέ, ἀλλὰ καὶ κληρονομῆσαι αὐτοὺς καὶ ἔχειν ὅσα τε προητοιμάσαντο καὶ μετὰ ταῦτα μοχθήσονται. Ἀλλ᾽ οὗτος μὲν ἀγνοῶν, οὐδ᾽ ὅλως φροντίδα περὶ τῶν τοιούτων ποιεῖται, ἀλλὰ πειρασμὸν ἡγεῖται τὴν ὑποταγὴν τῶν γονέων· καὶ εἰμὴ ἦν τροφῆς ἡ ἀνάγκη καὶ τῆς φύσεως, οὐδ᾽ ὅλως ηὐγνωμόνει. [26.] Ὁ δὲ θέλων τὴν βασιλείαν κληρονομῆσαι τῶν οὐρανῶν καὶ οὐχ ὑπομένει τὰ ἐπερχόμενα, ἀγνωμονέστερος φαίνεται, διότι ἐκτίσθη χάριτι καὶ πάντα τὰ ὄντα λαβὼν καὶ τὰ ἑπόμενα ἐλπίζων, καὶ αἰωνίως συμβασιλεύει Χριστῷ, τῷ καταξιώσαντι αὐτόν, τὸν οὐδὲν ὄντα, τοσούτων καὶ τηλικούτων δωρεῶν, αἰσθητῶν τε καὶ νοητῶν, ὥστε καὶ τὸ ὑπέρτιμον αὐτοῦ αἷμα, ὑπὲρ αὐτοῦ ἐκχέαι εὐδοκήσαντι, μηδὲν ἐξ αὐτοῦ ζητοῦντι, πλὴν τοῦ λαβεῖν τὰ ἀγαθὰ αὐ-

ων, ἂν καὶ πρὶν νὰ γεννηθῇ αὐτό, οἱ γονεῖς ἦταν κατὰ προαίρεσι εὐεργέτες του, προσευχόμενοι νὰ γεννηθῇ αὐτὸ καὶ νὰ ζήσῃ· καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ νὰ τοὺς κληρονομήσῃ καὶ νὰ ἔχῃ καὶ ὅσα προετοίμασαν καὶ [ὅσα] μὲ μόχθο θὰ ἀποκτήσουν ἀργότερα. Ἀλλὰ αὐτὸ [τὸ νήπιο], ἐπειδὴ ἔχει ἄγνοια [αὐτῶν], δὲν ἔχει ἀπολύτως καμμία φροντίδα γι᾽ αὐτά, ἀλλὰ θεωρεῖ ἐνόχλησι τὴν ὑποταγὴ στοὺς γονεῖς· κι ἂν δὲν ἦταν ἡ ἀνάγκη τῆς τροφῆς καὶ [ὁ δεσμὸς] τῆς φύσεως, δὲν θὰ εἶχε καμμία εὐγνωμοσύνη γι᾽ αὐτούς. 26. Ἐκεῖνος ὅμως, ὁ ὁποῖος θέλει νὰ κληρονομήσῃ τὴν Βασιλεία τῶν Οὐρανῶν καὶ δὲν ὑπομένει τὰ ἐπερχόμενα [δεινά], φαίνεται περισσότερο ἀχάριστος, διότι δημιουργήθηκε μὲ τὴν Χάρι [τοῦ Θεοῦ] καὶ ἔχοντας λάβει ὅλα τὰ παρόντα ἀγαθὰ καὶ τὴν ἐλπίδα γιὰ τὰ μελλοντικά, καὶ τὸ νὰ συμβασιλεύῃ αἰωνίως μὲ τὸν Χριστό, ὁ Ὁποῖος καταξίωσε αὐτόν, ποὺ εἶναι ἕνα τίποτα, τόσων πολλῶν καὶ τόσων μεγάλων δωρεῶν, καὶ αἰσθητῶν καὶ νοητῶν, ὥστε νὰ εὐδοκήσῃ νὰ χύσῃ γι᾽ αὐτὸν καὶ τὸ ὑπέρτιμο Αὐτοῦ Αἷμα, χωρὶς νὰ ζητᾶ τίποτα ἀπὸ αὐτόν, ἐκτὸς ἀπὸ τὸ νὰ ἔχῃ τὴν προαίρεσι νὰ

τοῦ προαιρεῖσθαι καὶ πλεῖον οὐδέν. Αὕτη γάρ ἐστιν ἡ ἀπαίτησις αὐτοῦ καὶ μόνη, ἣν ὁ κατανοεῖν δυνηθεὶς ἐκπλήττεται. Τί γὰρ ἐκζητεῖ ἀπὸ σοῦ ὁ Θεός, φησίν[70]*; Ὢ τῆς ἀνοίας! Πῶς βλέποντες οὐ βλέπομεν τὰ φρικτὰ αὐτοῦ μυστήρια! Αὐτὸ γὰρ τοῦτο, ὃ καὶ ζητῶν φαίνεται, μεῖζόν ἐστι δῶρον. Πῶς οὐ συνιῶμεν, ὅτι κρείττων ἐστὶ παρὰ πάντας ὁ τῆς ἀρετῆς ἐπιμελούμενος, καὶ ἐπάνω πάντων ἵσταται καὶ ὑψιπετῶν, κἂν πένης ᾖ καὶ ἀγενής; [27.] Οὐκ οἴδαμεν τοὺς Προφήτας ἐν τῷ νῦν, οὐδὲ τοὺς Ἀποστόλους καὶ Μάρτυρας, καὶ περὶ τῶν μελλόντων διστάζομεν; Ἴδωμεν τοὺς βίους αὐτῶν καὶ τί ἐποίησαν, καὶ πόθεν λέγουσιν αὐτοὶ λαμβάνειν τὴν χάριν καὶ τὴν ἰσχύν; Οὐ μόνον ἀλλὰ καὶ μετὰ θάνατον θαυματουργοῦσιν; Ἴδωμεν τοὺς βασιλεῖς καὶ πλουσίους, πῶς τὰς ἁγίας αὐτῶν εἰκόνας προσκυνοῦσιν; Ἴδωμεν τοὺς ἐναρέτους νῦν ἐν εὐχαριστίᾳ πάσῃ καὶ ἀρετῇ*

λάβῃ τὰ ἀγαθά Του καὶ τίποτε περισσότερο. Διότι αὐτὴ εἶναι καὶ ἡ μόνη ἀπαίτησι Αὐτοῦ, τὴν ὁποία αὐτὸς ποὺ θὰ μπορέσῃ νὰ κατανοήσῃ μένει κατάπληκτος. Γιατὶ «τί [ἄλλο] ζητᾶ ἀπὸ ἐσένα ὁ Θεός», λέγει. Ὢ τί ἀνοησία! Πῶς ἂν καὶ βλέπωμε, δὲν βλέπομε τὰ φρικτὰ Αὐτοῦ μυστήρια; Διότι αὐτὸ ἀκριβῶς, τὸ ὁποῖο [καὶ] φαίνεται ὅτι ζητᾶ, εἶναι τὸ μεγαλύτερο δῶρο. Πῶς δὲν ἀντιλαμβανόμαστε, ὅτι ὁ καλύτερος ἀπὸ ὅλους, εἶναι ἐκεῖνος, ὁ ὁποῖος φροντίζει ἐπιμελῶς γιὰ τὴν ἀρετὴ καὶ εὑρίσκεται πάνω ἀπὸ ὅλους καὶ πετᾶ εἰς τὰ [πνευματικὰ] ὕψη, καὶ ἂν [ἀκόμη] εἶναι πτωχὸς καὶ ἄσημος [στὴν καταγωγή];

27. [Μήπως] δὲν γνωρίζομε ἀπὸ τώρα [σ᾽ αὐτὴν τὴν ζωὴ] γιὰ τοὺς Προφῆτες, οὔτε γιὰ τοὺς Ἀποστόλους καὶ τοὺς Μάρτυρες, καὶ ἀμφιβάλλομε γιὰ τὰ μέλλοντα; Ἂς δοῦμε τοὺς βίους αὐτῶν καὶ τί ἔκαναν καὶ [ἂς ἀναρωτηθοῦμε] ἀπὸ ποῦ λέγουν αὐτοί, ὅτι παίρνουν τὴν Χάρι καὶ τὴν δύναμι; Καὶ ὄχι μόνον [αὐτά], ἀλλὰ καὶ μετὰ θάνατον θαυματουργοῦν; Ἂς δοῦμε τοὺς βασιλεῖς καὶ τοὺς πλουσίους, πῶς προσκυνοῦν [καὶ


διάγοντας καὶ χαρᾷ πνευματικῇ, τοὺς δὲ πλουσίους ἀγανακτοῦντας καὶ πλείονα τῶν ἀσκητῶν καὶ ἀκτημόνων πειραζομένους; Κἀκ τούτου ἐλπίζομεν ὅτι ὄντως ἡ ἀρετὴ κρείττων ἐστὶ πάντων. Εἰδὲ μήγε, σκοπήσωμεν, πῶς οἱ ἄπιστοι τὸν μὲν Θεὸν ἴσως ἀγνοοῦσι, τὴν δὲ ἀρετὴν εὐφημίζουσι, κἂν ἀλλόπιστος φαίνεται αὐτοῖς ὁ ἐνάρετος· οἶδε γὰρ ἀρετὴν αἰδεῖσθαι καὶ πολέμιος. Καὶ ἐὰν πιστεύωμεν ὅτι ἡ ἀρετὴ ἀγαθή ἐστιν, ἐξ ἀνάγκης ὁ ποιήσας τὴν ἀρετὴν καὶ χαρισάμενος τοῖς ἀνθρώποις Θεός, ἀγαθός ἐστι· καὶ εἰ ἀγαθός, ἐξ ἀνάγκης καὶ δίκαιος, ἀρετὴ γὰρ ἡ δικαιοσύνη, δι᾽ ὃ καὶ ἀγαθή. Εἰ δὲ ἀγαθὸς καὶ δίκαιός ἐστιν ὁ Θεός, πάντως καὶ ἐξ ἀγαθότητος ποιεῖ ὅσα ἐποίησε καὶ ποιεῖ, κἂν τοῖς πονηροῖς τοῦτο οὐ φαίνεται. [28.] Οὐδὲν οὕτω σκοτίζειν εἴωθεν ὡς ἡ πονηρία· ἁπλότητι δὲ καὶ ταπεινώσει ὁ Θεὸς ἐμφανίζεται καὶ οὐ κόποις. Ἐμφανίζεται δὲ οὐχ ὡς δοκοῦσί

τιμοῦν] τὶς ἁγίες εἰκόνες αὐτῶν; Ἂς δοῦμε τοὺς ἐναρέτους, πῶς ζοῦν τώρα, μὲ κάθε εὐχαριστία καὶ ἀρετὴ καὶ πνευματικὴ χαρά; Ἐνῶ τοὺς πλουσίους βλέπομε νὰ ἀγανακτοῦν καὶ νὰ ἔχουν περισσότερους πειρασμοὺς ἀπὸ τοὺς ἀσκητὲς καὶ τοὺς ἀκτήμονες; Καὶ ἀπὸ αὐτὸ ἐλπίζομε, ὅτι [πράγματι] ἡ ἀρετὴ εἶναι ἀνώτερη ἀπὸ ὅλα. Κι ἂν ὄχι, ἂς ἐξετάσωμε, πῶς οἱ ἄπιστοι, τὸν μὲν Θεὸν ἴσως ἀγνοοῦν, ἐπαινοῦν ὅμως τὴν ἀρετή, ἀκόμη κι ἂν ὁ ἐνάρετος φαίνεται σ᾽ αὐτοὺς ἀλλόπιστος· «διότι τὴν ἀρετὴ ξέρει νὰ τὴν σέβεται καὶ ὁ ἐχθρός»[ιη΄]. Κι ἂν πιστεύωμε, ὅτι ἡ ἀρετὴ εἶναι ἀγαθή, κατ᾽ ἀνάγκην καὶ ὁ Θεός, ὁ ὁποῖος ἐδημιούργησε τὴν ἀρετὴ καὶ τὴν χάρισε στοὺς ἀνθρώπους, εἶναι ἀγαθός· κι ἂν εἶναι ἀγαθός, κατ᾽ ἀνάγκην, εἶναι καὶ δίκαιος, διότι ἡ δικαιοσύνη εἶναι ἀρετή, γι᾽ αὐτὸ εἶναι καὶ ἀγαθή. Ἐὰν δὲ εἶναι ἀγαθὸς καὶ δίκαιος ὁ Θεός, ὁπωσδήποτε ἀπὸ ἀγαθότητα κάνει ὅσα ἔκανε καὶ κάνει, ἔστω κι ἂν δὲν φαίνεται αὐτὸ στοὺς πονηρούς.

28. Τίποτε ἄλλο δὲν συνηθίζει νὰ σκοτίζῃ [τὸν ἄνθρωπο], ὅπως ἡ πονηρία. Ὁ Θεὸς ὅμως φανερώ-

τινες ἐξ ἀπειρίας, ἀλλὰ διὰ τῆς θεωρίας τῶν ὄντων, ἤτοι τῶν κτισμάτων αὐτοῦ καὶ Ἀποκαλύψεων τῶν ἐν ταῖς θείαις Γραφαῖς μυστηρίων. Οὗτος ὁ μισθὸς τῆς ἡσυχίας καὶ τῶν λοιπῶν πράξεων ἐν τῷ νῦν· ἐν δὲ τῷ μέλλοντι, ἃ ὀφθαλμὸς οὐκ οἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν[71] *καὶ καταλείπουσι τὰ θελήματα αὐτῶν διὰ τῆς ὑπομονῆς καὶ ἐλπίδος τῶν μελλόντων ἀγαθῶν, ὧν εὐχόμεθα τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ κράτος, εἰς τοὺς αἰῶνας. Ἀμήν*[72].

νεται στὴν ἁπλότητα καὶ τὴν ταπείνωσι καὶ ὄχι στοὺς κόπους[ιθ΄]. Φανερώνεται δέ, ὄχι ὅπως μερικοὶ νομίζουν ἀπὸ ἀπειρία [στοὺς κόπους], ἀλλὰ μὲ τὴν θεωρία τῶν ὄντων, δηλαδὴ τῶν κτισμάτων Του καὶ μὲ τὶς ἀποκαλύψεις τῶν [περιεχομένων] στὶς θεῖες Γραφές, μυστηρίων. Αὐτὸς [λοιπὸν] εἶναι ὁ μισθὸς τῆς ἡσυχίας καὶ τῶν λοιπῶν πράξεων στὸν παρόντα [αἰῶνα], στὸν μέλλοντα ὅμως [εἶναι] «αὐτά, τὰ ὁποῖα ὀφθαλμὸς δὲν εἶδε καὶ αὐτὶ δὲν ἄκουσε, καὶ δὲν ἀνέβηκαν [ὡς ἔννοιες] στὴν καρδιὰ καὶ στὸν νοῦ [τοῦ ἀνθρώπου], ὅσα ἑτοίμασε ὁ Θεὸς γιὰ ὅσους τὸν ἀγαποῦν», καὶ ἐγκαταλείπουν τὰ θελήματά τους μὲ τὴν ὑπομονὴ καὶ τὴν ἐλπίδα τῶν μελλοντικῶν ἀγαθῶν, τὰ ὁποῖα εὐχόμαστε νὰ ἐπιτύχωμε, μὲ τὴν Χάρι καὶ τὴν φιλανθρωπία τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στὸν Ὁποῖο πρέπει κάθε δόξα, τιμὴ καὶ ἐξουσία εἰς τοὺς αἰῶνες. Ἀμήν.



Ἕβδομόν ἐστιν ἐν στοιχείοις τὸ ἦτα,
Λόγος ὁ παρὼν περὶ ἀπροσπαθείας.
Καὶ γεννᾶται μὲν ἐκ τῆς ἐλπίδος αὕτη.
Αὕτη δὲ ἐστι φυγὴ παντὸς τοῦ Κόσμου.
Νῦν δὲ τὴν ἀρχὴν εὐλόγησον, ὦ Πάτερ.

Ἕβδομον τὸ Ἦτα εἶναι στὰ στοιχεῖα,
Καὶ λόγος αὐτὸς περὶ ἀπροσπαθείας,
Ποὺ γεννιέται μὲν αὐτὴ ἐκ τῆς ἐλπίδος.
Εἶναι δὲ αὐτὴ φυγὴ παντὸς ἐκ κόσμου.
Τώρα λόγου τὴν ἀρχὴν εὐλόγησον, ὦ Πάτερ.

ΛΟΓΟΣ Ζʹ [Ηʹ, 7ος]

[29.] Ἡ ἀπροσπάθεια γίνεται ἐκ τῆς ἐλπίδος, διότι ὁ ἐλπίζων τεύξεσθαι ἀλλαχοῦ αἰωνίου πλούτου, εὐχερῶς τοῦ ὑπὸ χεῖρα καταφρονεῖ, κἂν πᾶσαν ἀνάπαυσιν ἔχῃ ὁ πρόσκαιρος. Εἰ δὲ καὶ ἐπίπονός ἐστιν ὁ βίος καὶ πολυώδυνος, τίς πείθει τῷ λογικῷ ἀνθρώπῳ προτιμᾶν τοῦτον ὑπὲρ τὴν ἀγάπην τοῦ Θεοῦ, τοῦ διδόντος τοῦτον κἀκεῖνον τοῖς ἀγαπῶσιν αὐτόν; Εἰ μήπου τυφλὸς εἴη, μηδ᾽ ὅλως βλέπειν δυνάμενος ἐξ ἀπιστίας ἢ κακῆς προαιρέσεως καὶ πονηρᾶς συνηθείας. Εἰ γὰρ ἐπίστευσεν, ἐφωτίσθη ἄν· καὶ εἰ μικρὸν φωτισμὸν

29. Ἡ ἀπροσπάθεια [ἤτοι ἐλευθερία ἀπὸ τὰ πάθη] πηγάζει ἀπὸ τὴν ἐλπίδα, διότι ἐκεῖνος, ὁ ὁποῖος ἐλπίζει νὰ ἐπιτύχῃ σὲ ἄλλο κόσμο τὸν αἰώνιο πλοῦτο, εὔκολα καταφρονεῖ αὐτόν, τὸν ὁποῖον ἔχει [ἤδη] στὰ χέρια του, ἀκόμη κι ἂν τοῦ παρέχῃ κάθε ἀνάπαυσι ὁ πρόσκαιρος [αὐτὸς πλοῦτος]. Ἂν ὅμως, ὁ βίος εἶναι κοπιώδης καὶ μὲ πολλὲς ὀδύνες, ποιὸς πείθει τὸν λογικὸ ἄνθρωπο, νὰ προτιμᾷ αὐτὸν [τὸν πρόσκαιρο] περισσότερο ἀπὸ τὴν ἀγάπη τοῦ Θεοῦ, ὁ Ὁποῖος δίδει καὶ αὐτὸν [τὸν πρόσκαιρο] καὶ [τὸν αἰώνιο] σ᾽ ὅσους Τὸν ἀγαποῦν; Ἐκτὸς ἐὰν εἶναι τυφλὸς καὶ δὲν μπορεῖ νὰ βλέπῃ καθόλου ἀπὸ τὴν ἀπιστία, ἢ τὴν κακὴ προαίρεσι καὶ πονηρὴ συνήθεια. Γιατί, ἐὰν εἶχε πιστέψει, θὰ εἶχε δεῖ τὸ φῶς· καὶ ἐὰν ἔλαβε

γνώσεως ἐκ βεβαίας πίστεως ἔλαβεν, ἠγωνίσατο ἂν καταλῦσαι τὴν κακίστην αὐτοῦ συνήθειαν· καὶ εἰ τοῦτο ἐν τῇ ψυχῇ ἔθετο, ἡ χάρις ἂν συνήργει καὶ συνηγωνίζετο. Ἀλλὰ διὰ τοῦτό φησιν ὁ Κύριος, ὀλίγοι οἱ σῳζόμενοι[73], διότι γλυκέα φαίνονται τὰ βλεπόμενα, κἂν πικρά εἰσι. [30.] Καὶ γὰρ καὶ ὁ κύων λείχων τὴν ῥῖνα τῇ γλώττῃ αὐτοῦ, ἐκ τῆς γλυκύτητος οὐκ αἰσθάνεται τοῦ πόνου ὅτι ἐκ τοῦ ἰδίου αἵματος πίνει· καὶ γαστρίμαργος ἐσθίων τὰ βλάπτοντα αὐτὸν ψυχικῶς τε καὶ σωματικῶς, οὐκ αἴσθησιν λαμβάνει τῆς βλάβης αὐτοῦ· καὶ πάντες οἱ τοῖς πάθεσι δουλεύοντες ὡσαύτως πάσχουσιν ἐξ ἀναισθησίας· εἰδ᾿ ἴσως καὶ ἀνανεύσουσιν, ἀλλ᾿ ἐκ τῆς συνηθείας πάλιν ἕλκονται. Διὰ τοῦτό φησιν ὁ Κύριος· βιαστή ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν[74], οὐχὶ φυσικῶς, ἀλλ᾿ ἐκ τῆς συνηθείας τῶν παθῶν. Εἰ γὰρ φύσει ἦν βιαστή, οὐδεὶς ἂν εἰσῆλθεν εἰς αὐτήν. Ἀλλὰ τοῖς μὲν προαιρουμένοις χρηστὸς ὁ ζυγὸς

λίγο φωτισμὸ γνώσεως ἀπὸ τὴν βεβαία πίστι, θὰ ἀγωνιζόταν νὰ ἐξαλείψῃ τὴν κακίστη συνήθειά του· κι ἂν αὐτὸς τὸ ἔβαζε [ὡς ἐπιθυμία καὶ ἀπόφασι] στὴν ψυχή του, ἡ Χάρι θὰ συνεργοῦσε καὶ θὰ συναγωνιζόταν μαζί του. Ἀλλὰ γι᾿ αὐτό, λέγει ὁ Κύριος, «λίγοι [εἶναι] αὐτοὶ οἱ ὁποῖοι σώζονται», διότι μᾶς φαίνονται γλυκά, ὅσα βλέπομε, κι ἂν ἀκόμη εἶναι πικρά. 30. Γιατὶ καὶ ὁ σκύλος, ὅταν γλύφῃ τὴν πληγή του[κ'] μὲ τὴν γλῶσσα του, ἀπὸ τὴν γλυκύτητα δὲν αἰσθάνεται τὸν πόνο, γιατὶ πίνει ἀπὸ τὸ δικό του αἷμα· [ἔτσι] καὶ ὁ γαστρίμαργος, τρώγοντας ὅσα τὸν βλάπτουν καὶ ψυχικὰ καὶ σωματικά, δὲν αἰσθάνεται τὴν βλάβη, [ποὺ προκαλεῖται] σ᾿ αὐτόν. Καὶ ὅλοι, ὅσοι εἶναι δοῦλοι στὰ πάθη τους, παρόμοια πάσχουν ἀπὸ τὴν ἀναισθησία τους· ἀλλά, ἂν καὶ ἴσως [καταφέρουν] νὰ ἀνανήψουν [καὶ νὰ συνέλθουν, πάλι παρασύρονται ἀπὸ τὴν ἕλξι τῆς συνηθείας [καὶ ἐπανέρχονται στὰ πάθη]. Γι᾿ αὐτὸ λέγει ὁ Κύριος· «ἡ Βασιλεία τῶν Οὐρανῶν ἀπαιτεῖ βία», ὄχι ἀπὸ τὴν φύσι της, ἀλλὰ ἀπὸ τὴν συνήθεια τῶν παθῶν. Διότι, ἂν ἀπὸ τὴν φύσι της ἀπαιτοῦσε βία, κανεὶς δὲν θὰ ἔμπαινε σ᾿ αὐτήν. Ἀλλὰ σὲ ὅσους ἔχουν [ἀγαθὴ] τὴν προαίρεσι, «ὁ ζυγὸς

καὶ ἐλαφρὸν τὸ φορτίον τοῦ Κυρίου[75]*· τοῖς δὲ μὴ προαιρουμένοις στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς*[76] *καὶ βιαστὴ ἡ βασιλεία*[77]*. Τοῖς γὰρ προτέροις ἐντὸς καὶ ἐγγὺς ὑπάρχει*[78]*, διὰ τὸ θέλειν αὐτήν, καὶ εὐθὺς τεύξασθαι τῆς ἀπαθείας. [31.] Θέλημα γάρ ἐστι τὸ συνεργοῦν καὶ κωλύον εἰς τὸ σωθῆναι, καὶ οὐδὲν ἕτερον. Ἠβουλήθης τι ἀγαθόν, ποίησον τοῦτο· οὐ δύνασαι, προαιροῦ, καὶ ἰδοὺ ἔχεις αὐτό, καί περ μὴ ἔχων τοῦτο. Καὶ ἰδοὺ οὕτω κατὰ μικρὸν ἡ συνήθεια αὐτομάτως ἐργάζεται, εἴτε καλόν, εἴτε κακόν. Εἰ γὰρ οὐκ ἦν τοῦτο, οὐδεὶς λῃστὴς ἐσώθη· οὐ μόνον δέ, ἀλλὰ καὶ ἔλαμψαν πολλοὶ τῶν λῃστῶν. Ἴδε πόσον ἐστὶ μακρὰν ὁ δρόμος ἀναμέσον λῃστοῦ καὶ ἁγίου· οὐκ ἴσχυσε δὲ ἡ συνήθεια, ἀλλ᾽ ἐνίκησεν ἡ προαίρεσις. Ὁ δὲ χάριτι Χριστοῦ εὐλαβής, ἢ καὶ Μοναχός, τί τὸ κωλύον κατ᾽ ἐκείνους γενέσθαι; ἐκεῖνος μακράν, οὗτος ἐγγύς, καὶ πλεῖστον τῆς ὁδοῦ ἔλαβε κατὰ χάριν, ἢ φυσικῶς, ἢ ἐκ τῶν γονέων*

[εἶναι] καλὸς καὶ ἐλαφρὸν τὸ φορτίον» τοῦ Κυρίου, ἐνῶ γιὰ ἐκείνους, ποὺ δὲν ἔχουν [ἀγαθὴ] προαίρεσι, στενὴ εἶναι ἡ πύλη καὶ γεμάτη θλίψεις ἡ ὁδὸς» καὶ ἡ Βασιλεία [τῶν Οὐρανῶν] ἀπαιτεῖ βία. Διότι στοὺς πρώτους [ἡ Βασιλεία] εἶναι μέσα τους καὶ πλησίον τους, ἐπειδὴ θέλουν αὐτοί, καὶ [ἐπιθυμοῦν] σύντομα νὰ ἀποκτήσουν τὴν ἀπάθεια. 31. Γιατὶ ἡ θέλησι εἶναι αὐτή, ποὺ βοηθεῖ καὶ αὐτὴ ποὺ ἐμποδίζει στὴν σωτηρία καὶ τίποτε ἄλλο. Θέλησες κάποιο ἀγαθό; Κάνε το [πρᾶξι]. Δὲν μπορεῖς; Ἔχε [ὅμως] τὴν προαίρεσι καὶ ἀμέσως τὸ ἔχεις, ἂν καὶ δὲν τὸ ἔχῃς [αἰσθητά]. Καὶ νά, ἔτσι σιγὰ σιγὰ αὐτόματα κατεργάζεται ἡ συνήθεια, εἴτε τὸ καλὸ εἴτε τὸ κακό. Διότι, ἂν δὲν συνέβαινε αὐτό, κανένας λῃστὴς δὲν θὰ σωζόταν· καὶ ὄχι μόνον [ἐσώθηκαν], ἀλλὰ καὶ ἔλαμψαν [στὴν ἀρετὴ] πολλοὶ ἀπὸ τοὺς λῃστές. Κοίταξε πόσο μακρινὴ εἶναι ἡ ἀπόστασι ἀνάμεσα στὸν λῃστὴ καὶ στὸν Ἅγιο· δὲν ὑπερίσχυσε ὅμως ἡ συνήθεια, ἀλλὰ ἐνίκησε ἡ προαίρεσι. Ἐκεῖνος ὅμως, [ὁ ὁποῖος εἶναι] εὐλαβής, μὲ τὴ Χάρι τοῦ Θεοῦ, ἢ καὶ Μοναχός, τί τὸν ἐμποδίζει νὰ γίνῃ σὰν ἐκείνους; Ἐκεῖνος [ὁ λῃστὴς εἶναι] μακριά, αὐτὸς κοντὰ καὶ τὸ [νὰ διανύσῃ] τὸ μεγαλύτερο μέρος τοῦ δρόμου τὸ ἔλαβε κατὰ Χάριν, ἢ ἀπὸ φυσική του [κλίσι], ἢ ἀπὸ τοὺς

τὴν εὐσέβειαν καὶ εὐλάβειαν ἐκληρονόμησε. Ἄρα οὐκ ἔστι ξένον, ὅταν λησταὶ καὶ τυμβωρύχοι ἅγιοι γίνωνται, καὶ Μοναχοὶ κατακριθήσονται; [32.] Ἀλλ᾽ οἴμοι τῷ ἀθλίῳ, ὅτι ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με[79]*. Οἱ βασιλεῖς πτωχεύουσι κατὰ τὸν Ἰωάσαφ καὶ τοὺς τοιούτους, καὶ ὁ πτωχὸς οὐ δύναται τὴν ἀρχαίαν συνήθειαν κατέχειν καὶ ἀκοπότως εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, διὰ ἀπροσπαθείας τῶν πραγμάτων, ὧν οὐκ ἔτυχεν ἐκ τῆς τῶν γονέων κληρονομίας. Ἀλλ᾽ ὅτε εἶπεν ἀποτάσσομαι καὶ οἷς περ οὐκ εἶχε (τὸν γὰρ κόσμον καὶ τὰ ἐν τῷ κόσμῳ ἄλλος κατέχει, οὗτος δὲ τοῦ ἐπιθυμεῖν εἶχεν ἐξουσίαν) καὶ ὅτε τούτῳ ἀπετάξατο, τότε πολυκτήμων ἐγένετο· καὶ λέγει οὐ δύναμαι ἀκτημονεῖν, οὐδὲ ὑπομένειν τὰ ἐπερχόμενα. Ποῖα εἰπέ μοι; τὰς φυλακὰς καὶ τὰ κλοιά, ἅπερ εἶχε πρότερον κἂν ἄρχων ἦν; καὶ γὰρ οἱ ἔχοντες τὰς ἀρχὰς καὶ τὰ πλούτη, αὐτοὶ*

γονεῖς του ἐκληρονόμησε τὴν εὐσέβεια καὶ τὴν εὐλάβεια. Ἄραγε δὲν εἶναι παράδοξο, ὅταν ληστὲς καὶ τυμβωρύχοι γίνωνται Ἅγιοι, καὶ Μοναχοὶ θὰ καταδικασθοῦν; 32. Ἀλλὰ ἀλλοίμονο σὲ μένα τὸν ἄθλιο, διότι «ἡ ἐντροπή μου ἐκάλυψε τὸ πρόσωπό μου». Οἱ Βασιλεῖς γίνονται πτωχοί, ὅπως ὁ Ἰωάσαφ[κα'] καὶ οἱ ὅμοιοί του, καὶ ὁ πτωχὸς δὲν μπορεῖ νὰ διατηρήσῃ τὴν παλιὰ συνήθεια [τῆς πτωχείας του] καὶ νὰ εἰσέλθῃ χωρὶς κόπο εἰς τὴν Βασιλεία τῶν Οὐρανῶν, μὲ τὴν μὴ ἐμπαθῆ προσκόλλησί του στὰ πράγματα, τὰ ὁποῖα δὲν εἶχε [κἂν ἀποκτήσῃ] ἀπὸ κληρονομία τῶν γονέων του. Ἀλλὰ ὅταν εἶπε «ἀποτάσσομαι»[κβ'] [κατὰ τὴν τελετὴ τοῦ Μοναχικοῦ Σχήματος] καὶ γιὰ ὅσα δὲν εἶχε, (διότι τὸν κόσμο καὶ τὰ πράγματα στὸν κόσμο ἄλλος τὰ κατέχει, ἐνῶ αὐτὸς εἶχε τὴν ἐξουσία μόνον νὰ τὰ ἐπιθυμῇ) καὶ ὅταν ἀπαρνήθηκε αὐτὸν [τὸν κόσμο], τότε βρέθηκε μὲ πολλὰ κτήματα· καὶ λέγει, δὲν μπορῶ νὰ εἶμαι ἀκτήμων, οὔτε νὰ ὑπομένω τὰ ἐπερχόμενα κακά. Ποιὰ πές μου; Τὶς φυλακὲς καὶ τὰ δεσμά, τὰ ὁποῖα εἶχε πρωτύτερα, κι ἂς ἦταν ἄρχοντας; Διότι αὐτοί, ποὺ ἔχουν τὶς ἀρχὲς καὶ τὰ πλούτη, αὐτοὶ καὶ τὰ παθαίνουν

καὶ ταῦτα πάσχουσιν. Ἀλλὰ ποῖα; τὴν στέρησιν τῶν ἀναγκαίων, τὴν γυμνότητα καὶ τὰ λοιπά, ἅπερ εἶχε δεινά; [33.] Καὶ ἵνα μὴ κατὰ λεπτὸν λέγων μηκύνω τὸν λόγον, καὶ καταισχύνω τοὺς γέμοντας αἰσχύνης· ἀρκεῖ γὰρ ἡμῖν αὐτὸ τοῦτο, τὸ προσπάθειαν ἔχειν τινὸς τῶν ὁρωμένων, ὧν τῇ ἐπιθυμίᾳ ἀπεταξάμεθα, εἰς αἰσχύνην καὶ ὄνειδος ἐν τῷ μέλλοντι κατὰ τὸν Γιεζῇ[80] καὶ Ἰούδαν[81]. Ὅτι ὁ μὲν ἐπεθύμησεν, ὧν περ οὐκ εἶχε, δι᾽ ὃ καὶ τὴν λέπραν σὺν τῇ πτώσει ἐκ Θεοῦ ἔλαβεν· ὁ δὲ οἷς εἶχεν ἀποταξάμενος, πάλιν ἐπεθύμησεν ἔχειν· δι᾽ ὃ καὶ σὺν τῇ ἀγχόνῃ τὴν ἀπώλειαν ἐκληρονόμησε. Τί δὲ τὸ περισσὸν τοῦ Μοναχοῦ, ἐὰν οὐ παρθενεύῃ καὶ ἀκτημονῇ; Τὰς γὰρ λοιπὰς ἐντολὰς καὶ οἱ λοιποὶ πάντες φυλάξαι χρεωστοῦσιν, ὡς φυσικὰς οὔσας. Τὸ γὰρ ἀγαπᾶν τὸν Θεὸν καὶ τὸν πλησίον, καὶ τὸ ὑπομένειν τὰ ἐπερχόμενα καὶ τὸ χρήσασθαι κατὰ φύσιν τοῖς πράγμασι καὶ ἀπέχεσθαι τῶν πονηρῶν ἔργων,

αὐτά. Ἀλλὰ ποιά; Τὴν στέρησι τῶν ἀναγκαίων, τὴν γυμνότητα καὶ τὰ λοιπὰ δεινά, τὰ ὁποῖα εἶχε; 33. Καὶ γιὰ νὰ μὴν μακρύνω τὸν λόγο μου λέγοντας [αὐτὰ] λεπτομερῶς, καὶ καταισχύνω αὐτούς, ποὺ εἶναι γεμάτοι ἀπὸ αἰσχύνη, [λέγω τοῦτο]· μᾶς ἀρκεῖ λοιπὸν αὐτὸ καὶ μόνον, τὸ νὰ ἔχωμε [δηλαδὴ] ἐμπαθῆ προσκόλλησι σὲ κάτι ἀπὸ τὰ ὁρατά, τῶν ὁποίων τὴν ἐπιθυμία ἀπαρνηθήκαμε, γιὰ [νὰ μᾶς φέρῃ] αἰσχύνη καὶ ὄνειδος στὸ μέλλον, ὅπως [συνέβη] στὸν Γιεζῆ καὶ τὸν Ἰούδα. Διότι ὁ μὲν πρῶτος [Γιεζῆ] ἐπεθύμησε ὅσα δὲν εἶχε, γι᾽ αὐτὸ μαζὶ μὲ τὴν πτῶσι ἔλαβε καὶ τὴν λέπρα ἀπὸ τὸν Θεό· ὁ δὲ δεύτερος [Ἰούδας], ἀφοῦ ἀπαρνήθηκε ὅσα εἶχε, πάλι ἐπεθύμησε νὰ ἔχῃ· γι᾽ αὐτὸ καὶ μαζὶ μὲ τὴν ἀγχόνη, ἐκληρονόμησε [καὶ] τὴν ἀπώλεια. Τί δὲ τὸ ἐπιπλέον τοῦ Μοναχοῦ, ἐὰν δὲν κρατῇ τὴν παρθενία καὶ τὴν ἀκτημοσύνη; Τὶς ὑπόλοιπες ὅμως ἐντολὲς ἔχουν ὑποχρέωσι καὶ ὅλοι οἱ ἄλλοι [ἄνθρωποι] νὰ τὶς φυλάξουν, ἐπειδὴ εἶναι φυσικές. Διότι, τὸ νὰ ἀγαπᾷ κανεὶς τὸν Θεὸ καὶ τὸν πλησίον καὶ τὸ νὰ ὑπομένῃ τὰ ἐπερχόμενα [κακά], καὶ τὸ νὰ μεταχειρίζεται κατὰ φύσι τὰ πράγματα [τοῦ κόσμου]

κἂν μὴ θέλῃ τις χρεωστεῖ. Καὶ δίχα τῆς φυλακῆς τούτων, οὐδὲ ἐν τῷ νῦν εὑρίσκει ἀνάπαυσιν· διότι καὶ οἱ νόμοι κολάζουσι τοὺς πταίοντας καὶ οἱ ἄρχοντες βιάζουσι πρὸς σύστασιν ἀρετῆς κατὰ τὸν Ἀπόστολον. Οὐ γὰρ εἰκῇ, φησί, τὴν μάχαιραν φορεῖ[82]*· καὶ πάλιν· θέλεις μὴ φοβηθῆναι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς*[83]*. Καὶ ταῦτα μὲν πάντα ὡς φυσικὰ οἱ πάντες καὶ ποιοῦσι καὶ θέλουσιν, οὐ μὴν ἀλλὰ καὶ ἐκδικοῦσιν. [34.] Ὁ δὲ κλῆρος τοῦ Μοναχοῦ τὰ ὑπὲρ φύσιν, ὡς στρατιώτης Χριστοῦ, δι᾽ ὃ καὶ ὀφείλει γεύσασθαι ἐκ τῶν παθημάτων αὐτοῦ, ἵνα τύχῃ καὶ τῆς δόξης αὐτοῦ· ἀλλὰ καὶ τοῦτο πάλιν φυσικός ἐστι νόμος, μαρτυρούμενος ὑπὸ τῶν αἰσθητῶν πραγμάτων. Οὐχ οἱ στρατιῶται τοῦ βασιλέως ἐκ τοῦ συμπάσχειν δοξάζονται; Οὐχ ὅσον πάσχει ἕκαστος, τοσοῦτον ἔπαινον ἔχει ἐνταῦθα, καὶ ὅσον φανῇ ἀνίκανος, ἀτιμάζεται; Οὐχ ὅσον καθ᾽*

καὶ νὰ ἀπέχῃ ἀπὸ τὰ πονηρὰ ἔργα, ὀφείλει [νὰ τὰ κάνῃ] κανείς, κι ἂν [ἀκόμη] δὲν θέλῃ. Καὶ χωρὶς τὴν τήρησι αὐτῶν, οὔτε στὴν παροῦσα ζωὴ εὑρίσκει ἀνάπαυσι· διότι καὶ οἱ νόμοι τιμωροῦν αὐτούς, οἱ ὁποῖοι φταῖνε καὶ οἱ ἄρχοντες ἐξαναγκάζουν στὸ νὰ συνιστᾶται ἡ ἀρετὴ [στούς ὑπηκόους τους], κατὰ τὸν Ἀπόστολο [Παῦλο]. Γιατὶ λέγει, «ὄχι χωρὶς λόγο φέρει τὸ μαχαίρι» καὶ πάλι· θέλεις «νὰ μὴν φοβᾶσαι τὴν ἐξουσία; Κάνε τὸ καλὸ καὶ θὰ ἔχῃς ἔπαινο ἀπὸ αὐτή». Καὶ ὅλα αὐτὰ μέν, ὡς φυσικά, ὅλοι καὶ τὰ κάνουν καὶ τὰ θέλουν, ἀλλὰ ἀκόμη καὶ τιμωροῦν [τὴν παράβασί τους].

34. Ὁ κλῆρος ὅμως τοῦ Μοναχοῦ [εἶναι] τὰ ὑπὲρ φύσι, ἀφοῦ εἶναι στρατιώτης τοῦ Χριστοῦ, γι᾽ αὐτὸ καὶ ὀφείλει [νὰ μετέχῃ] τῆς γεύσεως τῶν παθημάτων Αὐτοῦ, γιὰ νὰ ἀπολαύσῃ καὶ τὴν δόξα Του· ἀλλὰ καὶ αὐτὸ πάλι εἶναι φυσικὸς νόμος, ὁ ὁποῖος μαρτυρεῖται ἀπὸ τὰ αἰσθητὰ πράγματα. Δὲν δοξάζονται οἱ στρατιῶτες τοῦ βασιλέως, ἐπειδὴ συμπάσχουν μαζί του; Δὲν ἐπαινεῖται ἐδῶ ὁ καθένας ἀνάλογα μὲ τὸ ὅσο πάσχει; Καὶ ὅσο ἀνίκανος φανῇ [ἄλλο

ὁμοίωσιν τῆς ἐσθῆτος τοῦ βασιλέως φορεῖ τις, φαίνεται οἰκειότερος αὐτοῦ, καὶ ὅσον μακρὰν ταύτης, φαίνεται ξένος; Οὕτω δεῖ σκοπεῖν καὶ περὶ τοῦ ἡμετέρου βασιλέως· ὅσον γάρ τις συμπάσχει καὶ μιμεῖται τὴν πτωχείαν τοῦ Χριστοῦ, γενόμενος ἐκ τῶν παθημάτων καὶ ὕβρεων αὐτοῦ, τῶν πρὸ τοῦ σταυρωθῆναι δι᾽ ἡμᾶς καὶ ταφῆναι, τοσοῦτον γίνεται οἰκειότερος αὐτοῦ καὶ συγκοινωνὸς τῆς δόξης αὐτοῦ, κατὰ τὸν Ἀπόστολον· εἴπερ συμπάσχομεν, φησί, καὶ συνδοξασθῶμεν[84]. *[35.] Βαβαί, πῶς ἀγνοοῦμεν, ὅτι ὑπὲρ ἄρτου μόνου, πόσον πάσχουσι κοπιῶντες στρατιῶται καὶ λησταὶ καὶ πόσον ξενιτεύονται ὁδοιπόροι καὶ θαλασσομάχοι; Καὶ πόσον πόνον ὑπομένουσιν ἅπαντες οἱ ἄνθρωποι ἄνευ τῆς βασιλείας τῶν οὐρανῶν ἐλπίδος; Καίτοι γε πολλάκις οὐδὲ τοῦ σκοποῦ, δι᾽ οὗ μοχθοῦσιν ἐπιτυγχάνουσι. Καὶ ἡμεῖς ὑπὲρ βασιλείας οὐρανῶν καὶ αἰωνίων ἀγα-*

τόσο] δὲν περιφρονεῖται; Δὲν φαίνεται κανεὶς τόσο οἰκειότερος στὸν βασιλέα, ὅσο πιὸ ὅμοια στολὴ μὲ αὐτὸν φορεῖ; Καὶ ὅσο πιὸ ἀνόμοια [στολὴ φορεῖ], δὲν φαίνεται πιὸ ξένος; Ἔτσι πρέπει νὰ σκεπτώμαστε καὶ γιὰ τὸν δικό μας Βασιλέα· διότι ὅσο πιὸ πολὺ κάποιος συμπάσχει καὶ μιμεῖται τὴν πτωχεία τοῦ Χριστοῦ, γευόμενος ἀπὸ τὰ παθήματα καὶ τὶς ὕβρεις Αὐτοῦ, [τὰ ὁποῖα ὑπέστη] γιὰ μᾶς πρὶν νὰ σταυρωθῇ καὶ νὰ ταφῇ, τόσο γίνεται περισσότερο οἰκεῖος καὶ συγκοινωνὸς τῆς δόξης Αὐτοῦ, κατὰ τὸν Ἀπόστολο [Παῦλο]· «Ἂν συμπάσχωμε μαζί Του καὶ θὰ συνδοξασθοῦμε».

35. Ἀλλοίμονο, πῶς ἀγνοοῦμε, ὅτι γιὰ τὸ ψωμὶ [καὶ] μόνον, πόσο πάσχουν κοπιάζοντας στρατιῶτες καὶ ληστές; Καὶ πόσο ξενιτεύονται ὁδοιπόροι καὶ ναυτικοί; Καὶ πόσο κόπο ὑπομένουν ὅλοι οἱ ἄνθρωποι χωρὶς [νὰ ἔχουν] τὴν ἐλπίδα τῆς Βασιλείας τῶν Οὐρανῶν; Ἂν καὶ βέβαια πολλὲς φορὲς οὔτε τὸν σκοπό, γιὰ τὸν ὁποῖο μοχθοῦν δὲν ἐπιτυγχάνουν! Καὶ ἐμεῖς γιὰ τὴν Βασιλεία τῶν Οὐρανῶν καὶ

θῶν, οὐ θέλομεν μικρόν τι ὑπομεῖναι· καὶ τοῦτο ἴσως οὐ γίνεται πολυκόποτον ἐὰν ἡ προαίρεσις εὐδοκῇ καὶ οὐ φορτικὴν καὶ ἀνύποιστον λογίζεται τὴν κτῆσιν τῶν ἀρετῶν, ἀλλὰ μᾶλλον χαρὰν καὶ ἀνάπαυσιν διὰ τῆς ἐλπίδος, ἀμεριμνίας τε καὶ τῆς ἀκουσίου τιμῆς τῆς ἑπομένης τῇ ἀρετῇ· (οἶδε γὰρ αὐτὴν καὶ πολέμιος αἰδεῖσθαι καὶ θαυμάζειν) καὶ τὸ πέρας ταύτης εὐφροσύνη καὶ ἀγαλλίασις· οὐ μόνον δέ, ἀλλὰ καὶ ἐν αὐτῇ ἔχει τὴν χαρὰν μεμειγμένην ἡ ἀπροσπάθεια, ὥσπερ τὴν λύπην ἐν τοῖς πάθεσι τῆς ἀτιμίας ἡ ὑλώδης ζωή· ἧς ῥυσθείημεν, καὶ τύχοιμεν τῆς ἀΰλου ζωῆς καὶ αἰωνίου διὰ τῆς ἀπροσπαθείας τῆς γεννώσης τὴν νέκρωσιν τοῦ σώματος, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα πᾶσα, τιμή τε καὶ προσκύνησις πρέπει εἰς τοὺς αἰῶνας. Ἀμήν.

τῶν αἰωνίων ἀγαθῶν, δὲν θέλομε νὰ ὑπομείνωμε κάτι λίγο· καὶ αὐτὸ ἴσως νὰ μὴν γίνεται πολὺ κοπιαστικό, ἐὰν εὐχαρίστως τὸ ἀποδέχεται ἡ προαίρεσι καὶ δὲν θεωρεῖ ὡς φορτικὴ καὶ ἀνυπόφορη τὴν ἀπόκτησι τῶν ἀρετῶν, ἀλλὰ μᾶλλον χαρὰ καὶ ἀνάπαυσι μὲ τὴν ἐλπίδα, καὶ τὴν ἀμεριμνησία καὶ τὴν ἀκούσια τιμή, ἡ ὁποία ἀκολουθεῖ τὴν ἀρετή· (διότι καὶ ὁ ἐχθρὸς ξέρει νὰ σέβεται καὶ νὰ θαυμάζῃ αὐτήν)[κγ΄] καὶ τὸ τέλος της εἶναι εὐφροσύνη καὶ ἀγαλλίασι. Ὄχι δὲ [αὐτὸ] μόνον, ἀλλὰ καὶ μὲ αὐτὴν [τὴν ἀρετὴ] ἔχει ἀναμεμειγμένη τὴν χαρὰ ἡ μὴ ἐμπαθῆς προσκόλλησι, ὅπως [καὶ] ἡ ὑλικὴ ζωὴ [ἔχει] τὴν λύπη μὲ τὰ πάθη τῆς ἀτιμίας· ἀπὸ τὴν ὁποία, εἴθε νὰ λυτρωθοῦμε καὶ νὰ ἐπιτύχωμε τὴν ἄϋλη καὶ αἰώνια ζωή, μὲ τὴν μὴ ἐμπαθῆ προσκόλλησι, ἡ ὁποία γεννᾶ τὴν νέκρωσι τοῦ σώματος, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, στὸν Ὁποῖο πρέπει ὅλη ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησι στοὺς αἰῶνες. Ἀμήν.

ΛΟΓΟΣ Η΄

Ὀγδοός ἐστιν ὁ λόγος, καὶ τὸ Θῆτα.
Νέκρωσιν παθῶν γεννᾷ ἀπροσπάθεια.
Εἰ μὴ γὰρ αὐτὴν κατέχει τις ἐμπόνως,
Οὐδὲ τῶν παθῶν λυτροῦται ὁ τοιοῦτος.
Νῦν δὲ τὴν ἀρχὴν εὐλόγησον, ὦ Πάτερ.

Λόγος Ὄγδοος καὶ Θῆτα τὸ στοιχεῖον.
Νέκρωσι παθῶν ἡ ἀπροσπάθεια φέρει.
Ἂν αὐτὴν κανεὶς μὲ κόπο δὲν κατέχῃ,
Οὔτε καὶ ποτὲ λυτροῦται ἀπὸ τὰ πάθη.
Τώρα λόγου τὴν ἀρχὴν εὐλόγησον, ὦ Πάτερ.

ΛΟΓΟΣ Η΄ [Θ, 8ος]

[36.] Θεῷ διὰ παντὸς προσέχει διὰ τῆς θεωρίας ὁ ἀπροσπαθής· ἀπροσπάθεια γὰρ αἰσθητῶν, θεωρίαν νοητῶν ἐγείρει· θεωρίαν δὲ ἐνταῦθα οὐ τὴν τῶν ὄντων, ἀλλὰ τὴν τῶν πρὸ θανάτου καὶ μετὰ θάνατον δεινῶν, περὶ ὧν διδάσκεται ὑπὸ τῆς χάριτος ὁ ἀπροσπαθής, πρὸς νέκρωσιν παθῶν ἐκ τοῦ πένθους, ἵνα εἰς πρᾳότητα λογισμῶν ἔλθῃ καιροῦ καλοῦντος. Ἐκ γὰρ πίστεως, φόβος, κἀκ τούτου ἡ εὐσέβεια, ἤτοι ἐγκράτεια, ὑπομονὴ πένθους, πρᾳότης, πεῖνα καὶ δίψα τῆς δικαιοσύνης, ἤγουν πασῶν τῶν ἀρετῶν, ἐλεημοσύνη, κατὰ

καὶ ἀναστάσεως τοῦ Κυρίου προφητεύουσα ταῦτα ἔλεγεν· καὶ ἵνα συμπάσχῃ ὁ τοιοῦτος διὰ τῆς κτήσεως τῶν ἀρετῶν καὶ συνδοξασθῇ[190] *διὰ τῆς ἀπαθείας καὶ τῆς γνώσεως καὶ καύχημα ἔχῃ ἐν αὐτῷ, ὡς ἀξιωθεὶς δοῦλος τοιούτου Δεσπότου γενέσθαι καὶ μιμητὴς τῆς ταπεινώσεως αὐτοῦ ἀνάξιος ὤν, καὶ τότε ὁ ἔπαινος γενήσεται παρὰ Κυρίου*[191]*, κατὰ τὸν Ἀπόστολον· τότε, πότε; ὅτε ἐρεῖ τοῖς ἐκ δεξιῶν· δεῦτε οἱ εὐλογημένοι, κληρονομήσατε τὴν βασιλείαν*[192]*· ἧς ἀξιωθείημεν ἅπαντες, χάριτι αὐτοῦ καὶ φιλανθρωπίᾳ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν*[193]*.*

τὴν Ἀνάστασι τοῦ Κυρίου· καὶ γιὰ νὰ συμπάσχῃ αὐτὸς [ὁ πιστὸς ἄνθρωπος στὰ πάθη τοῦ Κυρίου] μὲ τὴν ἀπόκτησι τῶν ἀρετῶν καὶ νὰ συνδοξασθῇ [μὲ τὸν Κύριο], μὲ τὴν ἀπάθεια καὶ τὴν γνῶσι, καὶ νὰ ἔχῃ ὡς καύχημά του τὸ ὅτι ἀξιώθηκε νὰ γίνῃ δοῦλος ἑνὸς τέτοιου Δεσπότου καὶ μιμητὴς τῆς ταπεινώσεως Αὐτοῦ, ἐνῷ εἶναι ἀνάξιος. Καὶ τότε θὰ ἀποδοθῇ ὁ ἔπαινος «ἀπὸ τὸν Κύριο», σύμφωνα μὲ τὸν Ἀπόστολο [Παῦλο]· τότε, πότε; Ὅταν θὰ εἰπῇ [σ᾽ αὐτοὺς ποὺ θὰ εἶναι] στὰ δεξιά Του «ἐλᾶτε οἱ εὐλογημένοι νὰ κληρονομήσετε τὴν Βασιλεία»· τῆς ὁποίας εἴθε νὰ ἀξιωθοῦμε ὅλοι, μὲ τὴν Χάρι καὶ τὴν φιλανθρωπία Αὐτοῦ, εἰς τὸν Ὁποῖον [ἀνήκει] ἡ δόξα καὶ ἡ δύναμι εἰς τοὺς αἰῶνες. Ἀμήν.



Περὶ τῶν Γραφῶν εἰκοστὸς τρίτος λόγος,
Ἵνα μηδαμῶς τινα διαφωνίαν,
Ἔχοντες οἱ θέλοντες ἐρευνᾶν ταῦτα,
Ἀλλ' ὡς δεῖ νοεῖν πάντα τὰ γεγραμμένα.
Νῦν δὲ τὴν ἀρχὴν εὐλόγησον, ὦ Πάτερ.

Διὰ τὶς Γραφὲς εἰκοστὸς τρίτος ὁ λόγος,
Γιὰ νὰ μὴν εἶναι καμμιὰ διαφωνία,
Σ' αὐτοὺς ποὺ ζητοῦν ἔρευνα τὴν ἐκείνων,
Ἀλλ' ὅλα ὀρθῶς νὰ ἐννοοῦνται πρέπει.
Τώρα λόγου τὴν ἀρχὴν εὐλόγησον, ὦ Πάτερ.

ΛΟΓΟΣ ΚΓ´ [Ψ, 23ος]

[98.] Ψάλλατε συνετῶς[194], φησὶν ὁ προφήτης καί, ἐρευνᾶτε τὰς Γραφάς[195], φησὶν ὁ Κύριος. Καὶ ὁ μὲν ἀκούων, φωτίζεται· ὁ δὲ παρακούων, σκοτίζεται. Εἰ μὴ γάρ τις προσέχῃ τοῖς λεγομένοις, οὐ τοσοῦτον καρποῦται ἐκ τῶν θείων Γραφῶν, κἂν ἴσως ψάλλῃ καὶ ἀναγινώσκῃ πολλάκις. Σχολάσατε καὶ γνῶτε[196], φησί, διότι ἡ σχολὴ μὲν συνάγει τὸ νοῦν, ἐὰν δὲ καὶ βουληθῇ τις μικρὸν προσέχειν, γινώσκει κατὰ τὸν Ἀπόστολον ἐκ μέρους[197], καὶ μάλιστα ὁ ἔχων μερικὴν ἠθικὴν πρᾶξιν· διότι αὕτη πολύπειρον κατασκευάζει τὸν νοῦν ἐκ τῆς τῶν παθῶν

98. «Νὰ ψάλετε μὲ σύνεσι», λέγει ὁ προφήτης [Δαβίδ], καὶ «νὰ ἐρευνᾶτε τὶς Γραφές», λέγει ὁ Κύριος. Καὶ ἐκεῖνος μὲν ποὺ ὑπακούει φωτίζεται· ὅποιος ὅμως παρακούει σκοτίζεται. Διότι, ἐὰν κανεὶς δὲν προσέχῃ στὰ λεγόμενα, δὲν ὠφελεῖται τόσο ἀπὸ τὶς θεῖες Γραφές, ἀκόμη κι ἂν ἴσως ψάλλῃ καὶ [τὶς] διαβάζῃ πολλὲς φορές. «Σχολάσατε καὶ μάθετε», λέγει ἡ Γραφή, διότι ἡ [κατὰ Θεὸν] σχολὴ συγκεντρώνει τὸν νοῦ. Ἐὰν δὲ καὶ κάποιος θελήσῃ νὰ προσέχῃ λίγο, ἀποκτᾶ τὴν μερικὴ γνῶσι, κατὰ τὸν Ἀπόστολο [Παῦλο], καὶ μάλιστα αὐτός, ὁ ὁποῖος μετέχει κατὰ ἕνα μέρος στὴν ἠθικὴ πρᾶξι· διότι αὐτὴ κάνει τὸν νοῦ πολύπειρο ἀπὸ τὴν συμπλοκὴ [στὸν πόλεμο]

συμπλοκῆς. Πλήν, οὐχ ὅσα μυστήρια ἔχει ἕκαστον ῥῆμα τῆς Γραφῆς κεκρυμμένον παρὰ τῷ Θεῷ γινώσκει, ἀλλ᾽ ὅσα δύναται ἡ καθαρότης τοῦ νοὸς λαμβάνειν ὑπὸ τῆς χάριτος. Καὶ δῆλον ἐκ τοῦ γινώσκειν ἡμᾶς πολλάκις ῥητόν τι γραφικὸν κατὰ θεωρίαν καὶ ἐπιτυχεῖν ἐκ τῶν σκοπῶν δι᾽ ὧν ἐγράφη, ἑνὸς ἢ δύω· καὶ μετὰ καιρόν τινα ὁ νοῦς ἴσως καθαρώτερος γίνεται καὶ καταξιοῦται ἄλλης γνώσεως ὑψηλοτέρας τῆς πρώτης ἐκείνης· ὥστε ἐξ ἀπορίας, καὶ τοῦ θαυμάζειν τὴν χάριν τοῦ Θεοῦ καὶ τὴν ἄφραστον σοφίαν αὐτοῦ, καταντᾷ εἰς τὸ φρίσσειν καὶ τρέμειν ἐναντίον τοῦ Θεοῦ τῶν γνώσεων[198]*, ὡς ἡ προφῆτις ἔφη Ἄννα· ὅτι Θεὸς γνώσεων Κύριος. [99.] Οὐ λέγω δέ, ἄν τις ἀκούσῃ ἔκ τινος Γραφῆς, ἢ ἀνθρώπου, τοῦτο γὰρ οὐκ ἔστι καθαρότης νοός, οὐδὲ Ἀποκάλυψις, ἀλλ᾽ ὅταν γινώσκῃ τις καὶ ἀπιστῇ ἑαυτῷ, μέχρις ἂν εὕρῃ τὴν θείαν Γραφὴν ἤ τινα τῶν ἁγίων συμ-*

μὲ τὰ πάθη. Ὅμως, δὲν [μπορεῖ] νὰ γνωρίζῃ ὅλα τὰ μυστήρια, ποὺ περιέχει ὁ κάθε λόγος τῆς Ἁγίας Γραφῆς, [ὁ ὁποῖος ἀποτελεῖ] κρυμμένο [μυστήριο τῆς γνώσεως] τοῦ Θεοῦ, ἀλλὰ ὅσα μπορεῖ ἡ καθαρότητα τοῦ νοῦ νὰ δέχεται ἀπὸ τὴν Χάρι. Καὶ [αὐτὸ γίνεται] φανερὸ ἀπὸ τὸ ὅτι ἐμεῖς γνωρίζομε πολλὲς φορὲς κάποιο γραφικὸ ῥητὸ θεωρητικὰ καὶ [ἀπὸ τὸ] ὅτι ἐπιτυγχάνομε [νὰ κατανοήσωμε] ἕνα ἢ δύο ἀπὸ τοὺς σκοπούς, γιὰ τοὺς ὁποίους γράφτηκε· καὶ ὕστερα ἀπὸ λίγο καιρό, ὁ νοῦς ἴσως γίνεται καθαρώτερος καὶ καταξιώνεται ἄλλης γνώσεως [γιὰ τὴν κατανόησι τοῦ ῥητοῦ], ὑψηλότερης ἀπὸ τὴν πρώτη ἐκείνη· ὥστε, ἀπὸ ἀμηχανία καὶ θαυμασμὸ γιὰ τὴν Χάρι τοῦ Θεοῦ καὶ τὴν ἀνέκφραστη σοφία Του, φθάνει στὸ νὰ φρίττῃ καὶ νὰ τρέμῃ ἐνώπιον «τοῦ Θεοῦ τῶν γνώσεων», ὅπως εἶπε ἡ Προφῆτις Ἄννα, ὅτι «ὁ Κύριος εἶναι Θεὸς γνώσεων».

99. Δὲν ἐννοῶ βέβαια [τὴν γνῶσι ἡ ὁποία ἀποκτᾶται], ἂν κανεὶς ἀκούσῃ ἀπὸ κάποια Γραφὴ ἢ ἄνθρωπο [κάτι], διότι αὐτὸ δὲν εἶναι καθαρότητα τοῦ νοῦ οὔτε ἀποκάλυψι, ἀλλὰ ὅταν κανεὶς λάβῃ τὴν γνῶσι καὶ δὲν ἐμπιστεύεται τὸν ἑαυτό του, μέχρις ὅτου

μαρτυροῦντα τῇ αὐτομάτῳ γνώσει τοῦ ῥητοῦ τῆς Γραφῆς, ἢ τοῦ αἰσθητοῦ ἢ τοῦ νοητοῦ πράγματος. Κἂν ἴσως ἀντὶ τοῦ ἑνὸς σκοποῦ πολλοὺς εὑρίσκῃ, ἢ ἀκούσῃ παρὰ τῆς θείας Γραφῆς ἢ τῶν Ἁγίων Πατέρων, μὴ ἀπιστήσῃ καὶ διαφωνίαν εἶναι τοῦτο δοκήσῃ· διότι εἰσί τινες τοῦ ἑνὸς πράγματος σκοποὶ πολλοί, οἷον τῆς ἐσθῆτος. Ἐὰν οὖν λέγῃ τις ὅτι θερμαίνει καὶ ἄλλος ὅτι κοσμεῖ καὶ ἕτερος πάλιν ὅτι σκέπει, καὶ οἱ τρεῖς ἀληθεύουσιν, ὅτι χρήσιμός ἐστιν ἡ ἐσθὴς εἰς θέρμην, σκέπην τε καὶ κοσμιότητα· καὶ οἱ τρεῖς τοῦ θείου σκοποῦ περὶ τῆς ἐσθῆτος ἐπέτυχον· καὶ μάρτυρα ἔχουσι τὴν θείαν Γραφὴν καὶ τὴν φύσιν τῶν πραγμάτων. Εἰ δέ τις ἅρπαξ ἢ κλέπτης τυγχάνων ἐπὶ νοήμασιν, εἴποι, ὅτι χρήσιμός ἐστιν ἡ ἐσθὴς πρὸς ἁρπαγὴν ἢ κλοπήν, πάντως ψεύδεται· οὔτε γὰρ ἡ Γραφή, οὔτε ἡ φύσις τῶν πραγμάτων μαρτυρεῖ, ὅτι διὰ τοῦτο ἐγένετο· ἐπεὶ καὶ οἱ νόμοι κολάζουσι τὰ τοιαῦτα. [100.]

εὕρῃ τὴν θεία Γραφὴ ἢ κάποιον ἀπὸ τοὺς Ἁγίους νὰ συμφωνῇ μὲ τὴν αὐτόματη [θεϊκὴ] γνῶσι, [ποὺ ἔλαβε], τοῦ ρητοῦ τῆς Γραφῆς, ἢ τοῦ αἰσθητοῦ ἢ τοῦ νοητοῦ πράγματος. Καὶ ἂν ἴσως ἀντὶ τοῦ ἑνὸς σκοποῦ εὑρίσκῃ πολλοὺς [ἄλλους], ἢ ἀκούσῃ ἀπὸ τὴν θεία Γραφὴ ἢ τοὺς ἁγίους Πατέρες, ἂς μὴν ἀπιστήσῃ καὶ νομίσῃ ὅτι αὐτὸ εἶναι διαφωνία· διότι μερικὲς [φορὲς] εἶναι πολλοὶ οἱ σκοποὶ ἑνὸς πράγματος, ὅπως [γιὰ παράδειγμα] τοῦ ἐνδύματος. Ἐὰν λοιπὸν κάποιος λέγῃ, ὅτι [τὸ ἔνδυμα εἶναι] γιὰ νὰ θερμαίνῃ καὶ ἄλλος γιὰ νὰ στολίζῃ καὶ ἄλλος πάλι γιὰ νὰ καλύπτῃ [τὸ σῶμα], καὶ οἱ τρεῖς λέγουν τὴν ἀλήθεια· διότι τὸ ἔνδυμα εἶναι χρήσιμο γιὰ τὴν θέρμανσι καὶ γιὰ τὴν κάλυψι καὶ γιὰ τὸν στολισμό· καὶ οἱ τρεῖς ἐπέτυχαν [νὰ εὕρουν] τὸν θεῖο σκοπὸ γιὰ τὸ ἔνδυμα· καὶ ἔχουν τὴν μαρτυρία [τῆς ἀληθείας] ἀπὸ τὴν θεία Γραφὴ καὶ τὴν φύσι τῶν πραγμάτων. Ἐὰν ὅμως κάποιος, ὁ ὁποῖος εἶναι ἅρπαγας ἢ κλέπτης, εἰπῇ μὲ τὸν νοῦ του, ὅτι τὸ ἔνδυμα χρησιμεύει γιὰ ἁρπαγὴ ἢ κλοπή, ὁπωσδήποτε ψεύδεται· διότι οὔτε ἡ Γραφὴ οὔτε ἡ φύσι τῶν πραγμάτων, μαρτυρεῖ, ὅτι γι᾽ αὐτὸ [τὸν λόγο τὸ ἔνδυμα] ἔγινε·

Ὡσαύτως καὶ περὶ παντὸς πράγματος αἰσθητοῦ καὶ νοητοῦ, ἢ λόγου τῆς θείας Γραφῆς γίνεται. Διότι οἱ Ἅγιοι οὔτε πάντα σκοπὸν Θεοῦ περὶ ἑκάστου πράγματος ἢ γραφικοῦ λόγου γινώσκουσιν, οὔτε πάλιν ἐφάπαξ πάντα τὰ ὑπ᾽ αὐτῶν γινωσκόμενα γράφουσι· τὸ μέν, διότι ὁ Θεὸς ἀκατάληπτός ἐστι καὶ ἡ σοφία αὐτοῦ οὐκ ἔχει πλήρωμα, ὥστε Ἄγγελος ἢ ἄνθρωπος χωρῆσαι πάντα, ὥς φησιν ὁ Χρυσόστομος περί τινος θεωρίας, ὅτι καὶ ἡμεῖς μὲν εἴπομεν περὶ τούτου ὅσα δεῖ εἰπεῖν ἄρτι, ὁ δὲ Θεός, σὺν τοῖς εἰρημένοις, καὶ ἄλλα ἀκατανόητα γινώσκει· τὸ δὲ πάλιν, ὅτι οὐ συμφέρει, ἵνα αὐτοὶ οἱ Ἅγιοι λέγωσιν ὅσα γινώσκουσι διὰ τὴν ἀσθένειαν τῶν ἀνθρώπων καὶ ἵνα μὴ μηκύνηται ὁ λόγος καὶ γίνηται μισητὸς ἢ ἀκατανόητος ἐκ τῆς συγχύσεως, ἀλλ᾽ ἵνα μεμετρημένα τὰ λεγόμενα γίνωνται κατὰ τὸν Θεολόγον. Διὰ τοῦτο γὰρ καὶ σήμερον ὁ αὐτὸς περὶ τοῦ αὐ-

ἐπειδὴ καὶ οἱ νόμοι [τοῦ κράτους] τιμωροῦν αὐτὲς τὶς πράξεις.

100. Τὸ ἴδιο ἀκριβῶς συμβαίνει καὶ μὲ κάθε αἰσθητὸ καὶ νοητὸ πρᾶγμα ἢ λόγο τῆς θείας Γραφῆς. Διότι οἱ Ἅγιοι, οὔτε γνωρίζουν τὸν σκοπὸ τοῦ Θεοῦ γιὰ κάθε πρᾶγμα ἢ Γραφικὸ λόγο, οὔτε πάλι διὰ μιᾶς γράφουν ὅλα ὅσα αὐτοὶ γνωρίζουν· τὸ μὲν [πρῶτο, ὅτι δηλαδὴ οἱ Ἅγιοι δὲν τὰ γνωρίζουν ὅλα, συμβαίνει] διότι ὁ Θεὸς εἶναι ἀκατάληπτος καὶ ἡ σοφία Του δὲν ἔχει ὅρια, ὥστε [νὰ μπορῇ] ὅλα νὰ τὰ χωρέσῃ ἕνας Ἄγγελος ἢ ἄνθρωπος, ὅπως λέγει ὁ Χρυσόστομος[νζʹ] γιὰ κάποια θεωρία, ὅτι καὶ ἐμεῖς μὲν εἴπαμε γι᾽ αὐτὸ ὅσα πρέπει τώρα νὰ ποῦμε, ὁ Θεὸς ὅμως μαζὶ μὲ αὐτὰ ποὺ εἴπαμε, γνωρίζει καὶ ἄλλα, [τὰ ὁποῖα εἶναι] ἀκατανόητα [σ᾽ ἐμᾶς]. Τὸ δὲ [δεύτερο] πάλι, [τὸ ὅτι δηλαδὴ οἱ Ἅγιοι δὲν τὰ ἀποκαλύπτουν ὅλα, συμβαίνει] διότι δὲν συμφέρει νὰ λέγουν οἱ Ἅγιοι [ὅλα] ὅσα γνωρίζουν, λόγῳ τῆς ἀδυναμίας τῶν ἀνθρώπων, [δηλαδὴ τῆς ἀδυναμίας τους νὰ ἀποδεχθοῦν αὐτὴ τὴ γνῶσι] καὶ γιὰ νὰ μὴν μακραίνῃ ὁ λόγος καὶ γίνεται μισητὸς ἢ ἀκατανόητος ἀπὸ τὴν σύγχυσι, ἀλλὰ [καὶ] γιὰ νὰ εἶναι τὰ λεγόμενα με μέτρο,

τοῦ πράγματος ἄλλα λέγει καὶ αὔριον ἄλλα· καὶ οὐκ ἔστι διαφωνία τοῦτο, ἐὰν ἔχῃ γνῶσιν ἢ πεῖραν ὁ ἀκροατὴς τῶν λεγομένων. Καὶ πάλιν, ὁ μὲν ταῦτα λέγει, ὁ δὲ ἄλλα περὶ τοῦ αὐτοῦ λόγου τῆς θείας Γραφῆς, διότι πολλάκις καὶ ταῦτα κἀκεῖνα ἡ χάρις ἡ θεία ἐδωρήσατο κατὰ τοὺς ἀνθρώπους καὶ τὸν καιρόν. Τοῦτο μόνον ἐστὶ τὸ ζητούμενον, ἵνα κατὰ τὸν θεῖον σκοπὸν γίνηται τὸ γινόμενον ἢ λέγηται τὸ λεγόμενον, καὶ ὅπως μαρτυρίαν ἔχῃ ἐκ τῶν θείων Γραφῶν, ἵνα μὴ ἀκούσῃ παρὰ τοῦ Ἀποστόλου, ἀνάθεμα ἔστω, ἐὰν ἕτερον εὐαγγελίζηται, παρὰ τὸν θεῖον σκοπόν, κἂν Ἄγγελός ἐστιν[199], ἢ παρὰ τὴν φύσιν τῶν πραγμάτων· ὥς φασιν ὁ Μέγας Διονύσιος, Ἀντώνιος καὶ Ὁμολογητὴς Μάξιμος· διὰ τοῦτό φησιν ὁ Χρυσόστομος, οὐχ Ἑλλήνων παῖδες ἡμῖν παρέδωκαν ταῦτα, ἀλλ᾽ ἡ ἁγία Γραφή. [101.] Οὐ διαφωνία δέ ἐστι τὸ εἰπεῖν τὴν Γραφὴν περί τινος, ὅτι οὐκ

[ὅπως πρέπει] κατὰ τὸν Θεολόγο [Γρηγόριο][νη']. Γι᾽ αὐτὸ λοιπὸν καὶ ὁ ἴδιος [Ἅγιος] γιὰ τὸ ἴδιο πρᾶγμα, ἄλλα λέγει σήμερα καὶ [ἄλλα] αὔριο· καὶ δὲν εἶναι διαφωνία αὐτό, ἐὰν ὁ ἀκροατὴς ἔχῃ γνῶσι ἢ πεῖρα τῶν λεγομένων. Καὶ πάλι ὁ μὲν ἕνας λέγει αὐτά, ὁ δὲ ἄλλος ἄλλα γιὰ τὸν ἴδιο λόγο τῆς θείας Γραφῆς, διότι πολλὲς φορὲς ἡ θεία Χάρι ἐδώρισε [καὶ] αὐτὰ καὶ ἐκεῖνα, ἀνάλογα μὲ τοὺς ἀνθρώπους καὶ τὴν περίστασι. Αὐτὸ μόνο εἶναι [ἐκεῖνο], τὸ ὁποῖον ἀπαιτεῖται, νὰ γίνεται [δηλαδὴ] ἡ πρᾶξι ἢ νὰ λέγεται ὁ λόγος σύμφωνα μὲ τὸν θεῖο σκοπὸ καὶ νὰ ἔχῃ τὴν μαρτυρία ἀπὸ τὶς θεῖες Γραφές, γιὰ νὰ μὴν ἀκούσῃ ἀπὸ τὸν Ἀπόστολο «ἂς εἶναι ἀνάθεμα», ἂν κηρύττῃ εὐαγγελικὰ λόγια διαφορετικὰ ἀπὸ τὸν θεῖο σκοπὸ καὶ τὴν φύσι τῶν πραγμάτων, ἀκόμα κι ἂν εἶναι Ἄγγελος· ὅπως λέγουν ὁ Μέγας Διονύσιος, ὁ Ἀντώνιος καὶ ὁ ὁμολογητὴς Μάξιμος· γι᾽ αὐτὸ λέγει ὁ Χρυσόστομος[νθ'], δὲν μᾶς τὰ παρέδωσαν αὐτὰ οἱ Ἕλληνες σοφοί, ἀλλὰ ἡ Ἁγία Γραφή.

101. Καὶ δὲν εἶναι διαφωνία τὸ νὰ πῇ ἡ Γραφὴ γιὰ κάποιον, ὅτι δὲν εἶδε τὴν Βαβυλῶνα κατὰ τὴν αἰχμαλωσία· καὶ ἀλλοῦ πάλι, ὅτι

εἶδε τὴν Βαβυλῶνα εἰς τὴν αἰχμαλωσίαν· καὶ πάλιν ἀλλαχόθι, ὅτι ἔλαβον εἰς τὴν Βαβυλῶνα σὺν τοῖς λοιποῖς. Εὑρίσκει γάρ, νουνεχῶς ἀναγινώσκων, εἰς ἕτερον τόπον τῆς Γραφῆς περὶ τοῦ αὐτοῦ, ὅτι ἐτύφλωσαν αὐτὸν καὶ οὕτως ἔλαβον αἰχμάλωτον[200]*· καὶ λοιπὸν εἰσῆλθε μὲν εἰς τὴν Βαβυλῶνα, ὡς εἶπεν ὁ εἷς περὶ αὐτοῦ, καὶ οὐκ εἶδε ταύτην, ὡς εἶπεν ὁ ἄλλος. Καὶ πάλιν, τινὲς ἐξ ἀπειρίας λέγουσιν, ὅτι ἡ πρὸς Ἑβραίους ἐπιστολὴ οὐκ ἔστι Παύλου τοῦ Ἀποστόλου, οὐδὲ ὁ εἷς λόγος τοῦ Ἁγίου Διονυσίου ἐκ τῶν ἑτέρων αὐτοῦ λόγων. Ἀλλ᾽ ἐάν τις προσέχῃ ἐν τοῖς αὐτοῖς λόγοις, εὑρίσκει τὴν ἀλήθειαν· καὶ γὰρ οἱ Ἅγιοι εἰ μὲν φυσικόν ἐστι τὸ πρᾶγμα ἐκ τῆς διοράσεως, ἤγουν τῆς φυσικῆς γνώσεως, ἤτοι τῆς τῶν ὄντων θεωρίας, δηλονότι τῶν κτισμάτων τῆς ἐκ τῆς καθαρότητος τοῦ νοὸς γινομένης, καὶ μετ᾽ ἀκριβείας πάσης λέγουσι τὸν σκοπὸν τοῦ Θεοῦ, καὶ τὰς Γραφὰς ἐρευνῶντες, ὥς φησιν*

τὸν συνέλαβαν [αἰχμάλωτο] στὴν Βαβυλῶνα μαζὶ μὲ τοὺς ἄλλους. Διότι ἐκεῖνος, ὁ ὁποῖος διαβάζει προσεκτικά, εὑρίσκει σὲ ἄλλο μέρος τῆς Γραφῆς γι᾽ αὐτόν, ὅτι τὸν ἐτύφλωσαν κι ἔτσι τὸν συνέλαβαν αἰχμάλωτο· καὶ λοιπὸν πῆγε μὲν στὴν Βαβυλῶνα, ὅπως εἶπε ὁ ἕνας περὶ αὐτοῦ, ἀλλὰ δὲν τὴν εἶδε, ὅπως εἶπε ὁ ἄλλος[ξ΄]. Καὶ πάλι μερικοὶ ἀπὸ ἀπειρία λέγουν, ὅτι ἡ Πρὸς Ἑβραίους Ἐπιστολὴ δὲν εἶναι [γνησία] τοῦ Ἀποστόλου Παῦλου[ξα΄], οὔτε ὁ ἕνας λόγος τοῦ Ἁγίου Διονυσίου [τοῦ Ἀρεοπαγίτου] εἶναι δικός του[ξβ΄], σὲ σχέσι μὲ τοὺς ἄλλους λόγους του. Ἀλλὰ ἂν κανεὶς προσέχῃ σ᾽ αὐτοὺς τοὺς λόγους, εὑρίσκει τὴν ἀλήθεια· διότι καὶ οἱ Ἅγιοι, ἂν μὲν πρόκειται γιὰ φυσικὸ πρᾶγμα, [τότε τὸ ἀντιλαμβάνονται] ἀπὸ τὴν διόρασι, δηλαδὴ τὴν φυσικὴ γνῶσι ἢ τὴν θεωρία τῶν ὄντων, δηλαδὴ τῶν κτισμάτων, ἡ ὁποία προέρχεται ἀπὸ τὴν καθαρότητα τοῦ νοῦ, καὶ [ἔτσι] μὲ κάθε ἀκρίβεια λέγουν τὸν σκοπὸ τοῦ Θεοῦ καὶ ἐπειδὴ ἐρευνοῦν τὶς Γραφές, ὅπως λέγει ὁ Χρυσόστομος, [ὅπως] ἐκεῖνοι, ποὺ θέλουν νὰ ἀνακαλύψουν ἀπὸ τὰ μεταλλεῖα τῆς γῆς τὸν χρυσὸ[ξγ΄] καὶ πῶς βρίσκουν

ὁ Χρυσόστομος, περὶ τῶν θελόντων εὑρεῖν ἐκ τῶν μετάλλων τῆς γῆς τὸ χρυσίον, καὶ πῶς τὰ λεπτότατα τῶν φλεβῶν ἐξευρίσκουσιν, ἵνα μὴ ἰῶτα ἓν ἢ μία κεραία πεσῆται[201], ὥς φησιν ὁ Κύριος· καὶ τὸ μὲν ἰῶτα τὸ δέκατόν ἐστι ψηφίον, ἡ δὲ κεραία ἐστὶν ἡ λεγομένη μακρά, ἧς χωρὶς οὐ δυνάμεθα γράφειν ὀρθῶς. [102.] Καὶ ταῦτα μὲν περὶ τῶν κατὰ φύσιν πραγμάτων εἴρηται. Ὅταν δὲ ὑπὲρ φύσιν πρᾶγμα αἰσθητὸν ἢ νοητὸν γινόμενον καὶ ῥῆμα γραφικὸν διὰ τῆς προοράσεως καὶ ἀποκαλύψεως γινώσκουσιν, ἐὰν δίδωται αὐτοῖς γνῶσις περὶ τούτου ὑπὸ τοῦ Ἁγίου Πνεύματος· εἰ δ᾽ ἴσως οὐ δίδοται, ἀλλὰ πρὸς τὸ συμφέρον ἀκατάληπτον μένει, οὐκ αἰσχύνονται λέγειν τὴν ἀλήθειαν καὶ ὁμολογεῖν τὴν ἀνθρωπίνην ἀσθένειαν, ἐν τῷ λέγειν, οὐκ οἶδα, ὁ Θεὸς οἶδε[202], κατὰ τὸν Ἀπόστολον· καὶ ὥς φησιν ὁ Σολομών, τρία ἀγνοῶ καὶ τὸ τέταρτον οὐκ ἐπίσταμαι[203]· καὶ ὁ Χρυ-

ἀκόμα καὶ τὶς πιὸ λεπτὲς ἀπὸ τὶς φλέβες, γιὰ νὰ μὴν πάῃ χαμένο οὔτε ἕνα «ἰῶτα» ἢ μία «κεραία»[ξδ'], ὅπως λέγει ὁ Κύριος· καὶ τὸ μὲν ἰῶτα εἶναι τὸ δέκατο [καὶ μικρότερο] ψηφίο [τῆς ἀλφαβήτου], ἡ δὲ κεραία εἶναι ἡ λεγομένη παῦλα[ξε'] [μικρότατο σημεῖο γραφῆς, στίξεως ἢ τονισμοῦ], χωρὶς τὴν ὁποία δὲν μποροῦμε νὰ γράφωμε σωστά.

102. Καὶ αὐτὰ μὲν ἔχουν λεχθῆ γιὰ τὰ φυσικὰ πράγματα. Ὅταν ὅμως τὸ πρᾶγμα εἶναι ὑπερφυσικό, αἰσθητὸ ἢ νοητὸ καὶ λόγος γραφικός, [τότε] τὸ γνωρίζουν [οἱ Ἅγιοι] μὲ τὴν προόρασι καὶ τὴν ἀποκάλυψι, ἐὰν [βεβαίως] τοὺς δίνεται ἡ γνῶσι γι᾽ αὐτὸ ἀπὸ τὸ Ἅγιο Πνεῦμα. Ἂν δὲ ἴσως δὲν τοὺς δίνεται [ἡ γνῶσι], ἀλλὰ παραμένει ἀκατανόητο γιὰ τὸ συμφέρον τους, δὲν αἰσθάνονται ἐντροπὴ νὰ λέγουν τὴν ἀλήθεια καὶ νὰ ὁμολογοῦν τὴν ἀνθρώπινη ἀδυναμία τους, μὲ τὸ νὰ λέγουν· «δὲν γνωρίζω, ὁ Θεὸς γνωρίζει», κατὰ τὸν Ἀπόστολο· καὶ ὅπως λέγει ὁ Σολομών· «τρία ἀγνοῶ καὶ τὸ τέταρτο δὲν τὸ γνωρίζω»[ξστ']. Καὶ ὅπως [εἶπε] πάλι ὁ Χρυσόστομος, «ἐγὼ δὲν γνωρίζω, ἀλλὰ κι ἂν μὲ

σόστομος πάλιν, ἐγὼ οὐκ οἶδα, ἀλλὰ κἂν ἄπιστόν με καλέσωσιν οἱ αἱρετικοί, καλεσάτωσαν καὶ μωρόν. Καὶ ἁπλῶς, οὗτοι οἱ τὴν διπλῆν σοφίαν ἔχοντες, τὴν ἄνωθεν σοφίαν προετίμησαν· ἐχρήσαντο δὲ καὶ τῇ ἔξω παιδείᾳ σοφῶς ἐν μεμετρημένῳ σκοπῷ τῷ Ἀποστολικῷ στοιχοῦντες κανόνι, ἵνα μὴ εἰς τὰ ἄμετρα καυχήσωνται[204]*, ὡς οἱ Αἰγύπτιοι ἐκεῖνοι, οἱ χλευάζοντες τὸ πεζὸν τῆς λέξεως Βαρνάβα τοῦ Ἀποστόλου, ἀγνοοῦντες, ὅτι ῥήματα ζωῆς αἰωνίου*[205] *εἶχε τὸ κήρυγμα αὐτοῦ, ὥς φασι τὰ κλημέντια. [103.] Καὶ γὰρ πάσχομεν πολλοὶ τοῦτο, ὅταν ἀκούσωμεν τινὸς λαλοῦντος ἑτέραν λέξιν καὶ γελῶμεν, κἂν ἴσως σοφὸς τυγχάνῃ ἐκεῖνος εἰς τὴν ἰδίαν γλῶσσαν καὶ περὶ μυστηρίων φρικτῶν λέγει. Ἀλλὰ τοῦτο μὲν ἐξ ἀπειρίας γίνεται. Οἱ δὲ Πατέρες καὶ ἑκόντες ἔγραψαν ἁπλᾶ κατὰ τὸν καιρὸν καὶ τοὺς ἀνθρώπους πρὸς οὓς ἔγραφον· ὥς φησιν ὁ Ἅγιος Γρηγόριος Νύσσης,*

ἀποκαλέσουν οἱ αἱρετικοὶ ἄπιστο, ἂς μὲ ἀποκαλέσουν καὶ ἀνόητο». Καὶ γενικά, αὐτοὶ οἱ ὁποῖοι ἔχουν τὴν διπλῆ σοφία [τὴν οὐράνια καὶ τὴν ἐπίγεια], προτίμησαν τὴν οὐράνια σοφία· χρησιμοποίησαν ὅμως καὶ τὴν κοσμικὴ παιδεία σοφά, μὲ μέτρο καὶ γιὰ συγκεκριμένο σκοπό, ἀκολουθώντας τὸν ἀποστολικὸ κανόνα, γιὰ νὰ μὴν καυχηθοῦν γιὰ ἀνάρμοστα [πράγματα], ὅπως ἐκεῖνοι οἱ Αἰγύπτιοι, οἱ ὁποῖοι ἐχλεύαζαν τὸν ἁπλοϊκὸ λόγο τοῦ Ἀποστόλου Βαρνάβα[ξζ΄], ἐπειδὴ ἀγνοοῦσαν, ὅτι τὸ κήρυγμά του περιεῖχε «λόγους ζωῆς αἰωνίου», ὅπως λέγουν τὰ Κλημέντια[ξη΄].

103. Καὶ πράγματι πολλοὶ τὸ παθαίνομε αὐτό, ὅταν ἀκούσωμε κάποιον νὰ ὁμιλῇ σὲ ἄλλη γλῶσσα καὶ γελοῦμε, ἀκόμα κι ἂν εἶναι σοφὸς ἐκεῖνος στὴ δική του γλῶσσα καὶ ὁμιλεῖ περὶ φρικτῶν μυστηρίων. Ἀλλὰ αὐτὸ γίνεται ἀπὸ ἔλλειψι πείρας. Οἱ Πατέρες ὅμως, μὲ τὴν θέλησί τους ἔγραψαν ἁπλᾶ, ἀνάλογα μὲ τὴν χρονικὴ περίοδο καὶ τοὺς ἀνθρώπους, πρὸς τοὺς ὁποίους ἔγραφαν· ὅπως λέγει ὁ ἅγιος Γρηγόριος Νύσσης[ξθ΄], ἐγκωμιάζοντας

ἐγκωμιάζων τὸν Ἅγιον Ἐφραίμ, ὅτι, σοφὸς ὤν, ἔγραψεν ἁπλᾶ, καὶ ὅτι πολύπειρος ὢν εἰς τὰ δόγματα θαυμάσας ἔφη, πῶς ἐκόλλησεν ἐπιστημόνως τὰ χαρτία τῶν κατηραμένων βιβλίων τοῦ νηπιόφρονος ἐκείνου αἱρετικοῦ, καὶ πῶς ἐξ ὑπερηφανίας ἐκεῖνος μὴ δυνάμενος φέρειν τὴν αἰσχύνην ἐξέψυξεν. Ὑπὲρ φύσιν γάρ ἐστιν ἡ ἁγία ταπείνωσις καὶ οὐ δύναται ταύτην ἔχειν ὁ ἄπιστος, ἀλλὰ παρὰ φύσιν ἡγεῖται, ὥς φησιν ὁ Μέγας Διονύσιος περὶ τῶν τοιούτων πρὸς τὸν Ἅγιον Τιμόθεον γράφων· ὅτι τοῖς παλαιοῖς παρὰ φύσιν φαίνεται ἡ τῶν νεκρῶν ἀνάστασις· ἐμοὶ δὲ καὶ σοὶ καὶ τῇ ἀληθείᾳ, οὐ παρὰ φύσιν, ἀλλ᾽ ὑπὲρ φύσιν ἐστί· καὶ τοῦτο, ὅσον πρὸς ἡμᾶς· πρὸς δὲ τὸν Θεὸν οὐδὲ ὑπὲρ φύσιν, ἀλλὰ φυσικῶς· τὸ γὰρ πρόσταγμα τοῦ Θεοῦ, φύσις αὐτοῦ ἐστιν. [104.] Οἱ δὲ Πατέρες τὴν ταπείνωσιν μᾶλλον ἔργῳ καὶ λόγῳ φιλοῦσιν, ὡς ὁ γράψας τὸ Γεροντικόν, καίτοι γε Ἐπίσκοπος ὢν καὶ διὰ

τὸν ἅγιο Ἐφραίμ, ὅτι ἂν καὶ ἦταν σοφός, ἔγραψε ἁπλᾶ, [καὶ ἀκόμα] λέγει μὲ θαυμασμό, γιὰ τὸ πῶς, ἂν καὶ ἦταν πολύπειρος στὰ δόγματα, κόλλησε μὲ ἐπιδεξιότητα τὰ φύλλα τῶν καταραμένων βιβλίων, ἐκείνου τοῦ μωροῦ αἱρετικοῦ[4] καὶ πῶς ἐκεῖνος ἀπὸ ὑπερηφάνεια, μὴ μπορώντας νὰ ὑποφέρῃ τὴν ντροπὴ ἐξεψύχησε. Διότι ἡ ἁγία ταπείνωσι εἶναι ὑπὲρ φύσι καὶ δὲν μπορεῖ νὰ τὴν ἔχῃ ὁ ἄπιστος, ἀλλὰ τὴν θεωρεῖ ὡς παρὰ φύσι, ὅπως λέγει ὁ Μέγας Διονύσιος περὶ αὐτῶν, γράφοντας πρὸς τὸν ἅγιο Τιμόθεο[σ΄]· ὅτι στοὺς ἀρχαίους ἡ ἀνάστασι τῶν νεκρῶν φαίνεται [γεγονὸς] παρὰ φύσι· σὲ μένα ὅμως καὶ σὲ σένα καὶ κατ᾽ ἀλήθειαν δὲν εἶναι παρὰ φύσι, ἀλλὰ ὑπὲρ φύσι· καὶ αὐτὸ ὅσον ἀφορᾶ ἐμᾶς [τὴν δική μας ἀντίληψι]· ὅσον ὅμως ἀφορᾶ τὸν Θεό, δὲν εἶναι ὑπὲρ φύσι ἀλλὰ φυσικό· διότι ἡ προσταγὴ τοῦ Θεοῦ εἶναι [ἰδίωμα] τῆς φύσεως[5] Αὐτοῦ.

104. Οἱ Πατέρες ὅμως ἀγαποῦν τὴν ταπείνωσι περισσότερο μὲ ἔργο καὶ λόγο, ὅπως ἐκεῖνος ποὺ ἔγραψε τὸ Γεροντικό, [ὁ ὁποῖος] ἂν καὶ ἦταν Ἐπίσκοπος καὶ ἐξο-

Χριστὸν ἐξωρισμένος· φησὶ γάρ περὶ ῥάκους τινὸς παρθένου, ὅτι καὶ ἔλαβον αὐτὸ ἐγώ, ἵνα εὐλογηθῶ. Καὶ οἱ Ἅγιοι Πατέρες Δωρόθεος καὶ Κασσιανός, σοφοὶ ὄντες, ἔγραψαν ἁπλᾶ. Τοῦτο δὲ εἴρηται, ἵνα μή τις δοκῇ, ὅτι ἐξ ὑπερηφανίας ἔγραψάν τινες δεινά, ἢ πάλιν ἐξ ἀφελείας ἄλλοι ἁπλᾶ· ἀλλ᾽ ὅτι ὁ μὲν νοῦς τῶν ἀμφοτέρων εἷς ἐστι καὶ ἐξ ἑνὸς Ἁγίου Πνεύματος διδόμενος· ὁ δὲ σκοπὸς πρὸς ὠφέλειαν πάντων ἦν. Διότι εἰ ἔγραψαν ἁπλᾶ πάντες, οὐδεὶς τῶν δεινῶν ὠφελήθη ποτέ· εἰς οὐδὲν γὰρ ἡγεῖτο ταῦτα, διὰ τὸ πεζὸν τῆς λέξεως· ἀλλ᾽ οὐδὲ πάλιν τις τῶν ἁπλουστέρων ὠφελήθη, εἰ ἔγραψαν πάντες δεινά, ἐκ τοῦ μὴ νοεῖν τὴν δύναμιν τῶν λεγομένων. Καὶ ὁ μὲν ἔχων πεῖραν τῆς θεωρίας τῶν Γραφῶν, γινώσκει ὅτι ὁ νοῦς τοῦ ἁπλουστάτου ῥητοῦ τῆς Γραφῆς καὶ τοῦ καθ᾽ ὑπερβολὴν σοφωτάτου, εἷς ἐστι καὶ πρὸς τὸ σῶσαι τὸν ἄνθρωπον βλέπει. Ὁ δὲ ταύτης

ρισμένος γιὰ τὴν [ἀγάπη] τοῦ Χριστοῦ, λέγει ὅμως γιὰ κάποιο φθαρμένο καὶ σχισμένο ροῦχο μιᾶς Παρθένου [Μοναχῆς], ὅτι «τὸ πῆρα κι ἐγὼ [αὐτὸ] γιὰ νὰ εὐλογηθῶ»[οα΄]. Καὶ οἱ ἅγιοι Πατέρες Δωρόθεος καὶ Κασσιανός, ἂν καὶ ἦταν σοφοί, ἔγραψαν ἁπλᾶ. Αὐτὸ δὲ λέγεται γιὰ νὰ μὴν νομίσῃ κανείς, ὅτι ἀπὸ ὑπερηφάνεια ἔγραψαν μερικοὶ δυσκολονόητα, ἢ πάλι ἄλλοι [ἀντιθέτως] ἀπὸ ἀφέλεια [ἔγραψαν ἁπλᾶ]· ἀλλὰ ὅτι ἡ μὲν ἔννοια [τοῦ περιεχομένου] καὶ τῶν δύο εἶναι μία καὶ δίνεται ἀπὸ τὸ ἴδιο Ἅγιο Πνεῦμα· ὁ δὲ σκοπὸς ἦταν πρὸς ὠφέλεια ὅλων. Διότι ἂν ἔγραφαν ὅλοι ἁπλᾶ, κανεὶς ἀπὸ τοὺς λογίους δὲν θὰ ὠφελῆτο ποτέ· διότι θὰ τὰ θεωροῦσε ἀνάξια λόγου, ἐξ αἰτίας τῆς ἁπλότητας τοῦ λόγου· ἀλλὰ οὔτε πάλι κάποιος ἀπὸ τοὺς πιὸ ἁπλοὺς θὰ ὠφελῆτο, ἐὰν ὅλοι ἔγραφαν δυσκολονόητα, ἐπειδὴ δὲν θὰ κατανοοῦσε τὸ νόημα τῶν λόγων. Καὶ ἐκεῖνος μέν, ὁ ὁποῖος ἔχει πεῖρα τῆς θεωρίας τῶν Γραφῶν, γνωρίζει ὅτι τὸ νόημα τοῦ πιὸ ἁπλοῦ ρητοῦ τῆς Γραφῆς καὶ τοῦ πιὸ σοφοῦ εἶναι ἕνα [καὶ τὸ αὐτὸ] καὶ ἀποβλέπει στὸ νὰ σώσῃ τὸν ἄνθρωπο. Ἐκεῖνος ὅμως,

ἄμοιρος ὤν, σκανδαλίζεται πολλάκις, ἀγνοῶν ὅτι μεγάλως συνεργεῖ ἡ κάτω παιδεία, ὅταν ὄχημα γένηται τῆς ἄνωθεν σοφίας τοῦ Πνεύματος. Διότι ἡ μέν, νοήματα φωτεινά, ἡ δέ, δύναμιν λόγου δίδωσιν, ἐὰν ἔχῃ τὴν φρόνησιν σταθερὰν καὶ τὴν ταπεινοφροσύνην[ιβ'] *σύνοικον, δι' ἧς καὶ φοβεῖται τὴν ἀφροσύνην καὶ τὸ ὑπερφρονεῖν, καὶ φρονεῖ εἰς τὸ σωφρονεῖν*[206]*, κατὰ τὸν Ἀπόστολον. [105.] Ὥσπερ τοίνυν τὸ ἀμήν, τὸ λεγόμενον εἰς τὸ κατὰ Λουκᾶν ἀληθῶς*[207]*, σταθερός ἐστιν ὁ λόγος βεβαιῶν τὰ πρὸ αὐτοῦ λεγόμενα, οὕτω καὶ ἡ φρόνησις, σταθερὰ νόησίς ἐστι, δυναμένη φυλάττειν τὴν ἀλήθειαν. Τὸ γὰρ ἀμὴν δηλοῖ τὸ μόνιμον τῆς νέας χάριτος, διὸ καὶ εἰς μὲν τὴν παλαιὰν Διαθήκην οὐδ' ὅλως εὑρίσκεται, διότι τύπος ἦν, ἐν δὲ τῇ Νέᾳ χάριτι πανταχοῦ λέγεται διὰ τὸ μένειν αὐτὴν εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.*

ὁ ὁποῖος δὲν ἔχει αὐτὴ [τὴν πεῖρα], πολλὲς φορὲς σκανδαλίζεται, ἀγνοώντας ὅτι ἡ κοσμικὴ παιδεία συνεργεῖ πολὺ [στὴν σωτηρία], ὅταν γίνεται ὄχημα τῆς ἐκ τῶν ἄνω [διδομένης ἐκ Θεοῦ] σοφίας τοῦ Πνεύματος. Διότι ἡ μὲν [ἐκ Θεοῦ σοφία] δίνει φωτεινὰ νοήματα, ἐνῶ ἡ [κοσμικὴ σοφία] δίνει τὴν δύναμι στὸ λόγο, ἂν κανεὶς ἔχῃ σταθερὴ τὴν φρόνησι καὶ συγκάτοικο τὴν ταπεινοφροσύνη, μὲ τὴν ὁποία καὶ φοβεῖται τὴν ἀφροσύνη καὶ τὴν ὑψηλοφροσύνη καὶ ἔχει «φρόνημα σωφροσύνης», κατὰ τὸν Ἀπόστολο.

105. Ὅπως λοιπὸν τὸ «Ἀμήν», τὸ ὁποῖο λέγεται στὸ κατὰ Λουκᾶν [Εὐαγγέλιο] καὶ [σημαίνει] «ἀληθῶς», εἶναι σταθερὸς λόγος, ὁ ὁποῖος ἐπιβεβαιώνει ὅσα ἐλέχθηκαν προηγουμένως, ἔτσι καὶ ἡ φρόνησι εἶναι σταθερή νόησι, ἡ ὁποία μπορεῖ νὰ διαφυλάσσῃ τὴν ἀλήθεια. Διότι τὸ «Ἀμὴν» δηλώνει τὴν μονιμότητα τῆς Νέας Χάριτος, γι' αὐτὸ καὶ εἰς μὲν τὴν Παλαιὰ Διαθήκη, ἡ ὁποία ἦταν προτύπωσι [τῆς Καινῆς], δὲν ἀναφέρεται καθόλου, ἐνῶ στὴν Νέα [Διαθήκη] τῆς Χάριτος λέγεται παντοῦ· διότι αὐτὴ μένει εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ω τὸ μέγα νῦν καὶ εἰκοστὸς τέταρτος.
Λόγος ὁ παρὼν αἴσθησιν τῇ καρδίᾳ
Φέρει, ἵνα τις γινώσκῃ τὸ συμφέρον.
Νῦν δὲ τὴν ἀρχὴν εὐλόγησον, ὦ Πάτερ.

Ὠμέγα νὰ καὶ εἰκοστὸς τέταρτος λόγος,
Ποὺ μέσ᾽ τὴν καρδιὰ αἴσθησι ἀνεβάζει,
Πῶς τὸ συμφέρον καθένας νὰ γνωρίζῃ.
Τώρα λόγου τὴν ἀρχὴν εὐλόγησον, ὦ Πάτερ.

ΛΟΓΟΣ ΚΔ΄ [Ω, 24ος]

[106.] Ὢ πόσα δάκρυα ἤθελον ἔχειν, ὅταν ἐκ μέρους ἴδω ἐμαυτόν· ὅτι, ἂν μὴ ἁμαρτήσω, ἐξ ἀπονοίας ἐπαίρομαι· εἰ δὲ ἁμαρτήσω καὶ δυνηθῶ τοῦ ἰδεῖν, ἐξ ἀπορίας ἀθυμῶ καὶ εἰς ἀπόγνωσιν ἔρχομαι. Ἐὰν δὲ πρὸς τὴν ἐλπίδα καταφύγω, πάλιν ἡ ἀπόνοια ἔρχεται. Ἐὰν δὲ κλαύσω, εἰς οἴησίν μοι γίνεται, καὶ ἐὰν μὴ κλαύσω, πάλιν τὰ πάθη ἔρχονται. Ἡ ζωή μου, θάνατος καὶ ὁ θάνατος, χείρων διὰ τὸν φόβον τῆς κολάσεως· ἡ προσευχή μου, πειρασμός μοι γίνεται, καὶ ἡ ἀπροσεξία, ἀπώλεια· ὁ τιθεὶς γνῶσιν, προσέθηκεν ἄλγημα[208],

106. Ὢ πόσα δάκρυα ἔπρεπε νὰ ἔχω, ὅταν [ἔστω καὶ] λίγο κοιτάξω τὸν ἑαυτό μου· διότι, ἂν δὲν ἁμαρτήσω, ἀπὸ ἀλαζονεία ὑπερηφανεύομαι· ἂν ὅμως ἁμαρτήσω καὶ μπορέσω νὰ δῶ [τὴν ἁμαρτία μου], ἀπὸ τὴν ἔκπληξι καὶ ἀμηχανία πέφτω σὲ ἀθυμία καὶ φθάνω στὴν ἀπόγνωσι. Ἐὰν δὲ καταφύγω στὴν ἐλπίδα, πάλι ἔρχεται ἡ ἀλαζονεία. Ἐὰν δὲ κλάψω, [αὐτὸ] μοῦ φέρνει ὑπεροψία καὶ ἐὰν δὲν κλάψω, πάλι ἐπανέρχονται τὰ πάθη. Ἡ ζωή μου [εἶναι ἕνας] θάνατος καὶ [ἡ αἴσθησι αὐτὴ] τοῦ θανάτου, [εἶναι] χειρότερη ἐξ αἰτίας τοῦ φόβου τῆς κολάσεως. Ἡ προσευχή μοῦ γίνεται δοκιμασία καὶ ἡ ἀπροσεξία ἀπώλεια· «ἐκεῖνος ποὺ προσθέτει

φησὶν ὁ Σολομών. Ἀπορῶ καὶ ἐξίσταμαι καὶ ἀγνοῶ τι ποιῆσαι· εἰ δὲ ἴσως γινώσκω, καὶ οὐ ποιῶ, πρὸς κατάκρισίν μοι ἡ γνῶσις· οἴμοι· τί αἱρήσομαι! [107.] Πάντα μοι ἐξ ἀγνωσίας ἐναντία φαίνονται καὶ οὐ δύναμαι ἰσάζειν τι τῶν τοιούτων. Οὐχ εὑρίσκω δὲ τὴν κεκρυμμένην ἀρετὴν καὶ τὴν σοφίαν ἐν τοῖς πειρασμοῖς, διότι οὐκ ἔχω ὑπομονήν· ἀλλὰ φεύγων ἐκ τῆς ἡσυχίας διὰ τοὺς λογισμούς, εὑρίσκω ἔξω τὰ πάθη ἐν τῷ πειρασμῷ διὰ τῶν αἰσθήσεων. Ἀσιτίαν εἰ θελήσω ἔχειν καὶ ἀγρυπνίαν, εὑρίσκω τὴν οἴησιν καὶ τὴν ἀτονίαν ἐμπόδιον· ἐσθίω καὶ ὑπνώττω ἀφειδῶς, εἰς τὸ ἁμαρτάνειν ἔρχομαι ἄκων. Ἐκ πάντων συστέλλομαι καὶ φεύγω διὰ τὸν φόβον τῆς ἁμαρτίας, καὶ ἡ ἀκηδία πάλιν καταλύει με, καίτοι γε ὁρῶν πολλοὺς ἐκ τῶν τοιούτων πολέμων καὶ πειρασμῶν στεφάνους λαμβάνοντας, διότι ἔχουσι πίστιν βεβαίαν, δι᾽ ἧς τὸν θεῖον φόβον ἔλαβον καὶ διὰ τοῦ φόβου τῶν λοιπῶν ἀρετῶν ἐπέτυ-

γνῶσι προσθέτει πόνο», λέγει ὁ Σολομών. Ἀπορῶ καὶ ἐξίσταμαι καὶ δὲν ξέρω τί νὰ κάνω· ἂν δὲ ἴσως γνωρίζω καὶ δὲν τὸ κάνω, ἡ γνῶσι [ἀποβαίνει] σὲ καταδίκη μου· ἀλλοίμονο, τί νὰ ἐπιλέξω! 107. Ὅλα ἀπὸ τὴν ἀγνωσία μοῦ φαίνονται ἐνάντια καὶ δὲν μπορῶ κανένα ἀπὸ αὐτὰ νὰ τὸ εὐθυγραμμίσω [μὲ τὸ ἄλλο]. Δὲν διακρίνω τὴν κρυμμένη ἀρετὴ καὶ τὴν σοφία, [ποὺ ἀποκομίζει κανεὶς ἀπὸ τὴ σωστὴ στάση του] στοὺς πειρασμούς, διότι δὲν ἔχω τὴν ὑπομονή· ἀλλὰ φεύγοντας ἀπὸ τὴν ἡσυχία, ἐξ αἰτίας τῶν λογισμῶν [ποὺ μὲ πνίγουν], βρίσκω ἔξω [ἀπὸ τὴν ἡσυχία μου] τὰ πάθη, [τὰ ὁποῖα προκαλεῖ] ὁ πειρασμός, μέσῳ τῶν αἰσθήσεων. Ἂν θελήσω νὰ ἀσκήσω νηστεία καὶ ἀγρυπνία, βρίσκω ἐμπόδιο τὴν ὑπερηφάνεια καὶ τὴν ἀτονία [τοῦ σώματος]· [ἐὰν] τρώγω καὶ κοιμᾶμαι χωρὶς μέτρο, ἔρχομαι στὴν ἁμαρτία, χωρὶς νὰ τὸ θέλω. Ἀπὸ ὅλα περιορίζομαι καὶ ἀπομακρύνομαι, ἀπὸ φόβο γιὰ τὴν ἁμαρτία, καὶ πάλι ἡ ἀκηδία μὲ παραλύει, ἂν καὶ βλέπω πολλοὺς νὰ λαμβάνουν στεφάνους ἀπὸ αὐτοῦ τοῦ εἴδους τοὺς πολέμους καὶ πειρασμούς, διότι ἔχουν σταθερὴ πίστι, μὲ τὴν ὁποία ἀπέκτησαν τὸν θεῖο φόβο καὶ μὲ

χον τῆς ἐργασίας. Εἰ γὰρ εἶχον κἀγὼ τὴν πίστιν ὡς ἐκεῖνοι, εὗρον ἂν τὸν φόβον, δι᾽ οὗ τὴν εὐσέβειαν, κατὰ τὸν Προφήτην, καὶ τὴν γνῶσιν ἔλαβον, ἐξ ἧς ἡ ἰσχὺς καὶ βουλή, ἡ σύνεσις καὶ ἡ σοφία[209] *τοῦ Πνεύματος γίνονται τοῖς παραμένουσι τῷ Θεῷ ἐν ἀμεριμνίᾳ καὶ σχολῇ ἐν ταῖς θείαις Γραφαῖς μεθ᾽ ὑπομονῆς, δι᾽ ἧς πάντα τά τε ἄνω καὶ κάτω ἴσα γίνονται. [108.] Ὅταν γὰρ ἓν πάθος εἰς ἀρετὴν μετασχηματίζηται, ὁ χρόνος καὶ ἡ πεῖρα κατάδηλον ποιεῖν πέφυκεν. Ὅταν δὲ πάλιν ἡ ἀρετὴ πρὸς πάθος ἐκκλίνῃ, ὁ χρόνος καὶ ἡ πεῖρα χωρίζειν εἴωθεν διὰ τῆς ὑπομονῆς. Εἰ μὴ γὰρ αὕτη ἐκ πίστεως γεννᾶται ἐν τῇ ψυχῇ, οὐδ᾽ ὅλως ἀρετὴν δύναται ἔχειν. Ἐν τῇ ὑπομονῇ ἡμῶν [recte: ὑμῶν] κτήσασθε τὰς ψυχὰς ὑμῶν*[210]*, φησὶν ὁ Κύριος, ὁ κτίσας κατὰ μόνας τὰς καρδίας τῶν ἀνθρώπων*[211]*, ὥς φησιν ὁ ψαλμῳδός· κἀκ τούτου δῆλον ὅτι κατὰ μόνας κτίζεται ἡ καρδία, ἤγουν ὁ νοῦς, διὰ τῆς ὑπομονῆς τῶν*

τὸν φόβο ἐπέτυχαν τὴν ἐργασία τῶν ὑπολοίπων ἀρετῶν. Διότι ἂν εἶχα καὶ ἐγὼ τὴν πίστι, ὅπως ἐκεῖνοι, θὰ ἀποκτοῦσα [καὶ ἐγὼ] τὸν φόβο, μὲ τὸν ὁποῖο ἔλαβαν τὴν εὐσέβεια καὶ τὴν γνῶσι, κατὰ τὸν Προφήτη [Ἡσαΐα], ἀπὸ τὴν ὁποία προέρχεται «ἡ δύναμι καὶ ἡ βούλησι, ἡ σύνεσι καὶ ἡ σοφία τοῦ Πνεύματος», σ᾽ ὅσους παραμένουν κοντὰ στὸ Θεὸ μὲ ἀμεριμνησία καὶ σπουδὴ στὶς θεῖες Γραφὲς μὲ τὴν ὑπομονή, διὰ τῆς ὁποίας ὅλα ἐξομοιώνονται καὶ τὰ οὐράνια καὶ τὰ ἐπίγεια.

108. Διότι ὅταν ἕνα πάθος ἐμφανίζεται μὲ τὸ σχῆμα τῆς ἀρετῆς, ὁ χρόνος καὶ ἡ πεῖρα τὸ καθιστοῦν φανερό. Ὅταν δὲ πάλι ἡ ἀρετὴ παρεκκλίνῃ σὲ πάθος, ὁ χρόνος καὶ ἡ πεῖρα συνήθως [τὴν] ξεχωρίζουν [ἀπὸ αὐτὸ] μὲ τὴν ὑπομονή. Βεβαίως, ἂν αὐτὴ [δηλαδὴ ἡ ὑπομονὴ] δὲν γεννιέται στὴν ψυχὴ ἀπὸ τὴν πίστι, δὲν μπορεῖ καθόλου νὰ ἔχῃ ἀρετή. «Μὲ τὴν ὑπομονή σας θὰ σώσετε τὶς ψυχές σας», λέγει ὁ Κύριος· «ὁ Ὁποῖος ἔπλασε κατὰ μόνας τὶς καρδίες τῶν ἀνθρώπων», ὅπως λέγει ὁ Ψαλμωδός· καὶ ἀπὸ αὐτὸ γίνεται φανερό, ὅτι μόνη της κτίζεται ἡ καρδία, δηλαδὴ ὁ νοῦς, μὲ τὴν ὑπομονὴ τῶν ἐπερχομένων

ἐπερχομένων. Ὁ γὰρ πιστεύων ὅτι ἔχει ἄλλον τινὰ ἀοράτως κυβερνῶντα αὐτοῦ τὴν ζωήν, πότε πείθεται τῷ ἰδίῳ λογισμῷ λέγοντι, τοῦτο θέλω ἢ τοῦτο οὐ θέλω; τοῦτο καλὸν ἢ τοῦτο κακόν; Εἰ μὲν ἔχει τινὰ κυβερνήτην αἰσθητόν, ὀφείλει ἐρωτᾶν εἰς πᾶν πρᾶγμα καὶ διὰ τῶν ὠτίων δέχεσθαι τὴν ἀπόκρισιν καὶ ἔργῳ πληροῦν τὰ λεγόμενα. Εἰδὲ οὐκ ἔχει τινά, ἔχει κατὰ τὸν Εὐχαΐτην, τὸν Χριστόν· καὶ διὰ μὲν προσευχῆς ἀπὸ καρδίας, ἐρωτᾶν αὐτόν, ἐκ πίστεως δὲ ἐλπίζει τὴν ἀπόκρισιν ἔργῳ καὶ λόγῳ, ἵνα μὴ ὁ σατανᾶς, μὴ δυνάμενος ἔργῳ ποιεῖν, ἀποκρίνηται τῷ λόγῳ σχηματίζων ἑαυτὸν κυβερνήτην εἶναι, καὶ πρὸς ἀπώλειαν τοὺς μὴ ὑπομονὴν ἔχοντας ἕλκῃ. Σπουδάζουσι γὰρ ἐξ ἀγνωσίας λαβεῖν, ἅπερ οὐδέποτε δίδοται αὐτοῖς, ὅτι ἡμέρα μία ἐν ὀφθαλμοῖς Κυρίου, ὡς χίλια ἔτη, καὶ χίλια ἔτη ὡς ἡμέρα μία[212]. [109.] Ὁ δὲ ἔχων ἐξ ὑπομονῆς πεῖραν τῶν τοῦ

[θλίψεων]. Διότι ἐκεῖνος, ποὺ πιστεύει ὅτι ἔχει κάποιον ἄλλο, ὁ ὁποῖος ἀοράτως κυβερνᾶ τὴ ζωή του, πότε πείθεται στὸ δικό του λογισμό, ποὺ τοῦ λέγει αὐτὸ θέλω ἢ αὐτὸ δὲν θέλω; Αὐτὸ [εἶναι] καλό, ἢ αὐτὸ [εἶναι] κακό; Ἐὰν μὲν ἔχῃ κάποιον κυβερνήτη αἰσθητὸ [δηλαδὴ ἄνθρωπο], ὀφείλει νὰ τὸν ἐρωτᾷ γιὰ κάθε ζήτημα καὶ μὲ τὰ αὐτιά του νὰ δέχεται τὴν ἀπάντησι καὶ νὰ ἐκπληρώνῃ μὲ ἔργο τὰ λεγόμενα. Ἐὰν ὅμως δὲν ἔχῃ κανένα, ἔχει κατὰ τὸν Εὐχαΐτη, [ἐννοεῖ τὸν Ἰωάννη Ἐπίσκοπο Εὐχαΐτων[οβ΄]], τὸν Χριστό· καὶ διὰ μὲν τῆς προσευχῆς μέσα ἀπὸ τὴν καρδιά του, νὰ ἐρωτᾷ Αὐτόν, μὲ τὴν πίστι δὲ νὰ ἐλπίζῃ, [ὅτι θὰ πάρῃ] τὴν ἀπάντησι μὲ ἔργο καὶ μὲ λόγο, ὥστε ὁ σατανᾶς, ὁ ὁποῖος [ὡς ἀσώματος] δὲν μπορεῖ νὰ κάνῃ [κάτι] μὲ ἔργο, νὰ μὴ [τοῦ] δίνῃ ἀπάντησι μὲ λόγο, ὑποκρινόμενος ὅτι εἶναι κυβερνήτης, καὶ παρασύρῃ στὴν ἀπώλεια αὐτούς, οἱ ὁποῖοι δὲν ἔχουν ὑπομονή. Διότι [αὐτοὶ οἱ ἄνθρωποι] σπεύδουν ἀπὸ ἄγνοια νὰ λάβουν ὅσα ποτὲ δὲν τοὺς δίνονται, διότι «μία ἡμέρα εἰς τοὺς ὀφθαλμοὺς τοῦ Κυρίου, [εἶναι] σὰν χίλια ἔτη καὶ χίλια ἔτη, [εἶναι] σὰν μία ἡμέρα». 109. Ἐκεῖνος ὅμως, ὁ ὁποῖος ἀπὸ

ἐχθροῦ μηχανημάτων, κατὰ τὸν Ἀπόστολον, ποιεῖ, πυκτεύει καὶ τρέχει ἐν ὑπομονῇ, ἵνα καταλάβῃ[213]*, καὶ δυνηθῇ εἰπεῖν, οὐ γὰρ τὰ νοήματα αὐτοῦ ἀγνοοῦμεν*[214]*, τοῦτ᾽ ἔστι τὰ ἀφανῆ αὐτοῦ μηχανήματα, τὰ τοῖς πολλοῖς ἀγνοούμενα. Καὶ γάρ φησι, σχηματίζεται εἰς Ἄγγελον φωτός, καὶ οὐ θαῦμα*[215]*· ἐπεὶ καὶ οἱ φαινόμενοι ἐξ αὐτοῦ ἐν τῇ καρδίᾳ λογισμοί, φαίνονται ὡς δικαιοσύνης λογισμοὶ τοῖς ἀπείροις. Διὰ τοῦτο καλὸν τὸ οὐκ οἶδα· ἵνα μήτε τοῖς ὑπὸ τοῦ Ἀγγέλου λεγομένοις ἀπιστῇ, μήτε τοῖς ὑπὸ τοῦ ἐχθροῦ κατὰ πανουργίαν γινομένοις πιστεύῃ, ἀλλὰ φύγῃ διὰ τῆς ὑπομονῆς τοὺς ἀμφοτέρους κρημνοὺς καὶ προσδοκήσῃ ἔργῳ γενέσθαι ἡ ἀπόκρισις διὰ πολλῶν ἐτῶν ἀκουσίως, αὐτοῦ μὴ εἰδότος, ὡς εἶπέ τις περὶ τῆς θεωρίας τῶν ὄντων, ἤγουν τῶν κτισμάτων τοῦ Θεοῦ, μέχρις ἂν φθάσῃ εἰς λιμένα τινά, ἤτοι ἔμπρακτον γνῶσιν. Καὶ ὅταν ἴδῃ αὐτὴν μέ-*

τὴν ὑπομονὴ [ἀπέκτησε] πεῖρα ἀπὸ αὐτὰ τὰ τεχνάσματα τοῦ ἐχθροῦ, κατὰ τὸν Ἀπόστολο, «ἐνεργεῖ, πυγμαχεῖ καὶ τρέχει μὲ ὑπομονή, γιὰ νὰ ἐπιτύχῃ», καὶ νὰ μπορέσῃ νὰ πῇ, ὅτι δὲν ἀγνοοῦμε τὶς ἐπινοήσεις τοῦ σατανᾶ», δηλαδὴ τὰ ἀφανῆ του τεχνάσματα, τὰ ὁποῖα εἶναι ἄγνωστα στοὺς πολλούς. Καὶ πράγματι λέγει [ὁ Ἀπόστολος, πὼς ὁ ἐχθρὸς] «μετασχηματίζεται σὲ φωτεινό Ἄγγελο» καὶ δὲν [εἶναι] παράξενο· ἐπειδὴ καὶ οἱ λογισμοί, οἱ ὁποῖοι παρουσιάζονται ἀπὸ αὐτὸν στὴν καρδία, φαίνονται ὡς λογισμοὶ δικαιοσύνης στοὺς ἀπείρους. Γι᾽ αὐτὸ [εἶναι πάντα] καλὸ τὸ «δὲν ξέρω»· ὥστε οὔτε στὰ λεγόμενα ἀπὸ τὸν Ἄγγελο νὰ ἀπιστῇ, οὔτε νὰ πιστεύῃ σὲ ὅσα γίνονται ἀπὸ τὴν πανουργία τοῦ ἐχθροῦ, ἀλλὰ μὲ τὴν ὑπομονὴ νὰ ἀποφύγῃ καὶ τοὺς δύο γκρεμούς, καὶ νὰ προσδοκᾷ νὰ τοῦ δοθῇ ἡ ἀπάντησι στὴν πρᾶξι, [ἴσως καὶ] ἔπειτα ἀπὸ πολλὰ χρόνια, χωρὶς νὰ τὸ ἐπιδιώκῃ καὶ χωρὶς νὰ τὸ γνωρίζῃ, ὅπως εἶπε κάποιος περὶ τῆς θεωρίας τῶν ὄντων, [τὴν ὁποία ἔλαβε χωρὶς νὰ τὸ ἐπιδιώξῃ καὶ χωρὶς νὰ τὸ γνωρίζῃ], δηλαδὴ τῶν κτισμάτων τοῦ Θεοῦ, μέχρις ὅτου φθάσῃ σὲ κάποιο λιμάνι, δηλαδὴ

νουσαν πολλὰ ἔτη, τότε μάθῃ, ὅτι ὄντως εἰσηκούσθη καὶ ἀπόκρισιν ἔλαβεν ἀοράτως· οἷον εὔχεταί τις περὶ νίκης τῶν πολεμούτων, καὶ λόγον μὲν οὐκ ἀκούει ἢ σχῆμα πλάνης οὐ βλέπει· ἀλλὰ κἂν ἴσως γένηται τοῦτο καθ' ὕπνους ἢ αἰσθητῶς, οὐδ' ὅλως πιστεύει. Μετὰ δὲ χρόνους τινὰς βλέπει τὸν πόλεμον ἐκεῖνον νικώμενον ὑπὸ τῆς χάριτος καὶ νοήματά τινα ἕλκοντα τὸν νοῦν εἰς ταπείνωσιν καὶ γνῶσιν τῆς ἰδίας ἀσθενείας, καὶ οὐδ' οὕτω πιστεύει, ἀλλ' ἀναμένων πολλὰ ἔτη, φοβούμενος μήπως καὶ τοῦτο κλοπῆς ἐστι, ὥς φησιν ὁ Χρυσόστομος περὶ τῶν Ἀποστόλων· ὅτι διὰ τοῦτο εἶπεν ὁ Κύριος πρὸς αὐτοὺς τὰ θλιβερὰ ἐκεῖνα καὶ ἐπήγαγεν, ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται[216], ἵνα μηδέποτε ἀμεριμνῶσιν ἀλλ' ἀγωνίζωνται ἐκ τοῦ φόβου. [110.] Καὶ γὰρ οὐκ ὠφελεῖταί τις ἐκ τῶν ἄλλων ἀρετῶν, κἂν εἰς τὸν οὐρανὸν πολιτεύηται, ἐὰν ἔχῃ τὴν ἀπόνοιαν, δι' ἧς ὁ διάβολος καὶ ὁ Ἀδὰμ

στὴν ἔμπρακτη γνῶσι. Καὶ ἀφοῦ τὴν ἰδῇ, ὅτι παραμένει [σταθερὴ] γιὰ πολλὰ χρόνια, τότε θὰ μάθῃ, ὅτι πράγματι εἰσακούσθηκε [ἡ προσευχή του] καὶ ἔλαβε ἀοράτως τὴν ἀπάντησι· γιὰ παράδειγμα, προσεύχεται κάποιος γιὰ νὰ νικήσῃ [τὰ πάθη], ποὺ τὸν πολεμοῦν καὶ δὲν ἀκούει μὲν [κανένα] λόγο, οὔτε βλέπει σχῆμα παραπλανητικό· ἀλλὰ κι ἂν ἴσως γίνῃ αὐτὸ στὸν ὕπνο του ἢ αἰσθητά, δὲν τὸ πιστεύει καθόλου. Ὕστερα ὅμως ἀπὸ κάποια χρόνια βλέπει τὸν πόλεμο ἐκεῖνο νὰ τελειώνῃ νικηφόρα ἀπὸ τὴν [Θεία] Χάρι καὶ [νὰ δέχεται] κάποια νοήματα, τὰ ὁποῖα ἕλκουν τὸν νοῦ στὴν ταπείνωσι καὶ στὴν ἐπίγνωσι τῆς δικῆς του ἀδυναμίας, [ὅμως] οὔτε καὶ ἔτσι πιστεύει, ἀλλὰ περιμένει γιὰ πολλὰ χρόνια, ἐπειδὴ φοβᾶται μήπως καὶ αὐτὸ εἶναι ἀπάτη, ὅπως λέγει ὁ Χρυσόστομος[ογ'] γιὰ τοὺς Ἀποστόλους· διότι, γι' αὐτὸ εἶπε ὁ Κύριος πρὸς αὐτοὺς ἐκεῖνα τὰ θλιβερὰ καὶ ἐπρόσθεσε: «ὅποιος ὑπομείνῃ ὡς τὸ τέλος, αὐτὸς θὰ σωθῇ», γιὰ νὰ μὴν μένουν ποτὲ ἀμέριμνοι, ἀλλὰ νὰ ἀγωνίζωνται λόγῳ τοῦ φόβου [τῆς πτώσεως].

110. Καὶ πράγματι, δὲν ὠφελεῖται κανεὶς ἀπὸ τὶς ἄλλες ἀρετές, ἀκόμη κι ἂν ἡ πολιτεία του εἶναι

καὶ ἄλλοι πλεῖστοι πεπτώκασι. Διὸ οὐδέποτε ὀφείλει τις ἀποβαλέσθαι τὸν φόβον, μέχρις ἂν εἰς τὸν λιμένα τῆς τελείας ἀγάπης[217] φθάσῃ καὶ γένηται ἔξω τοῦ Κόσμου καὶ τοῦ σώματος. Ὁ γὰρ τοιοῦτος οὐκ ἀφίησι τὸν φόβον ἑκουσίως, ἀλλ᾽ ἐκ τῆς μεγάλης πίστεως, τῆς ποιούσης τὸν νοῦν ἀφρόντιστον περὶ ζωῆς καὶ θανάτου τοῦ σώματος, εἰς τὸν ἁγνὸν φόβον[218] τῆς ἀγάπης ἔρχεται. Περὶ οὗ φησιν ὁ Μέγας Ἀθανάσιος πρὸς τοὺς τελείους, ὅτι μὴ φοβοῦ τὸν Θεὸν ὡς τύραννον, ἀλλὰ φοβοῦ ἐκ τῆς ἀγάπης αὐτοῦ, ἵνα μὴ διὰ τὸ ἁμαρτάνειν μόνον φοβεῖσθαι[ογ΄], ἀλλὰ καὶ διὰ τὸ ἀγαπᾶσθαι καὶ μὴ ἀγαπᾶν, καὶ εὐεργετεῖσθαι ἀναξίως· ὅπως διὰ τοῦ φόβου τῶν τοιούτων ἀγαθῶν ἕλκῃ τὴν ψυχὴν εἰς τὸ ἀγαπᾶν καὶ γένηται ἄξιος τῶν γινομένων καὶ γενησομένων εἰς αὐτὸν εὐεργεσιῶν, διὰ τῆς πρὸς τὸν εὐεργέτην εὐγνωμοσύνης αὐτοῦ, κἀκ τοῦ ἁγνοῦ φόβου τῆς ἀγάπης εἰς τὴν

οὐράνια, ἐὰν ἔχῃ τὴν ἀλαζονεία, ἀπὸ τὴν ὁποία ἔπεσαν ὁ διάβολος καὶ ὁ Ἀδὰμ καὶ πάρα πολλοὶ ἄλλοι. Γι᾽ αὐτὸ ποτὲ δὲν πρέπει κανεὶς νὰ ἀποβάλλῃ τὸν φόβο, ἕως ὅτου φθάσῃ στὸ λιμάνι τῆς τελείας ἀγάπης καὶ ἀποξενωθῇ ἀπὸ τὸν κόσμο καὶ τὴν σάρκα. Αὐτὸς λοιπὸν [ὁ ἄνθρωπος] δὲν ἐγκαταλείπει θεληματικὰ τὸν φόβο, ἀλλὰ ἀπὸ τὴ μεγάλη του πίστι, ἡ ὁποία κάνει τὸν νοῦ ἀμέριμνο γιὰ τὴν ζωὴ καὶ τὸν θάνατο τοῦ σώματος, φθάνει στὸν «ἁγνὸ φόβο» τῆς ἀγάπης. Γιὰ αὐτὸν [τὸν φόβο], λέγει ὁ Μέγας Ἀθανάσιος[οδ΄], πρὸς τοὺς τελείους, ὅτι μὴν φοβᾶσαι τὸν Θεὸ σὰν τύραννο, ἀλλὰ νὰ Τὸν φοβᾶσαι γιὰ τὴν ἀγάπη Αὐτοῦ, γιὰ νὰ μὴν Τὸν φοβᾶσαι μόνο ἐπειδὴ ἁμαρτάνεις, ἀλλὰ καὶ γιὰ τὸ ὅτι [Αὐτὸς] σὲ ἀγαπᾶ, ἐνῶ ἐσὺ δὲν Τὸν ἀγαπᾶς καὶ [διότι] εὐεργετεῖσαι, χωρὶς νὰ τὸ ἀξίζῃς· ὥστε μὲ τὸν φόβο [τῆς ἀπώλειας] αὐτῶν τῶν ἀγαθῶν, παρακινεῖ τὴν ψυχή του στὸ νὰ ἀγαπᾷ [τὸν Θεὸ] καὶ γίνεται ἄξιος τῶν εὐεργεσιῶν, οἱ ὁποῖες γίνονται καὶ θὰ γίνουν σ᾽ αὐτόν, διὰ τῆς εὐγνωμοσύνης του πρὸς τὸν Εὐεργέτη του καὶ [ἔτσι] ἀπὸ τὸν ἁγνὸ φόβο τῆς ἀγάπης φθάνει στὴν ὑπερφυσικὴ ταπείνωσι.

ὑπὲρ φύσιν ταπείνωσιν ἔρχεται. [111.] Διότι ὅσον ἂν πάσχῃ καλὸν ὁ τοιοῦτος καὶ ὅσα ὑπομένῃ δεινά, οὐδ' ὅλως δοκεῖ ὅτι ἐξ ἰδίας ἰσχύος ἢ συνέσεως ἔχει τὸ ὑπομένειν ἢ τὸ καλῶς ἔχειν ψυχικῶς ἢ σωματικῶς, ἀλλ' ἐκ ταπεινοφροσύνης τὴν διάκρισιν ἔλαβε, δι' ἧς καὶ γινώσκει ὅτι κτίσμα Θεοῦ ἐστι καὶ ὅτι οὔτε ἀγαθὸν δύναται ποιεῖν ἀφ' ἑαυτοῦ, οὔτε φυλάττειν τοῦτο γινόμενον ὑπὸ τῆς χάριτος· καὶ οὔτε ἀναιρεῖν πειρασμόν, οὐθ' ὑπομένειν ἐξ ἰδίας ἀνδρείας ἢ φρονήσεως. Καὶ ἐκ τῆς διακρίσεως ἔρχεται εἰς μερικὴν γνῶσιν τῶν πραγμάτων καὶ ἄρχεται βλέπειν κατὰ νοῦν πάντα τὰ ὄντα, καὶ τοὺς λόγους τούτων ἀγνοῶν, ποθεῖ τὸν διδάσκαλον, καὶ μὴ εὑρίσκων τοῦτον, διὰ τὸ εἶναι αὐτὸν ἀθεώρητον, μήτε πάλιν δεχόμενός τινα ἐν σχήματι, ὡς μαθὼν τοῦτο ἐκ τῆς διακρίσεως, ἢ κἂν ἀμάρτυρον νόημα, μένει ἀπορῶν, κἀκ τούτου πάντα τὰ γινόμενα ὑπ' αὐτοῦ καὶ διδασκόμενα εἰς

111. Διότι ὅσο κι ἂν εὐεργετῆται αὐτὸς [ὁ ἄνθρωπος] καὶ ὅσες θλίψεις κι ἂν ὑποφέρῃ, δὲν θεωρεῖ καθόλου, ὅτι ἀπὸ δική του δύναμι ἢ σύνεσι ἔχει τὴν ὑπομονή, ἢ τὴν καλὴ ψυχικὴ καὶ σωματικὴ [κατάστασι], ἀλλὰ ὅτι ἀπὸ τὴν ταπεινοφροσύνη ἔλαβε τὴν διάκρισι, μὲ τὴν ὁποία γνωρίζει ὅτι εἶναι κτίσμα τοῦ Θεοῦ καὶ ὅτι οὔτε κανένα ἀγαθὸ μπορεῖ νὰ κάνῃ μόνος του, οὔτε νὰ τὸ διαφυλάσσῃ, ὅταν αὐτὸ προέλθῃ ἀπὸ τὴν Χάρι· καὶ οὔτε [θεωρεῖ] ὅτι νικᾷ τὸν πειρασμό, οὔτε ὅτι τὸν ὑπομένει ἀπὸ τὴν δική του ἀνδρεία ἢ φρόνησι. Καὶ ἀπὸ τὴν διάκρισι φθάνει σὲ μερικὴ γνῶσι τῶν πραγμάτων καὶ ἀρχίζει νὰ βλέπῃ μὲ τὸν νοῦ του ὅλα τὰ ὄντα καὶ ἀγνοώντας τοὺς λόγους αὐτῶν, ποθεῖ τὸν Διδάσκαλο. Καὶ ἐπειδὴ δὲν εὑρίσκει Αὐτόν, διότι εἶναι ἀθέατος, οὔτε πάλι ἀποδέχεται, ὅπως τὸ ἐδιδάχθηκε αὐτὸ ἀπὸ τὴν διάκρισι, κάποιον ἐμφανιζόμενο μὲ τὸ σχῆμα [τοῦ Διδασκάλου], ἢ τυχὸν κάποιο νόημα, τὸ ὁποῖο [ὅμως] δὲν ἔχει τὴν μαρτυρία [τῶν Γραφῶν], παραμένει στὴν ἀπορία, καὶ γι' αὐτό, ὅλα ὅσα κάνει καὶ διδάσκει, δὲν τὰ ὑπολογίζει γιὰ τίποτα, ἀφοῦ βλέπει πρὶν ἀπὸ αὐτὸν τόσο μεγάλο πλῆθος ἀν-

οὐδὲν λογίζεται, θεωρῶν ἔμπροσθεν αὐτοῦ τοσοῦτον πλῆθος τῶν πεπτωκότων ἀνθρώπων, μετὰ πολλῶν ἱδρώτων καὶ γνώσεων, ἀπὸ τοῦ Ἀδὰμ καὶ τῶν καθεξῆς· καὶ πῶς ἀκούει καὶ οὐ συνίησί τι τῶν ἐν ταῖς Θείαις Γραφαῖς λεγομένων, ἄρχεται δακρύειν ἐκ τῆς γνώσεως ταύτης, ἤγουν τοῦ γινώσκειν, ὅτι ὄντως οὐ γινώσκει ὡς δεῖ· καὶ θαῦμα ὄντως, πῶς ὁ δοκῶν εἰδέναι οὐδέπω οὐδὲν οἶδεν[219]*· καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ᾽ αὐτοῦ*[220]*, φησὶν ὁ Κύριος· διὰ τὸ δοκεῖν καὶ μὴ ἔχειν, δηλαδή· καὶ οὗτος ὁ δοκῶν ἄφρων εἶναι καὶ ἀσύνετος, ἀσθενής τε καὶ ἄγνωστος καὶ διὰ τοῦτο θρηνεῖ καὶ ὀδύρεται ἐκ τοῦ δοκεῖν λαμβάνειν καὶ ἅπερ οὐκ ἔχει διὰ τῆς εὐγνωμοσύνης. [112.] Ἡ γὰρ ταπείνωσις γεννᾶται μὲν ἐκ πολλῶν ἀρετῶν, γεννᾷ δὲ αὕτη τὰ τελεώτερα. Ὡσαύτως καὶ ἡ γνῶσις καὶ ἡ εὐχαριστία καὶ ἡ εὐχὴ καὶ ἡ ἀγάπη, διότι ἀείποτε δέχονται αὔξησιν αἱ ἀρεταὶ αὗται·*

θρώπων, οἱ ὁποῖοι ἔχουν φθάσει στὴν πτῶσι μετὰ ἀπὸ πολλοὺς ἱδρῶτες καὶ γνώσεις, ἀπὸ τὸν Ἀδὰμ καὶ ἔπειτα[οε΄]. Καὶ καθὼς ἀκούει καὶ δὲν κατανοεῖ κάτι ἀπὸ τὰ λεγόμενα στὶς θεῖες Γραφές, ἀρχίζει νὰ [κατανύσσεται καὶ νὰ] δακρύζῃ ἀπὸ τὴν γνῶσι αὐτή, δηλαδὴ ἀπὸ τὸ ὅτι γνωρίζει, ὅτι πράγματι δὲν γνωρίζει, ὅπως πρέπει· καὶ [εἶναι] ἀληθινὰ θαυμαστό, πῶς ἐκεῖνος, «ὁ ὁποῖος νομίζει ὅτι γνωρίζει κάτι, ποτὲ δὲν ἐγνώρισε τίποτε»· «καὶ αὐτὸ τὸ ὁποῖο νομίζει ὅτι ἔχει, θὰ τοῦ ἀφαιρεθῇ», ὅπως λέει ὁ Κύριος, ἐπειδὴ δηλαδὴ νομίζει ὅτι ἔχει καὶ [στὴν πραγματικότητα] δὲν ἔχει· καὶ [ἀντιθέτως ὁ προηγούμενος εἶναι] αὐτὸς ποὺ νομίζει ὅτι εἶναι ἄφρων καὶ ἀσύνετος καὶ ἀδύναμος καὶ χωρὶς γνῶσι καὶ γι᾽ αὐτὸ θρηνεῖ καὶ ὀδύρεται, διότι θεωρεῖ ὅτι λαμβάνει καὶ ὅσα δὲν ἔχει, μὲ τὴν εὐγνωμοσύνη του.

112. Διότι ἡ ταπείνωσι γεννιέται μὲν ἀπὸ πολλὲς ἀρετές, αὐτὴ ὅμως [εἶναι ἐκείνη ποὺ] γεννᾶ τὰ τελειότερα. Ἔτσι ἀκριβῶς καὶ ἡ γνῶσι καὶ ἡ εὐχαριστία καὶ ἡ προσευχὴ καὶ ἡ ἀγάπη, διότι πάντοτε ἐπιδέχονται αὔξησι οἱ ἀρετὲς αὐτές. Γιὰ παράδειγμα, ταπεινώνεται κανεὶς καὶ θρη-

οἷον ταπεινοῦταί τις ὡς ἁμαρτωλὸς καὶ θρηνεῖ, κἀκ τούτου ἐγκρατεύεται καὶ ὑπομένει κατὰ ἑκουσίως καὶ ἀκουσίως γινομένας θλίψεις, ἔκ τε τῶν δαιμόνων διὰ τῆς ἀσκήσεως καὶ ἐκ τῶν ἀνθρώπων πρὸς δοκιμὴν τῆς πίστεως, ἵνα φανῇ κἂν εἰς τὸν Θεὸν ἔχῃ τὴν ἐλπίδα, κἂν εἰς ἄνθρωπον, ἢ εἰς τὴν ἰδίαν ἰσχὺν καὶ φρόνησιν. Καὶ δόκιμος γενόμενος διὰ τῆς ὑπομονῆς[221] *καὶ τοῦ καταλιπεῖν πάντα εἰς τὸν Θεόν, λαμβάνει τὴν μεγάλην πίστιν, ἥν φησιν ὁ Κύριος· ἦλθεν ὁ υἱὸς ἀνθρώπου, ἆρα εὕρῃ τὴν πίστιν*[222]*; Καὶ διὰ τῆς πίστεως ταύτης τεύξεται νίκης κατά τῶν πολεμίων· καὶ ταύτης τυχών, λαμβάνει γνῶσιν τῆς ἰδίας ἀσθενείας καὶ ἀγνωσίας ἐκ τῆς τοῦ Θεοῦ δυνάμεώς τε καὶ σοφίας τῆς γενομένης εἰς αὐτόν. Καὶ ἄρχεται ἐν ταπεινώσει ψυχῆς εὐχαριστεῖν καὶ τρέμει φοβούμενος, μήπως πάλιν ὡς τὸ πρὶν εἰς παρακοὴν Θεοῦ πεσεῖται, κἀκ τοῦ*

νεῖ ὡς ἁμαρτωλὸς καὶ ἀπὸ αὐτὸ ὁδηγεῖται στὴν ἐγκράτεια καὶ ὑπομένει τὶς θλίψεις, ποὺ προκαλοῦνται ἑκούσια καὶ ἀκούσια καὶ ἀπὸ τοὺς δαίμονες, λόγῳ τῆς ἀσκήσεώς του καὶ ἀπὸ τοὺς ἀνθρώπους γιὰ δοκιμασία τῆς πίστεως, γιὰ νὰ φανῇ ἂν ἔχῃ τὴν ἐλπίδα [του] ἢ στὸ Θεὸ ἢ σὲ ἄνθρωπο ἢ στὴν δική του δύναμι καὶ φρόνησι. Καὶ ἀφοῦ δοκιμασθῇ [ἐπιτυχῶς] μὲ τὴν ὑπομονὴ καὶ μὲ τὸ νὰ ἀφήσῃ τὰ πάντα στὸν Θεό, [ἀξιώνεται καὶ] λαμβάνει τὴν μεγάλη πίστι, [γιὰ] τὴν ὁποία λέγει ὁ Κύριος· «ἦλθε ὁ Υἱὸς τοῦ ἀνθρώπου, ἆραγε θὰ εὕρῃ τὴν πίστι [ἐπὶ τῆς γῆς]»; Καὶ μὲ αὐτὴ τὴν πίστι θὰ ἐπιτύχῃ τὴν νίκη κατὰ τῶν ἐχθρῶν· καὶ ἀφοῦ ἐπιτύχῃ αὐτὴ [τὴν νίκη], γνωρίζει [καὶ συνειδητοποιεῖ] τὴν δική του ἀδυναμία καὶ ἄγνοια, μὲ τὴν δύναμι τοῦ Θεοῦ καὶ τὴν σοφία, ἡ ὁποία ἔρχεται σ᾽ αὐτόν. Καὶ ἀρχίζει μὲ ταπείνωσι ψυχῆς νὰ εὐχαριστῇ καὶ νὰ τρέμῃ, ἐπειδὴ φοβᾶται μήπως πάλι ξαναπέσῃ, ὅπως πρίν, σὲ παρακοὴ τοῦ Θεοῦ καὶ ἀπὸ [αὐτὸν] τὸν ἁγνὸ φόβο, ὁ ὁποῖος δὲν ὀφείλεται στὴν ἁμαρτία, καὶ μὲ τὴν εὐχαριστία καὶ τὴν ὑπομονὴ καὶ τὴν ταπείνωσι,

ἁγνοῦ φόβου[223] *τοῦ δίχα ἁμαρτίας γινομένου, καὶ τῆς εὐχαριστίας, ὑπομονῆς τε καὶ ταπεινώσεως, ἧς ἠξιώθη ἐκ τῆς γνώσεως, ἄρχεται ἐλπίζειν κατὰ χάριν ἐλέους τεύξεσθαι. [113.] Ἐκ δὲ τῆς πείρας τῶν γινομένων εἰς αὐτὸν εὐεργεσιῶν, προσδοκᾷ καὶ φοβεῖται μήπως ἀνάξιος εὑρεθῇ τῶν τηλικούτων δωρεῶν τοῦ Θεοῦ· κἀντεῦθεν αὔξησιν λαμβάνει τῆς ταπεινώσεως καὶ τῆς προσευχῆς ἀπὸ καρδίας. Καὶ ὅσον αὔξονται αὗται σὺν τῇ εὐχαριστίᾳ, λαμβάνει γνῶσιν μείζονα· καὶ οὕτως ἐκ γνώσεως εἰς φόβον καὶ ἐκ φόβου εἰς εὐχαριστίαν καὶ εἰς γνῶσιν τὴν ὑπὲρ τούτων ἔρχεται. Κἀντεῦθεν ἀγαπᾷ τὸν εὐεργέτην φυσικῶς καὶ μετὰ χαρᾶς ποθεῖ θεραπεῦσαι αὐτὸν ὡς χρεώστης ἐκ τῆς γνώσεως. Καὶ εὐθὺς αὔξησιν λαμβάνει τῆς γνώσεως καὶ θεωρεῖ μετὰ τῶν ἰδικῶν εὐεργεσιῶν, καὶ τὰς περιεκτικάς· περὶ ὧν εὐχαριστεῖν μὴ δυνάμενος, πενθεῖ, καὶ πάλιν θαυμάζων τὴν χάριν τοῦ Θεοῦ, παρα-*

ποὺ ἀξιώθηκε ἀπὸ τὴν γνῶσι, ἀρχίζει νὰ ἐλπίζῃ, ὅτι κατὰ Χάρι θὰ εὕρῃ ἔλεος.

113. Ἀπὸ δὲ τὴν πεῖρα τῶν εὐεργεσιῶν, ποὺ ἔγιναν σ᾽ αὐτόν, περιμένει καὶ φοβᾶται μήπως εὑρεθῇ ἀνάξιος τῶν τόσων μεγάλων δωρεῶν τοῦ Θεοῦ· καὶ ἀπὸ αὐτὸ αὐξάνονται [μέσα του] ἡ ταπείνωσι καὶ ἡ καρδιακὴ προσευχή. Καὶ ὅσο [περισσότερο] αὐξάνονται αὐτὲς μαζὶ μὲ τὴν εὐχαριστία, ἀποκτᾶ μεγαλύτερη γνῶσι· καὶ ἔτσι ἀπὸ τὴν γνῶσι [ἔρχεται] στὸν φόβο καὶ ἀπὸ τὸν φόβο στὴν εὐχαριστία καὶ στὴν γνῶσι, ἡ ὁποία [εἶναι] ὑπεράνω αὐτῶν. Καὶ ἀπὸ αὐτὸ ἀγαπᾶ τὸν Εὐεργέτη φυσικὰ [πλέον] καὶ μὲ χαρὰ ποθεῖ νὰ Τὸν ὑπηρετήσῃ, ἐπειδὴ [θεωρεῖ τὸν ἑαυτό του] χρεοφειλέτη γιὰ τὴν γνῶσι [ποὺ ελαβε]. Καὶ ἀμέσως λαμβάνει αὔξησι τῆς γνώσεως καὶ μαζὶ μὲ τὶς εἰδικὲς εὐεργεσίες ἀναγνωρίζει καὶ τὶς γενικές· γιὰ τὶς ὁποῖες, ἐπειδὴ δὲν μπορεῖ νὰ εὐχαριστῇ, [ὅπως πρέπει], πενθεῖ· καὶ πάλι θαυμάζοντας τὴν Χάρι τοῦ Θεοῦ παρηγορεῖται· καὶ ἄλλοτε μὲν ἔχει ἐπίπονα δάκρυα, ἄλλοτε δὲ πάλι ἀπὸ ἀγάπη, χύνει [δάκρυα] γλυκύτερα ἀπὸ τὸ μέλι ἐξ αἰτίας τῆς πνευματικῆς χαρᾶς, ἡ ὁποία προέρχεται ἀπὸ τὴν

καλεῖται· καὶ ποτὲ μὲν ἔχει ἐπίπονα δάκρυα, ποτὲ δὲ πάλιν ἐκ τῆς ἀγάπης γλυκύτερα τοῦ μέλιτος ἐκχέει διὰ τῆς πνευματικῆς χαρᾶς, ἥτις ἐξ ἀφράστου ταπεινώσεως γίνεται· ὅταν ποθῇ ἐν ἀληθείᾳ πᾶν θέλημα Θεοῦ καὶ μισῇ πᾶσαν τιμὴν καὶ ἀνάπαυσιν καὶ ἔχει ἑαυτὸν ὑπὸ κάτω πάντων, ὥστε μηδ᾽ ὅλως λογίζεται ὅτι ἐστί τις, καὶ χρεωστεῖ τῷ Θεῷ καὶ τοῖς ἀνθρώποις πᾶσιν ἴσον αὐτοῦ, καὶ διὰ τοῦτο ἡγεῖται τοὺς πειρασμοὺς καὶ τὰς θλίψεις εὐεργεσίαν μεγάλην, καὶ τὴν χαρὰν καὶ ἀνάπαυσιν ζημίαν πολλήν. Κἀκεῖνα ποθεῖ ἐξ ὅλης ψυχῆς, ὅθεν ἔρχονται, καὶ ταῦτα φοβεῖται, κἂν ἐκ Θεοῦ γίνωνται πρὸς δοκιμήν. Καὶ ὄντος αὐτοῦ ἐν τοῖς δάκρυσι τούτοις, ἄρχεται ὁ νοῦς λαμβάνειν τὴν καθαρότητα καὶ ἔρχεται εἰς τὴν ἀρχαίαν αὐτοῦ κατάστασιν, δηλαδὴ εἰς τὴν φυσικὴν γνῶσιν, ἣν ἀπώλεσεν ἐκ τῆς φιλίας τῶν παθῶν. [114.] Αὕτη μὲν ὑπό τινων φρόνησις λέγε-

ἀνέκφραστη ταπείνωσι· [αὐτὰ συμβαίνουν] ὅταν ποθῇ ἀληθινὰ κάθε θέλημα τοῦ Θεοῦ καὶ μισῇ κάθε τιμὴ καὶ ἀνάπαυσι καὶ ἔχει τὸν ἑαυτό του κάτω ἀπὸ ὅλους, ὥστε καθόλου δὲν σκέπτεται, ὅτι αὐτὸς εἶναι κάποιος [σπουδαῖος, ἀλλὰ] καὶ [νομίζει] ὅτι χρεωστεῖ [νὰ προσφέρῃ] τὸν ἴδιο του τὸν ἑαυτὸ στὸν Θεὸ καὶ στοὺς ἀνθρώπους, καὶ γι᾽ αὐτὸ θεωρεῖ τοὺς πειρασμοὺς καὶ τὶς θλίψεις ὡς μεγάλη εὐεργεσία καὶ τὴν χαρὰ καὶ τὴν ἀνάπαυσι ὡς μεγάλη ζημία. Καὶ ἐκεῖνα, [δηλαδὴ τοὺς πειρασμοὺς καὶ τὶς θλίψεις], τὰ ποθεῖ μὲ ὅλη του τὴν ψυχή, ἀπὸ ὅπου κι ἂν προέρχωνται, καὶ αὐτά, [δηλαδὴ τὴ χαρὰ καὶ τὴν ἀνάπαυσι], τὰ φοβᾶται, ἀκόμη κι ἂν [καταλαβαίνῃ, ὅτι] γίνονται γιὰ δοκιμασία ἀπὸ τὸν Θεό. Καὶ καθὼς αὐτὸς εὑρίσκεται μέσα σὲ αὐτὰ τὰ δάκρυα, ἀρχίζει ὁ νοῦς νὰ ἀποκτᾷ τὴν καθαρότητα καὶ ἐπανέρχεται στὴν ἀρχικὴ [πρώτη] του κατάστασι, δηλαδὴ στὴν φυσικὴ γνῶσι, τὴν ὁποία ἔχασε ἐξ αἰτίας τῆς φιλίας του μὲ τὰ πάθη. 114. Αὐτὴ μὲν ἀπὸ μερικοὺς ὀνομάζεται φρόνησι, ἐπειδὴ ὁ νοῦς βλέπει τὰ πράγματα, ὅπως ἔχουν στὴν φυσική τους [κατάστασι]·

ται, διὰ τὸ βλέπειν τὸν νοῦν τὰ πράγματα, ὡς ἔχουσι φύσεως· καὶ πάλιν ὑπό τινων λέγεται διόρασις, διὰ τὸ γινώσκειν τὸν ταύτης τυχόντα μέρος τι τῶν κεκρυμμένων μυστηρίων, ἤγουν σκοπὸν τοῦ Θεοῦ τὸν ἐν ταῖς θείαις Γραφαῖς κείμενον καὶ εἰς ἕκαστον κτίσμα. Γεννᾶται δὲ αὕτη ἐκ τῆς διακρίσεως καὶ δύναται κατανοεῖν τοὺς λόγους τῶν αἰσθητῶν καὶ νοητῶν· καὶ τούτου χάριν λέγεται θεωρία τῶν ὄντων, ἤγουν τῶν κτισμάτων, ἀλλ᾽ αὕτη μὲν φυσική ἐστι καὶ ἐκ τῆς καθαρότητος τοῦ νοὸς γίνεται. Εἰ δέ τις ἐλθεῖν εἰς προόρασιν καταξιωθῇ πρὸς κοινὴν ὠφέλειαν, ὑπὲρ φύσιν ἐστὶ τοῦτο· διότι μόνος ὁ Θεὸς προγινώσκει τὰ πάντα ἐν πᾶσι, καὶ διατί ἐποίησεν ἕκαστον πρᾶγμα, ἢ λόγον τῆς θείας Γραφῆς, καὶ κατά χάριν δίδωσι τοῖς ἀξίοις τὸ γινώσκειν. [115.] Ὥστε ἡ μὲν θεωρία τῶν αὐτῶν αἰσθητῶν καὶ νοητῶν κτισμάτων, ἡ λεγομένη φρόνησις, διόρασίς ἐστι καὶ φυ-

